MASTER
NEGATIVE
NO. 91-80088-5

AUTHOR: SOPHOCLES

TITLE: SOPHOCLIS TRAGOEDIAE

PLACE: LONDINI

DATE: 1866

Master Negative #
91-80088-5

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

 Works. 1866.
Sophocles.
...Sophoclis Tragoediae superstites, recensuit et brevi annotatione instruxit Gulielmus Linwood... Editio tertia. Londini, apud Longman, 1866.
497 p. 23 cm.


At head of title: Σοφοκλῆς.

389343

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35 mm
REDUCTION RATIO: 11 X
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 6-10-91
INITIALS G.G.
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT





AIIM

Association for Information and Image Management


1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910


301/587-8202














MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

hu f—
hy f—


SIGILLUM COLLEGII COLUMBIÆ NOVI EBORACI 1754
IN LUMINE TUO VIDEBIMUS LUMEN

ΣΟΦΟΚΛΗΣ

SOPHOCLIS

TRAGŒDIÆ SUPERSTITES

RECENSUIT ET BREVI ANNOTATIONE INSTRUXIT

GULIELMUS LINWOOD M.A.

Ædis Christi apud Oxonienses nuper Alumnus

EDITIO TERTIA

LONDINI
APUD
LONGMAN, GREEN ET SOC.
MDCCCLXVI.

EXCUDERUNT
SPOTTISWOODE ET SOC., NEW-STREET SQUARE
LONDINI

MONITUM.

Quum ad Sophoclem accedenti illud mihi severa lege præscriptum fuerit, ne libelli moles ultra modicum volumen excresceret, facile intelligitur, incommodam sane provinciam mihi tractandam fuisse, dum intra has spatii angustias et lectori erudito satisfacere, et studiosæ juventutis usibus, aliquanto magis quam antea factum est, consulere studerem.

Querentur fortasse nonnulli, me haud pauca quæ pro dubiis vel spuriis notavi, in textu intacta reliquisse. Verum indies illud magis persuasum habeo, gravissime eos in veteres scriptores peccare, qui omnia quæ apud illos corrupta leguntur, pro arbitrio emendanda suscipiunt: nec vereor ne iis saltem, quorum judicio hæc approbare velim, hac in parte justo parcior fuisse videar.

De codicibus Mstis, quorum collationibus in hac recensione usus sum, plenior ex iis quæ Elmsleius aliique disseruerunt, notitia petenda erit.

Dabam Kalendis Januariis,
MDCCCXLVI.

ΕΙΣ ΣΟΦΟΚΛΗΝ

ΣΙΜΜΙΟΥ ΘΗΒΑΙΟΥ

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα κισσὲ
ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους.
καὶ πέταλον πάντη θάλλοι ῥόδον, ἥ τε φιλορρὼξ
ἄμπελος, ὑγρὰ περὶξ κλήματα χευαμένη,
εἵνεκεν εὐεπίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς
ἤσκησεν Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

Errata.

PAG.	VERS.	
31	633	pro *νεῖκὸς* corr. *νεῖκος.*
36	735	post *οὐξεληλυθὼς* nota interrogandi ponatur.
67	1466	post *μέλεσθαι* interpunge.
83	123	*οὐδ* corr. *οὐδ'.*
106	630	*ἀνὴρ* corr. *ἁνὴρ.*
126	1062 (not.)	*ἀρμάτων* corr. *ἁρμάτων.*
135	1263	*τά τῆς* corr. *τὰ τῆς.*
176	277	post *ἐπῶν* plenius interpunge.
206	998	idem fiat post *κλύων.*
217	1243	dele comma post *πρόσκειται.*
239	220	post *ἅμιλλαν* interpunge.
341	1123	idem fiat post *ὡπλισμένῳ.*
415	1215	*λιβάδ* corr. *λιβάδ'.*
431	3	*ῇσθ* corr. *ἧσθ'.*
436	110	*Περσεφόνης.* corr. *Περσεφόνης,*
446	313	post *τυγχάνει* interpunge.
472	888	*τῷδ* corr. *τῷδ'.*
476	997	*ἀνήρ* corr. *ἀνὴρ.*

ΕΙΣ ΣΟΦΟΚΛΗΝ

ΣΙΜΜΙΟΥ ΘΗΒΑΙΟΥ

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα κισσὲ
ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους.
καὶ πέταλον πάντῃ θάλλοι ῥόδον, ἥ τε φιλορρὼξ
ἄμπελος, ὑγρὰ περὶξ κλήματα χευαμένη,
εἵνεκεν εὐεπίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς
ἤσκησεν Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

Errata.

PAG.	VERS.	
31	633	pro *νεῖκὸς* corr. *νεῖκος.*
36	735	post *οὐξεληλυθὼς* nota interrogandi ponatur.
67	1466	post *μέλεσθαι* interpunge.
83	123	*οὐδ* corr. *οὐδ'.*
106	630	*ἀνὴρ* corr. *ἁνήρ.*
126	1062	(not.) *ἀρμάτων* corr. *ἁρμάτων.*
135	1263	*τά τῆς* corr. *τὰ τῆς.*
176	277	post *ἐπῶν* plenius interpunge.
206	998	idem fiat post *κλύων.*
217	1243	dele comma post *πρόσκειται.*
239	220	post *ἅμιλλαν* interpunge.
341	1123	idem fiat post *ὡπλισμένῳ.*
415	1215	*λιβάδ* corr. *λιβάδ'.*
431	3	*ᾖσθ* corr. *ἦσθ'.*
436	110	*Περσεφόνης.* corr. *Περσεφόνης,*
446	313	post *τυγχάνει* interpunge.
472	888	*τῷδ* corr. *τῷδ'.*
476	997	*ἀνήρ* corr. *ἀνὴρ.*

ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.
ΙΕΡΕΥΣ.
ΚΡΕΩΝ.
ΧΟΡΟΣ *γερόντων Θηβαίων.*
ΤΕΙΡΕΣΙΑΣ.
ΙΟΚΑΣΤΗ.
ΑΓΓΕΛΟΣ.
ΘΕΡΑΠΩΝ *Λαΐου.*
ΕΞΑΓΓΕΛΟΣ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕΣΙΣ.

Λιπὼν Κόρινθον Οἰδίπους, πατρὸς νόθος
πρὸς τῶν ἁπάντων λοιδορούμενος ξένος,
ἦλθεν πυθέσθαι Πυθικῶν θεσπισμάτων,
ζητῶν ἑαυτὸν καὶ γένους φυτοσπόρον.
εὑρὼν δὲ τλήμων ἐν στεναῖς ἁμαξιτοῖς
ἄκων ἔπεφνε Λάϊον γεννήτορα.
Σφιγγὸς δὲ δεινῆς θανάσιμον λύσας μέλος
ἤσχυνε μητρὸς ἀγνοουμένης λέχος.
λοιμὸς δὲ Θήβας εἷλε καὶ νόσος μακρά.
Κρέων δὲ πεμφθεὶς Δελφικὴν πρὸς ἑστίαν,
ὅπως πύθοιτο τοῦ κακοῦ παυστήριον,
ἤκουσε φωνῆς μαντικῆς θεοῦ πάρα,
τὸν Λάϊειον ἐκδικηθῆναι φόνον.
ὅθεν μαθὼν ἑαυτὸν Οἰδίπους τάλας
πόρπαισι δισσὰς ἐξανάλωσεν κόρας.
αὐτὴ δὲ μήτηρ ἀγχόναις διώλετο.

ΔΙΑ ΤΙ ΤΥΡΑΝΝΟΣ ΕΠΙΓΕΓΡΑΠΤΑΙ.

Ο ΤΥΡΑΝΝΟΣ ΟΙΔΙΠΟΥΣ ἐπὶ διακρίσει θατέρου ἐπιγέγραπται. χαριέντως δὲ ΤΥΡΑΝΝΟΝ ἅπαντες αὐτὸν ἐπέγραφον, ὡς ἐξέχοντα πάσης τῆς Σοφοκλέους ποιήσεως, καίπερ ἡττηθέντα ὑπὸ Φιλοκλέους, ὥς φησι Δικαίαρχος. εἰσὶ δὲ καὶ οἱ ΠΡΟΤΕΡΟΝ αὐτόν, οὐ ΤΥΡΑΝΝΟΝ, ἐπιγράφοντες, διὰ τοὺς χρόνους τῶν διδασκαλιῶν καὶ διὰ τὰ πράγματα· ἀλήτην γὰρ καὶ πηρὸν Οἰδίποδα τὸν ἐπὶ Κολωνῷ εἰς τὰς Ἀθήνας ἀφικνεῖσθαι. ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιηταί, τοὺς πρὸ τῶν Τρωϊκῶν βασιλεῖς ΤΥΡΑΝΝΟΥΣ προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχετον βασιλέα φησὶ καὶ οὐ τύραννον· (Ὀδυσσ. Σ. 84.)

Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα.

προσαγορευθῆναι δέ φασι τὸν τύραννον ἀπὸ τῶν Τυρρηνῶν· χαλεποὺς γάρ τινας περὶ λῃστείαν τούτους γενέσθαι. ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα δῆλον. οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει. ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι εὐφημότερον γὰρ ἐκεῖνο τοὔνομα.

ΑΛΛΩΣ.

Ὁ Τύραννος Οἰδίπους πρὸς ἀντιδιαστολὴν τοῦ ἐν τῷ Κολωνῷ ἐπιγέγραπται. τὸ κεφάλαιον δὲ τοῦ δράματος γνῶσις τῶν ἰδίων κακῶν Οἰδίποδος, πήρωσίς τε τῶν ὀφθαλμῶν, καὶ δι' ἀγχόνης θάνατος Ἰοκάστης.

ΧΡΗΣΜΟΣ ΔΟΘΕΙΣ ΛΑΙΩι.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς.
δώσω τοι φίλον υἱόν· ἀτὰρ πεπρωμένον ἐστὶ
παιδὸς ἑοῦ* χείρεσσι λιπεῖν φάος. ὧς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν. ὁ δ' ηὔξατό σοι τάδε πάντα.

ΤΟ ΑΙΝΙΓΜΑ ΤΗΣ ΣΦΙΓΓΟΣ.

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τέτραπον, οὗ μία φωνή,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

ΛΥΣΙΣ ΤΟΥ ΑΙΝΙΓΜΑΤΟΣ.

Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης σὸν τέλος ἀμπλακίης.
ἄνθρωπον κατέλεξας, ὃς ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων.
γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

* σοῦ παιδὸς Γ. Δ. Ald. Turn. Steph. Cant.

ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

ΟΙΔΙΠΟΥΣ.

Ὦ τέκνα, Κάδμου τοῦ πάλαι νέα τροφή,
τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε
ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι;
πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων·
ἁγὼ δικαιῶν μὴ παρ' ἀγγέλων, τέκνα,
ἄλλων ἀκούειν, αὐτὸς ὧδ' ἐλήλυθα,
ὁ πᾶσι κλεινὸς Οἰδίπους καλούμενος.
ἀλλ', ὦ γεραιέ, φράζ', ἐπεὶ πρέπων ἔφυς
πρὸ τῶνδε φωνεῖν, τίνι τρόπῳ καθέστατε,
δείσαντες, ἢ στέρξαντες; ὡς θέλοντος ἂν
ἐμοῦ προσαρκεῖν πᾶν. δυσάλγητος γὰρ ἂν
εἴην, τοιάνδε μὴ οὐ κατοικτείρων ἕδραν.

1. τροφή. *soboles, progenies*. Musgrav.

2. θοάζετε. θοάζειν h. l. simplici *sedendi* significatione adhibetur. Cf. Buttm. Lex. s. v. θαάσσειν.

3. ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι. h. e. ἱκτηρίους κλάδους ἐξεστεμμένους ἔχοντες. Cf. Matth. Gr. Gr. 424. *Obs*. 1. Male vertunt cum Scholiasta *instructi*. Similis est constructio infra v. 25. φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονός κ. τ. λ. Ant. 121. πρίν ποθ' ἁμετέρων αἱμάτων γέννυσιν πλησθῆναι.

6. ἀγγέλων ἄλλων. Erfurdtius: ἄλλων, ἀγγέλων ὄντων. Elmsleius confert Eurip. Orest. 532. τί μαρτύρων ἄλλων ἀκούειν δεῖ μ', ἅ γ' εἰσορᾶν πάρα;

10. τίνι τρόπῳ καθέστατε. *quo in statu estis?* Elmsleius πῶς ἔχετε interpretatur.

11. στέρξαντες] στέργειν hic valet *petere, orare*, ut Œd. Col. 1094. Brunck.

13. μὴ οὐ κατοικτείρων. οὐ additum quia δυς in δυσάλγητος negativi instar est. Bene confert Dindorfius Ant. v. 175. ubi ἀμήχανον, quod et ipsum negationem continet, excipiunt πρὶν ἂν cum conjunctivo constructa.

ΙΕΡΕΥΣ.

ἀλλ', ὦ κρατύνων Οἰδίπους χώρας ἐμῆς,
ὁρᾷς μὲν ἡμᾶς ἥλικοι προσήμεθα
βωμοῖσι τοῖς σοῖς· οἱ μὲν οὐδέπω μακρὰν
πτέσθαι σθένοντες, οἱ δὲ σὺν γήρᾳ βαρεῖς
ἱερῆς, ἐγὼ μὲν Ζηνός, οἵδε τ' ἠθέων
λεκτοί. τὸ δ' ἄλλο φῦλον ἐξεστεμμένον
ἀγοραῖσι θακεῖ, πρός τε Παλλάδος διπλοῖς
ναοῖς, ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ σποδῷ.
πόλις γάρ, ὥσπερ καὐτὸς εἰσορᾷς, ἄγαν
ἤδη σαλεύει, κἀνακουφίσαι κάρα
βυθῶν ἔτ' οὐχ οἵα τε φοινίου σάλου,
φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονός,
φθίνουσα δ' ἀγέλαις βουνόμοις, τόκοισί τε
ἀγόνοις γυναικῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
σκήψας ἐλαύνει, λοιμὸς ἔχθιστος, πόλιν,
ὑφ' οὗ κενοῦται δῶμα Καδμεῖον· μέλας δ'
Ἅιδης στεναγμοῖς καὶ γόοις πλουτίζεται.

16. *βωμοῖσι τοῖς σοῖς.* Non *aris tibi dicatis*: sed *aris pro foribus tuarum ædium positis.* Veterum hic mos notus. BRUNCK.

17. *πτέσθαι.* Infantes non raro *νεοσσοὶ* audiunt. Vid. Eurip. Troad. 746. Herc. Fur. 72. 982. MUSGRAV.

18. *ἱερῆς*, quod nunc rectius sine iota scribitur, Atticismi caussa restituit Brunckius. Libri *ἱερεῖς* solemni plerumque errore. *Φωκῆς* tamen habet La. in Electr. 1107. et suprascriptum ibid. 1442. *βασιλῆς* idem codex, ut videtur, Ajac. 189. et sic ibid. 390. Cf. Grammat. Meermann. præceptum apud Schaef. Greg. Corinth. p. 644.

οἵδε τ'. Ita Erfurdtius; qui simile erratum correxit infra v. 78. Vulgo *οἱ δέ τ'.* Sic autem Epicos, non Tragicos neque Comicos, dixisse monet Schaeferus.

20. *διπλοῖς ναοῖς.* Dubium est quanam hæc templa fuerint. Scholiasta: *δύο ἱερὰ ἐν ταῖς Θήβαις ἵδρυται τῇ Ἀθηνᾷ· τὸ μὲν Ὀγκαίας (Ὄγκας), τὸ δὲ Ἰσμηνίας. οἱ δὲ οὕτω. τὸ μὲν Ἀλαλκομενίας, τὸ δὲ Καδμείας.*

21. *Ἰσμηνοῦ μαντείᾳ σποδῷ.* Apollinis Ismenii aram, unde oracula edita esse auctor est Herod. viii. 134. recte interpretatur Scholiasta.

25. Vid. ad v. 3.

27. *ἐν δ'.* Alii per tmesin explicant, *ἐνσκήψας.* Rectius alii *simul* vel *in horum numero* interpretantur. *ἐν* adverbiascit et hic et infra v. 183. Œd. Col. 55. Ant. 420. 1274. Trach. 207. Aj. 675. ubi vid. Herm. El. 713. Ita etiam usurpavit Homerus Iliad. N. 797. Hesiod. O. et D. 281. Idem et in aliis præpositionibus interdum accidere notum est.

θεοῖσι μέν νυν οὐκ ἰσούμενόν σ' ἐγὼ
οὐδ' οἵδε παῖδες ἑζόμεσθ' ἐφέστιοι,
ἀνδρῶν δὲ πρῶτον ἔν τε συμφοραῖς βίου
κρίνοντες, ἔν τε δαιμόνων ξυναλλαγαῖς·
ὅς γ' ἐξέλυσας, ἄστυ Καδμεῖον μολών,
σκληρᾶς ἀοιδοῦ δασμὸν ὃν παρείχομεν,
καὶ ταῦθ' ὑφ' ἡμῶν οὐδὲν ἐξειδὼς πλέον
οὐδ' ἐκδιδαχθείς· ἀλλὰ προσθήκῃ θεοῦ
λέγει νομίζει θ' ἡμὶν ὀρθῶσαι βίον·
νῦν τ', ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα,
ἱκετεύομέν σε πάντες οἵδε πρόστροποι
ἀλκήν τιν' εὑρεῖν ἡμίν, εἴτε του θεῶν
φήμην ἀκούσας εἴτ' ἀπ' ἀνδρὸς οἶσθά που.
ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς
ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων.
ἴθ', ὦ βροτῶν ἄριστ', ἀνόρθωσον πόλιν.
ἴθ', εὐλαβήθηθ'· ὡς σὲ νῦν μὲν ἥδε γῆ
σωτῆρα κλῄζει τῆς πάρος προθυμίας·
ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνῴμεθα
στάντες τ' ἐς ὀρθὸν καὶ πεσόντες ὕστερον·
ἀλλ' ἀσφαλείᾳ τήνδ' ἀνόρθωσον πόλιν.
ὄρνιθι γὰρ καὶ τὴν τότ' αἰσίῳ τύχην
παρέσχες ἡμῖν, καὶ τανῦν ἴσος γενοῦ.
ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν·
ὡς οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς
ἔρημος ἀνδρῶν μὴ ξυνοικούντων ἔσω.

ΟΙ. ὦ παῖδες οἰκτροί, γνωτὰ κοὐκ ἄγνωτά μοι

31. *ἰσούμενον* idem quod *ἴσον* valet. Pendet a *κρίνοντες* in v. 34.

37. *καὶ ταῦθ'.* Cf. Blomfieldii notam ad Eumen. v. 112. editionis nostræ.

45. *ζώσας*] *ἀντὶ τοῦ, οὐ σφάλλονται, ἀλλὰ τοῦ ἀποβησόμενου στοχάζονται καλῶς.* Suidas.

49. *μεμνῴμεθα* optativus est, quem requirit sensus et memorat Eustathius Il. ψ. p. 1305. 46. 1332. 19. Erfurdtius: *utinam imperii tui nunquam sic recordemur, ut erecti a te rursusque pessumdati.*

58. *γνωτὰ κοὐκ ἄγνωτα.* Hanc loquendi formam amasse tragicos

προσήλθεθ' ἱμείροντες. εὖ γὰρ οἶδ' ὅτι
νοσεῖτε πάντες, καὶ νοσοῦντες, ὡς ἐγὼ
οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ.
τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν' ἔρχεται
μόνον καθ' αὑτόν, κοὐδέν' ἄλλον· ἡ δ' ἐμὴ
ψυχὴ πόλιν τε κἀμὲ καὶ σ' ὁμοῦ στένει.
ὥστ' οὐχ ὕπνῳ γ' εὕδοντά μ' ἐξεγείρετε,
ἀλλ' ἴστε πολλὰ μέν με δακρύσαντα δή,
πολλὰς δ' ὁδοὺς ἐλθόντα φροντίδος πλάνοις.
ἣν δ' εὖ σκοπῶν εὕρισκον ἴασιν μόνην,
ταύτην ἔπραξα. παῖδα γὰρ Μενοικέως
Κρέοντ', ἐμαυτοῦ γαμβρόν, ἐς τὰ Πυθικὰ
ἔπεμψα Φοίβου δώμαθ', ὡς πύθοιθ' ὅ τι
δρῶν ἢ τί φωνῶν τήνδε ῥυσαίμην πόλιν.
καί μ' ἦμαρ ἤδη ξυμμετρούμενον χρόνῳ
λυπεῖ τί πράσσει. τοῦ γὰρ εἰκότος πέρα
ἄπεστι πλείω τοῦ καθήκοντος χρόνου.
ὅταν δ' ἵκηται, τηνικαῦτ' ἐγὼ κακὸς
μὴ δρῶν ἂν εἴην πάνθ' ὅσ' ἂν δηλοῖ θεός.

notum est. Cf. infra v. 63. 384. *ἑκόντα κοὐκ ἄκοντα* 1230. *πολλάκις τε κοὐχ ἅπαξ* 1275. *ἥξοντα βαιοῦ κοὐχὶ μυρίου χρόνου* Œd. Col. 397. *βίᾳ τε κοὐχ ἑκών* 935. *βαιὸν οὐδὲ σὺν χρόνῳ* 1653. *ἀγχοῦ δ' ἄρα κοὐ μακράν* Trach. 962. *ἄκλητος οὐδ' ὑπ' ἀγγέλων κληθείς* Aj. 289. *ἐξ ἐμοῦ τε κοὐκ ἄλλου* El. 885. *ἡδὺς οὐδὲ μητρὶ δυσχερής* 929. *πάλαι δέδοκται ταῦτα κοὐ νεωστί μοι* 1049. *ἄναυδον οὐδὲ σὺν βοᾷ* 1283. Genere eadem, specie diversa, sunt qualia *οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ* Trach. 866.

60. Sensus est: *νοσοῦντες οὐ νοσεῖτε ἐξ ἴσου ὡς ἐγώ.* ut autem indicaret, de omnibus nullo excepto id intelligendum esse, mutata oratione dicit *οὐκ ἔστιν ὑμῶν ὅστις.* Hermann.

64. *καὶ σ'.* Notandum *σ'* cum elisione in emphasi positum. Cf. infra v. 329. 332. 405. Phil. 339.

67. Variant codices inter *πλάναις* et *πλάνοις.* Hoc ex Atticistarum regula prætulit Brunckius. Vid. Pierson. ad Mœrin s. v. *πλάνος.* *πλάνος* habet Soph. Œd. Col. 1114. Phil. 758. *πλάνη* semper Æschylus, P. V. 576. 585. 622. 784. 788. 820. utrumque Euripides. Hæc monuit Elmsleius.

72. Suspicor legendum *ῥυσοίμην.* Requiritur futurum optativi. Cf. El. 34. Hoc fortasse confirmat *τήνδ' ἐρυσάμην* in La. pr.

73. *χρόνῳ. tempore quod ex quo abiit elapsum est.*

74. *λυπεῖ τί πράσσει.* Infra v. 155. *ἀζόμενος, τί μοι ἐξανύσεις χρέος.* *ὥστε μ' ὠδίνειν τί φῄς* Aj. 794. *δειμαίνω τί ποτ' ἀναστένεις* Eurip. Hec. 185. Erfurdt.

ΙΕ. ἀλλ' εἰς καλὸν σύ τ' εἶπας, οἵδε τ' ἀρτίως
Κρέοντα προσστείχοντα σημαίνουσί μοι.
ΟΙ. ὦναξ Ἄπολλον, εἰ γὰρ ἐν τύχῃ γέ τῳ
σωτῆρι βαίη, λαμπρὸς ὥσπερ ὄμματι.
ΙΕ. ἀλλ' εἰκάσαι μέν, ἡδύς· οὐ γὰρ ἂν κάρα
πολυστεφὴς ὧδ' εἷρπε παγκάρπου δάφνης.
ΟΙ. τάχ' εἰσόμεσθα· ξύμμετρος γὰρ ὡς κλύειν.
ἄναξ, ἐμὸν κήδευμα, παῖ Μενοικέως,
τίν' ἡμὶν ἥκεις τοῦ θεοῦ φήμην φέρων;

ΚΡΕΩΝ.

ἐσθλήν. λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι
κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν.
ΟΙ. ἔστιν δὲ ποῖον τοὔπος; οὔτε γὰρ θρασὺς
οὔτ' οὖν προδείσας εἰμὶ τῷ γε νῦν λόγῳ.
ΚΡ. εἰ τῶνδε χρῄζεις πλησιαζόντων κλύειν,
ἕτοιμος εἰπεῖν, εἴτε καὶ στείχειν ἔσω.
ΟΙ. ἐς πάντας αὔδα. τῶνδε γὰρ πλέον φέρω
τὸ πένθος ἢ καὶ τῆς ἐμῆς ψυχῆς πέρι.
ΚΡ. λέγοιμ' ἂν οἷ' ἤκουσα τοῦ θεοῦ πάρα.

78. *εἰς καλόν.* h. e. *καλῶς.* Cf. Matth. Gr. Gr. 578. d. *ἐς καλὸν* scribi jubet Dindorfius, *εἰς* ante consonantem a Tragicis abjudicandum ratus. Vid. ejus notas ad Æsch. Prom. V. 1. et ad Aristoph. Acharn. 242. Hanc regulam, quæ, licet aliter sentiente Elmsleio ad Eurip. Med. 55. verisimilis videtur, olim sequendam duxi. Locorum tamen omnium ubi hæc præpositio in Sophoclis reliquiis occurrit, comparatione accurate instituta, perraro iis in locis, ubi *εἰς* an *ἐς* scribendum sit metri indicio decerni potest, librarios erravisse observavi, si fides collationibus adhibenda. In El. 834. *ἐς Ἀΐδαν* contra metrum habent Δ. Θ. Harl. Palat. *εἰσελθὼν* La. Lb. in Trach. 1167. *εἰσιδεῖν* Γ. in O. T. 1303. *εἰσιδὼν* La. in Ant. 128. Hinc igitur credibile est eorum auctoritati et illis in locis ubi ex metro nihil judicari potest utrum *εἰς* an *ἐς* scribendum sit, aliquid esse tribuendum. Illud ergo singulis in locis quod codices plurimi optimique præbent retinendum judicavi.

79. *προσστείχοντα*] *προστείχοντα* vulgo, quod quidam idem ac *προσστείχοντα*, altero *σ* detracto, esse putant. Hoc fieri posse puto in vocibus cujusmodi sunt *δύστομος*, *δύστονος*, *κ. τ. λ.* Vid. Gaisf. ad Œd. Col. 986. non ita in illis ubi literulæ detractione ambiguitas oriretur. Nec magni facienda est grammatici auctoritas apud Schaef. ad Gregor. Cor. p. 680.

81. *σωτῆρι.* Cf. ad Phil. 1471.

82. *ἡδύς.* Cf. ad Trach. 121.

ἄνωγεν ἡμᾶς Φοῖβος ἐμφανῶς ἄναξ
μίασμα χώρας, ὡς τεθραμμένον χθονὶ
ἐν τῇδ', ἐλαύνειν μηδ' ἀνήκεστον τρέφειν.
ΟΙ. ποίῳ καθαρμῷ; τίς ὁ τρόπος τῆς ξυμφορᾶς;
ΚΡ. ἀνδρηλατοῦντας, ἢ φόνῳ φόνον πάλιν
λύοντας, ὡς τόδ' αἷμα χειμάζον πόλιν.
ΟΙ. ποίου γὰρ ἀνδρὸς τήνδε μηνύει τύχην;
ΚΡ. ἦν ἡμίν, ὦναξ, Λάϊός ποθ' ἡγεμὼν
γῆς τῆσδε, πρὶν σὲ τήνδ' ἀπευθύνειν πόλιν.
ΟΙ. ἔξοιδ' ἀκούων· οὐ γὰρ εἰσεῖδόν γέ πω.
ΚΡ. τούτου θανόντος νῦν ἐπιστέλλει σαφῶς
τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν τινάς.
ΟΙ. οἱ δ' εἰσὶ ποῦ γῆς; ποῦ τόδ' εὑρεθήσεται
ἴχνος παλαιᾶς δυστέκμαρτον αἰτίας;
ΚΡ. ἐν τῇδ' ἔφασκε γῇ. τὸ δὲ ζητούμενον
ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον.
ΟΙ. πότερα δ' ἐν οἴκοις, ἢ 'ν ἀγροῖς ὁ Λάϊος,
ἢ γῆς ἐπ' ἄλλης τῷδε συμπίπτει φόνῳ;
ΚΡ. θεωρός, ὡς ἔφασκεν, ἐκδημῶν, πάλιν
πρὸς οἶκον οὐκ ἔθ' ἵκεθ', ὡς ἀπεστάλη.
ΟΙ. οὐδ' ἄγγελός τις οὐδὲ συμπράκτωρ ὁδοῦ
κατεῖδ', ὅτου τις ἐκμαθὼν ἐχρήσατ' ἄν;
ΚΡ. θνήσκουσι γάρ, πλὴν εἷς τις, ὃς φόβῳ φυγὼν
ὧν εἶδε πλὴν ἓν οὐδὲν εἶχ' εἰδὼς φράσαι.
ΟΙ. τὸ ποῖον; ἓν γὰρ πόλλ' ἂν ἐξεύροι μαθεῖν,
ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος.
ΚΡ. λῃστὰς ἔφασκε συντυχόντας οὐ μιᾷ
ῥώμῃ κτανεῖν νιν, ἀλλὰ σὺν πλήθει χερῶν.
ΟΙ. πῶς οὖν ὁ λῃστής, εἴ τι μὴ ξὺν ἀργύρῳ

101. ὡς τόδ' αἷμα. τόδε ad φόνῳ φόνον πάλιν λύοντας referri recte monet Schaeferus.

107. τινάς. Indicat eo pronomine Creon, incertum esse qui sint illi qui occiderint Laium. HERMANN. Cf. Œd. Col. 288. ὅταν δ' ὁ κύριος παρῇ τις, κ. τ. λ.

117. ἐχρήσατ' ἄν. sc. τούτῳ. Refertur ad ἐκμαθών.

124. Thucyd. v. 83. comparat Dobræus. ὑπῆρχε δέ τι αὐτοῖς καὶ ἐκ

ἐπράσσετ' ἐνθένδ', ἐς τόδ' ἂν τόλμης ἔβη;
ΚΡ. δοκοῦντα ταῦτ' ἦν. Λαΐου δ' ὀλωλότος
οὐδεὶς ἀρωγὸς ἐν κακοῖς ἐγίγνετο.
ΟΙ. κακὸν δὲ ποῖον ἐμποδών, τυραννίδος
οὕτω πεσούσης, εἶργε τοῦτ' ἐξειδέναι;
ΚΡ. ἡ ποικιλῳδὸς Σφὶγξ τὰ πρὸς ποσὶ σκοπεῖν
μεθέντας ἡμᾶς τἀφανῆ προσήγετο.
ΟΙ. ἀλλ' ἐξ ὑπαρχῆς αὖθις αὔτ' ἐγὼ φανῶ.
ἐπαξίως γὰρ Φοῖβος, ἀξίως δὲ σὺ
πρὸ τοῦ θανόντος τήνδ' ἔθεσθ' ἐπιστροφήν·
ὥστ' ἐνδίκως ὄψεσθε κἀμὲ σύμμαχον,
γῇ τῇδε τιμωροῦντα τῷ θεῷ θ' ἅμα.
ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων,
ἀλλ' αὐτὸς αὑτοῦ, τοῦτ' ἀποσκεδῶ μύσος.
ὅστις γὰρ ἦν ἐκεῖνον ὁ κτανών, τάχ' ἂν
κἄμ' ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι.
κείνῳ προσαρκῶν οὖν ἐμαυτὸν ὠφελῶ.
ἀλλ' ὡς τάχιστα, παῖδες, ὑμεῖς μὲν βάθρων
ἵστασθε, τούσδ' ἄραντες ἱκτῆρας κλάδους·
ἄλλος δὲ Κάδμου λαὸν ὧδ' ἀθροιζέτω,
ὡς πᾶν ἐμοῦ δράσοντος· ἢ γὰρ εὐτυχεῖς
σὺν τῷ θεῷ φανούμεθ', ἢ πεπτωκότες.
ΙΕ. ὦ παῖδες, ἱστώμεσθα· τῶνδε γὰρ χάριν
καὶ δεῦρ' ἔβημεν ὧν ὅδ' ἐξαγγέλλεται.
Φοῖβος δ' ὁ πέμψας τάσδε μαντείας ἅμα
σωτήρ θ' ἵκοιτο καὶ νόσου παυστήριος.

τοῦ Ἄργους αὐτόθεν πρασσόμενον. Verte: *nisi res hinc pecunia transacta esset.*

130. τὸ πρὸς ποσὶ ex La. Le. et Suida s. v. ποικιλῳδός, nescio an recte rescribendum jubeat Dindorfius.

148. ἐξαγγέλλεται. Sophoclem medias verborum formas activo sensu non raro usurpasse inter legendum notabunt tirones. Hunc locum memorat Eustathius Il. O. p. 694. 22. collato El. 993. ἐσώζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σώζεται. Cf. προσήγετο supr. v. 131. προὐτρέψω 358. ἐξελυσάμην 1003. ἐκλύσομαι Ant. 1112. ἐκλύεται Trach. 21. ποθουμένᾳ 103. ὁρίζεται 237. ἐφίστασαι forte 339. εἴργεται forte 344. ἐκνεμεῖ Aj. 369. κρύπτεται 647. ἀγγέλλομαι 1376. et plura alibi.

ΧΟΡΟΣ.

ὦ Διὸς ἁδυεπὲς φάτι, τίς ποτε τᾶς πολυχρύσου *στροφὴ α΄.*
Πυθῶνος ἀγλαὰς ἔβας
Θήβας; ἐκτέταμαι φοβερὰν φρένα, δείματι πάλλων,
ἰήϊε Δάλιε Παιάν,
ἀμφὶ σοὶ ἁζόμενος, τί μοι ἢ νέον,
ἢ περιτελλομέναις ὥραις πάλιν ἐξανύσεις χρέος.
εἰπέ μοι, ὦ χρυσέας τέκνον Ἐλπίδος, ἄμβροτε Φάμα.
πρῶτα σὲ κεκλόμενος, θύγατερ Διός, ἄμβροτ' Ἀθάνα, *ἀντ. α΄.*
γαιάοχόν τ' ἀδελφεὰν
Ἄρτεμιν, ἃ κυκλόεντ' ἀγορᾶς θρόνον εὐκλέα θάσσει,
καὶ Φοῖβον ἑκαβόλον, ἰὼ
τρισσοὶ ἀλεξίμοροι προφάνητέ μοι,
εἴ ποτε καὶ προτέρας ἄτας ὕπερ ὀρνυμένας πόλει
ἠνύσατ' ἐκτοπίαν φλόγα πήματος, ἔλθετε καὶ νῦν.
ὦ πόποι, ἀνάριθμα γὰρ φέρω *στροφὴ β΄.*

151. ἁδυεπές. Sic a pr. m. La. Lb. vulgo ἁδυεπής.

153. πάλλων intransitive dictum. Musgravius comparat Eurip. Electr. 435. 476. Sic in Œd. Col. 134. ἅζονθ' pro ἁζόμενον, et alia alibi.

154. Ἰήϊε Δάλιε Παιάν. Hæc mediæ orationi interjecta sunt: nam σοὶ in v. 155. ad φάτι referendum est, quod notavit Scholiasta.

155. ἁζόμενος, τί μοι κ. τ. λ. Vid. ad v. 74. ἅζεσθαι est *cum reverentia timere*. Hom. Iliad. Ξ. 261. a Brunckio laudatus, ἅζετο γὰρ μὴ Νυκτὶ θοῇ ἀποθύμια ἕρδοι. Mox constructio est, τί μοι ἢ νέον (ἐξήνυσας) ἢ πάλιν ἐξανύσεις χρέος, h. e. *quid recens edixeris, vel in posterum edictura sis.* Cf. Ant. 612. ἀνύειν autem similiter de oraculo edendo usurpatum Œd. Col. 454. παλαίφαθ' ἁμοὶ Φοῖβος ἤνυσέν ποτε. Ant. 1178. ὦ μάντι, τοὔπος ὡς ἄρ' ὀρθὸν ἤνυσας. Nec aliter hujus fab. v. 720. qu. v.

158. τέκνον Ἐλπίδος. Bene Scholiasta: Quia spe inducti oracula consulunt homines.

159. κεκλόμενος. Nominativus pendens. κεκλομένῳ libri deteriores, ut scilicet cum verbis προφάνητέ μοι congrueret.

161. κυκλόεντ' ἀγορᾶς θρόνον. Hoc minime dictum pro κυκλοέσσης ἀγορᾶς θρόνον. Immo ἀγορᾶς θρόνον forum est ubi sedet et colitur Diana, cui deinde sedi epitheton fori tantum formæ conveniens attribuitur.

164. ὑπερορνυμένας male conjunxit Musgravius: quem secuti sunt alii. ἄτας ὕπερ est *propter calamitatem, ut calamitatem averteretis.* Cf. paullo infra v. 188. ὧν ὕπερ. Sept. c. Th. 111. ἴδετε παρθένων ἱκέσιον λόχον δουλοσύνας ὕπερ.

166. ἠνύσατ' ἐκτοπίαν. *e regione expulistis.*

πήματα· νοσεῖ δέ μοι πρόπας
στόλος, οὐδ' ἔνι φροντίδος ἔγχος,
ᾧ τις ἀλέξεται. οὔτε γὰρ ἔκγονα
κλυτᾶς χθονὸς αὔξεται, οὔτε τόκοισιν
ἰηΐων καμάτων ἀνέχουσι γυναῖκες·
ἄλλον δ' ἂν ἄλλῳ προσίδοις ἅπερ εὔπτερον ὄρνιν
κρεῖσσον ἀμαιμακέτου πυρὸς ὄρμενον
ἀκτὰν πρὸς ἑσπέρου θεοῦ.
ὧν πόλις ἀνάριθμος ὄλλυται· *ἀντιστρ. β΄.*
νηλέα δὲ γένεθλα πρὸς πέδῳ
θαναταφόρα κεῖται ἀνοίκτως·
ἐν δ' ἄλοχοι πολιαί τ' ἔπι ματέρες
ἀκτὰν παρὰ βώμιον ἄλλοθεν ἄλλαι
λυγρῶν πόνων ἱκτῆρες ἐπιστενάχουσι.
παιὰν δὲ λάμπει στονόεσσά τε γῆρυς ὅμαυλος·

168. πρόπας στόλος. *omnia quæ habeo*, sc. urbs, domus, ager. Suidas: πᾶσα ἡ δύναμις. De πρὸ in compositis abundante vid. ad Aj. 163.

171. ἀλέξεται non dubium quin futurum sit et hic et in hujus fabulæ v. 539. ἢ τοὔργον ὡς οὐ γνωρίσοιμί σου τόδε δόλῳ προσέρπον, κοὐκ ἀλεξοίμην μαθών. Formatum ab ἀλέκω. Cf. Buttm. Lex. 21. 23.

172. κλυτᾶς. De metro horum trium versuum cf. Dind. ad Œd. Col. 1246.

174. ἰηΐων] θρηνητικῶν recte exponit Scholiasta. Nam in hujusmodi doloribus Apollinem ἰήϊον invocare solebant. De vocis ἰήϊος origine cf. Blomf. Gloss. Agam. 144. Mox καμάτων ἀνέχουσι explicari potest, *a partuum doloribus non exsurgunt*: h. e. *partus non experiuntur, steriles manent.*

ἄλλον δ' ἂν ἄλλῳ. *alium post alium.* Aj. 866. πόνος πόνῳ πόνον φέρει. Hunc usum tetigit Porsonus ad Eur. Hec. v. 586. coll. Æsch. Pers. 1041. δόσιν κακὰν κακῶν κακοῖς.

177. ἀκτὰν πρὸς ἑσπέρου θεοῦ. Similem præpositionis collocationem indicavit Dindorfius (ad v. 525.) Prom. v. 653. ποίμνας βουστάσεις τε πρὸς πατρός. Sept. c. Th. 185. βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν. Simile est ἄλσος ἐς τᾶνδ' ἀμαιμακετᾶν θεῶν Œd. Col. 126. ubi Nevius comparavit τοσόνδ' ἐς ἥβης El. 14. λειμῶν' ἐς Ἥρας Eurip. Phœn. 24.

178. ὧν πόλις ἀνάριθμος ὄλλυται. *quibus sine numero cadentibus urbs perit.* ὧν ab ἀνάριθμος regitur. Cf. Trach. 247. Aj. 603. El. 232.

180. θαναταφόρα La. Lb. Vulgo θανατηφόρῳ. De forma Dorica cf. Dind. ad Trach. 214. θαναταφόρα propter contagionem dicit.

181. ἐν δ'—ἔπι. Vid. ad v. 27.

183. ἀκτὰν παρὰ βώμιον. *ad altarium gradus.* Interdum enim ἀκτὴ *eminentiam* significat. Æsch. Choeph. 722. ἀκτὴ χώματος de *sepulchri tumulo* dictum. ERFURDT.

186. λάμπει. Audaciam hujus figuræ mitigare videtur Græcorum consuetudo. Sic enim λαμπρὰ φωνὴ

ὧν ὕπερ, ὦ χρυσέα θύγατερ Διός,
εὐῶπα πέμψον ἀλκάν·
Ἀρεά τε τὸν μαλερόν, ὃς νῦν ἄχαλκος ἀσπίδων στροφὴ γ'.
φλέγει με περιβόητος ἀντιάζων,
παλίσσυτον δράμημα νωτίσαι πάτρας
ἄπουρον, εἴτ' ἐς μέγαν
θάλαμον Ἀμφιτρίτας,
εἴτ' ἐς τὸν ἀπόξενον ὅρμον
Θρήκιον κλύδωνα·
τέλει γὰρ εἴ τι νὺξ ἀφῇ,
τοῦτ' ἐπ' ἦμαρ ἔρχεται·
τόν, ὦ τᾶν πυρφόρων
ἀστραπᾶν κράτη νέμων,
ὦ Ζεῦ πάτερ, ὑπὸ σῷ φθίσον κεραυνῷ.
Λύκει' ἄναξ, τά τε σὰ χρυσοστρόφων ἀπ' ἀγκυλᾶν ἀντ. γ'.
βέλεα θέλοιμ' ἂν ἀδάματ' ἐνδατεῖσθαι
ἀρωγὰ προσταχθέντα, τάς τε πυρφόρους
Ἀρτέμιδος αἴγλας, ξὺν αἷς

iis *clara vox* est: Polluc. lib. ii. sect. 116. Plutarchus de Virtute Mulier. ὡς δὲ εἶδε πεπτωκότα, λαμπρὸν ἀνωλόλυξε. vol. ii. p. 258. Musgrav.

190. Ἄρεα τὸν μαλερὸν *pestem* dicit. Repetendum autem δὸς ex πέμψον v. 189. Cum dictione ἄχαλκος ἀσπίδων compara ἄσκευον ἀσπίδων El. v. 36.

191. περιβόητος] μετὰ βοῆς καὶ οἰμωγῆς. Schol.

192. δράμημα] δρόμημα Γ. Palat. Vid. Lobeck. ad Phrynich. p. 618.

194. μέγαν θάλαμον Ἀμφιτρίτας mare Atlanticum intelligit Musgravius. Θρήκιος κλύδων Pontus est Euxinus.

198. τέλει male per τελέως, h. e. *omnino*, explicat Elmsleius. Sensus est: *nam si quid nox abitu suo non invaserit, hoc dies aggreditur:* h. e. quibus nox pepercit, ii interdiu moriuntur. Jungenda autem ἦμαρ ἔρχεται ἐπὶ (sc. ἐπέρχεται) τοῦτο. De constructione εἰ ἀφῇ dixi ad Eumen. v. 228.

200. τὸν ὦ τᾶν πυρφόρων] τᾶν ab Hermanno additum.

203. Λύκει' ἄναξ. Vid. ad El. v. 7. ἀγκυλᾶν Brunckius. Vulgo ἀγκύλων. Mox Elmsleius ἀδάματ' pro ἀδάμαστ' reposuit.

205. ἐνδατεῖσθαι. Wundero prorsus assentior hoc verbum *laudare, commemorare*, h. l. significare non posse statuenti. Rectius Schol. καταμερίζεσθαι h. e. *distribui, diversas in partes immitti.* Passivæ certe vocis exemplum est in Nicandr. Ther. 509. ἤτοι ἀριστολόχεια παλίσκιος ἐνδατέοιτο. Nec tamen quidquam obstat quominus active hic sumamus, sub. σέ.

206. προσταθέντα vulgo. Correxit Dindorfius. προσταθέντα si verum foret, certe non a προΐσταμαι, sed a προστείνειν deducendum esset.

Λύκι' ὄρεα διᾴσσει·
τὸν χρυσομίτραν τε κικλήσκω,
τᾶσδ' ἐπώνυμον γᾶς,
οἰνῶπα Βάκχον εὔϊον,
Μαινάδων ὁμόστολον,
πελασθῆναι φλέγοντ'
ἀγλαῶπι * * *
πεύκᾳ 'πὶ τὸν ἀπότιμον ἐν θεοῖς θεόν.
ΟΙ. αἰτεῖς· ἃ δ' αἰτεῖς, τἄμ' ἐὰν θέλῃς ἔπη
κλύων δέχεσθαι τῇ νόσῳ θ' ὑπηρετεῖν,
ἀλκὴν λάβοις ἂν κἀνακούφισιν κακῶν·
ἁγὼ ξένος μὲν τοῦ λόγου τοῦδ' ἐξερῶ,
ξένος δὲ τοῦ πραχθέντος. οὐ γὰρ ἂν μακρὰν
ἴχνευον αὐτός, μὴ οὐκ ἔχων τι σύμβολον.
νῦν δ', ὕστερος γὰρ ἀστὸς εἰς ἀστοὺς τελῶ,
ὑμῖν προφωνῶ πᾶσι Καδμείοις τάδε·
ὅστις ποθ' ὑμῶν Λάϊον τὸν Λαβδάκου
κάτοιδεν ἀνδρὸς ἐκ τίνος διώλετο,
τοῦτον κελεύω πάντα σημαίνειν ἐμοί·
κεἰ μὲν φοβεῖται, τοὐπίκλημ' ὑπεξελὼν
αὐτὸς καθ' αὑτοῦ· πείσεται γὰρ ἄλλο μὲν
ἀστεργὲς οὐδέν, γῆς δ' ἄπεισιν ἀβλαβής.
εἰ δ' αὖ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς
τὸν αὐτόχειρα, μὴ σιωπάτω· τὸ γὰρ
κέρδος τελῶ 'γώ, χἠ χάρις προσκείσεται·

214. ἀγλαῶπι * * *. Trium syllabarum lacunam cum Dindorfio indicavi. Hoc satius duxi quam strophicum cum Hermanno corrigere.

222. εἰς ἀστοὺς τελῶ. i. e. εἰς ἀστῶν τέλος (ordinem) ἔρχομαι. Vid. Ruhnk. ad Tim. p. 251. Erfurdt.

227. ὑπεξελεῖν videtur esse *condita promere.* Cf. Eurip. Hipp. 633. ὄλβον δωμάτων ὑπεξελών. Sensum bene declaravit Hermannus: *si metuit, si ei contra se ipsum promendum est indicium.* φοβεῖται cum ὑπεξελὼν construendum est, et post αὐτὸς καθ' αὑτοῦ per aposiopesin σημαινέτω intelligendum. ὑπεξελεῖν vertunt nonnulli, *accusationem sui supprimere*, h. e. subterfugere, declinare. Illud vero foret, ὑπεξελεῖν τὸ καθ' αὑτοῦ ἐπίκλημα; non, τὸ ἐπίκλημα αὐτὸς καθ' αὑτοῦ ὑπεξελεῖν.

231. τὸ γὰρ κέρδος. Notandus articulus: *quod debitum erit lucrum.* Sic mox ἡ χάρις.

εἰ δ' αὖ σιωπήσεσθε, καί τις ἢ φίλου
δείσας ἀπώσει τοὖπος ἢ χαὐτοῦ τόδε,
ἁκ τῶνδε δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ.
τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον, ὅστις ἐστί, γῆς
τῆσδ', ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω,
μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινά,
μήτ' ἐν θεῶν εὐχαῖσι μήτε θύμασιν
κοινὸν ποιεῖσθαι, μήτε χέρνιβας νέμειν.
ὠθεῖν δ' ἀπ' οἴκων πάντας, ὡς μιάσματος
τοῦδ' ἡμὶν ὄντος, ὡς τὸ Πυθικὸν θεοῦ
μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοί.
ἐγὼ μὲν οὖν τοιόσδε τῷ τε δαίμονι
τῷ τ' ἀνδρὶ τῷ θανόντι σύμμαχος πέλω.
κατεύχομαι δὲ τὸν δεδρακότ', εἴτε τις
εἷς ὢν λέληθεν εἴτε πλειόνων μέτα,
κακὸν κακῶς νιν ἄμορον ἐκτρῖψαι βίον.
ἐπεύχομαι δ', οἴκοισιν εἰ ξυνέστιος
ἐν τοῖς ἐμοῖς γένοιτ' ἐμοῦ συνειδότος,
παθεῖν ἅπερ τοῖσδ' ἀρτίως ἠρασάμην.
ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω τελεῖν,
ὑπέρ τ' ἐμαυτοῦ, τοῦ θεοῦ τε, τῆσδέ τε
γῆς ὧδ' ἀκάρπως κἀθέως ἐφθαρμένης.
οὐδ' εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον,
ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν οὕτως ἐᾶν,
ἀνδρός γ' ἀρίστου βασιλέως ὀλωλότος,
ἀλλ' ἐξερευνᾶν· νῦν δ' ἐπεὶ κυρῶ τ' ἐγὼ
ἔχων μὲν ἀρχὰς ἃς ἐκεῖνος εἶχε πρίν,
ἔχων δὲ λέκτρα καὶ γυναῖχ' ὁμόσπορον,

234. *ἀπώσῃ* quod habent La. et codd. plerique, revocavit Reisigius ad Œd. Col. p. 348. Sed unice vera est vulgata; quod vidit Erfurdtius.

236. *γῆς τῆσδε* a *τινα* in v. 238. regitur: *quenquam ex hujus terræ incolis.* Alii minus bene cum *εἰσδέχεσθαι* construunt.

241. *ὠθεῖν δ'* sc. *κελεύω*: quod ex *ἀπαυδῶ* intelligendum. Cf. El. 72.

248. *νιν ἄμορον* Porsonus, qu. vid. omnino ad Eurip. Hec. Præf. p. xi. *ἄμοιρον* libri.

251. *παθεῖν* ad Œdipum spectat, non ad interfectorem. Erfurdt.

258. *ἐπεὶ κυρῶ* Burtonus. Libri *ἐπικυρῶ*.

κοινῶν τε παίδων κοίν' ἄν, εἰ κείνῳ γένος
μὴ 'δυστύχησεν, ἦν ἂν ἐκπεφυκότα·
νῦν δ' ἐς τὸ κείνου κρᾶτ' ἐνήλαθ' ἡ τύχη·
ἀνθ' ὧν ἐγὼ τάδ', ὡσπερεὶ τοὐμοῦ πατρός,
ὑπερμαχοῦμαι, κἀπὶ πάντ' ἀφίξομαι,
ζητῶν τὸν αὐτόχειρα τοῦ φόνου λαβεῖν
τῷ Λαβδακείῳ παιδὶ Πολυδώρου τε καὶ
τοῦ πρόσθε Κάδμου τοῦ πάλαι τ' Ἀγήνορος·
καὶ ταῦτα τοῖς μὴ δρῶσιν εὔχομαι θεοὺς
μήτ' ἄροτον αὐτοῖς γῆς ἀνιέναι τινά,
μήτ' οὖν γυναικῶν παῖδας, ἀλλὰ τῷ πότμῳ
τῷ νῦν φθερεῖσθαι κἄτι τοῦδ' ἐχθίονι·
ὑμῖν δὲ τοῖς ἄλλοισι Καδμείοις, ὅσοις
τάδ' ἔστ' ἀρέσκονθ', ἥ τε σύμμαχος Δίκη
χοἰ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί.
ΧΟ. ὥσπερ μ' ἀραῖον ἔλαβες, ὧδ', ἄναξ, ἐρῶ.
οὔτ' ἔκτανον γάρ, οὔτε τὸν κτανόντ' ἔχω
δεῖξαι. τὸ δὲ ζήτημα τοῦ πέμψαντος ἦν
Φοίβου τόδ' εἰπεῖν, ὅστις εἴργασταί ποτε.
ΟΙ. δίκαι' ἔλεξας. ἀλλ' ἀναγκάσαι θεοὺς
ἂν μὴ θέλωσιν οὐδ' ἂν εἷς δύναιτ' ἀνήρ.
ΧΟ. τὰ δεύτερ' ἐκ τῶνδ' ἂν λέγοιμ' ἃ μοι δοκεῖ.
ΟΙ. εἰ καὶ τρίτ' ἐστί, μὴ παρῇς τὸ μὴ οὐ φράσαι.
ΧΟ. ἄνακτ' ἄνακτι ταὔθ' ὁρῶντ' ἐπίσταμαι
μάλιστα Φοίβῳ Τειρεσίαν, παρ' οὗ τις ἂν
σκοπῶν τάδ', ὦναξ, ἐκμάθοι σαφέστατα.

261. *κοινῶν τε παίδων κοινά.* h. e. *κοινοὶ παῖδες.* Comparari potest Œd. Col. 923. *ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.* Cf. Matth. Gr. Gr. 442. 4.

267. *τῷ Λαβδακείῳ παιδί.* h. e. *τῷ παιδὶ Λαβδάκου, Πολυδώρου τε κ. τ. λ.*

270. *γῆς* Vauvillersius. Olim *γῆν*. Mox *αὐτοῖς* abundantia quadam additum.

272. *φθερεῖσθαι.* De futuro post *εὔχομαι* et similibus cf. Matth. Gr. Gr. 506. vi. Lobeck. ad Phryn. p. 747. seqq.

276. *quemadmodum tu me exsecratione tua coegisti loqui, ita loquar.* Wunder.

281. *ἂν* Brunckius. *ἂν* libri. Idem mox *οὐδ' ἂν εἷς* pro *οὐδὲ εἷς* ex duobus codd.

ΟΙ. *ἀλλ᾽ οὐκ ἐν ἀργοῖς οὐδὲ τοῦτ᾽ ἐπραξάμην.*
ἔπεμψα γάρ, Κρέοντος εἰπόντος, διπλοῦς
πομπούς· πάλαι δὲ μὴ παρὼν θαυμάζεται.
ΧΟ. *καὶ μὴν τά γ᾽ ἄλλα κωφὰ καὶ παλαί᾽ ἔπη.*
ΟΙ. *τὰ ποῖα ταῦτα ; πάντα γὰρ σκοπῶ λόγον.*
ΧΟ. *θανεῖν ἐλέχθη πρός τινων ὁδοιπόρων.*
ΟΙ. *ἤκουσα κἀγώ· τὸν δ᾽ ἰδόντ᾽ οὐδεὶς ὁρᾷ.*
ΧΟ. *ἀλλ᾽ εἴ τι μὲν δὴ δείματός γ᾽ ἔχει μέρος,*
τὰς σὰς ἀκουων οὐ μενεῖ τοιάσδ᾽ ἀράς.
ΟΙ. *ᾧ μή ᾽στι δρῶντι τάρβος, οὐδ᾽ ἔπος φοβεῖ.*
ΧΟ. *ἀλλ᾽ οὐξελέγξων αὐτὸν ἔστιν· οἵδε γὰρ*
τὸν θεῖον ἤδη μάντιν ὧδ᾽ ἄγουσιν, ᾧ
τἀληθὲς ἐμπέφυκεν ἀνθρώπων μόνῳ.
ΟΙ. *ὦ πάντα νωμῶν Τειρεσία, διδακτά τε*
ἄρρητά τ᾽ οὐράνιά τε καὶ χθονοστιβῆ,
πόλιν μέν, εἰ καὶ μὴ βλέπεις, φρονεῖς δ᾽ ὅμως
οἵᾳ νόσῳ σύνεστιν· ἧς σε προστάτην
σωτῆρά τ᾽, ὦναξ, μοῦνον ἐξευρίσκομεν.
Φοῖβος γάρ, εἰ καὶ μὴ κλύεις τῶν ἀγγέλων,
πέμψασιν ἡμῖν ἀντέπεμψεν, ἔκλυσιν
μόνην ἂν ἐλθεῖν τοῦδε τοῦ νοσήματος,
εἰ τοὺς κτανόντας Λαΐον μαθόντες εὖ
κτείναιμεν, ἢ γῆς φυγάδας ἐκπεμψαίμεθα.
σὺ δ᾽ οὖν φθονήσας μήτ᾽ ἀπ᾽ οἰωνῶν φάτιν,
μήτ᾽ εἴ τιν᾽ ἄλλην μαντικῆς ἔχεις ὁδόν,
ῥῦσαι σεαυτὸν καὶ πόλιν, ῥῦσαι δ᾽ ἐμέ,
ῥῦσαι δὲ πᾶν μίασμα τοῦ τεθνηκότος.
ἐν σοὶ γὰρ ἐσμέν· ἄνδρα δ᾽ ὠφελεῖν ἀφ᾽ ὧν
ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνων.

287. *ἐν ἀργοῖς*] *ἀργῶς* bene explicat Schol. Cf. *ἐν κενοῖς* Aj. 971. ubi *ματαίως* exponit Schol. Pal.

297. *οὐξελέγχων* vulgo ante Brunckium. In La. ξ supraser. a pr. m.

300. *νωμῶν*. Cf. Æsch. S. c. Th. 25.

315. *ἔχοι τε καὶ δύναιτο.* Vid. infra ad v. 917.

ΤΕΙΡΕΣΙΑΣ.
φεῦ φεῦ, φρονεῖν ὡς δεινὸν ἔνθα μὴ τέλη
λύει φρονοῦντι. ταῦτα γὰρ καλῶς ἐγὼ
εἰδὼς διώλεσ᾽· οὐ γὰρ ἂν δεῦρ᾽ ἱκόμην.
ΟΙ. *τί δ᾽ ἔστιν ; ὡς ἄθυμος εἰσελήλυθας.*
ΤΕ. *ἄφες μ᾽ ἐς οἴκους· ῥᾷστα γὰρ τὸ σόν τε σὺ*
κἀγὼ διοίσω τοὐμόν, ἢν ἐμοὶ πίθῃ.
ΟΙ. *οὔτ᾽ ἔννομ᾽ εἶπας οὔτε προσφιλὲς πόλει*
τῇδ᾽, ἥ σ᾽ ἔθρεψε, τήνδ᾽ ἀποστερῶν φάτιν.
ΤΕ. *ὁρῶ γὰρ οὐδὲ σοὶ τὸ σὸν φώνημ᾽ ἰὸν*
πρὸς καιρόν· ὡς οὖν μηδ᾽ ἐγὼ ταυτὸν πάθω.
ΧΟ. *μὴ πρὸς θεῶν φρονῶν γ᾽ ἀποστραφῇς, ἐπεὶ*
πάντες σε προσκυνοῦμεν οἵδ᾽ ἱκτήριοι.
ΤΕ. *πάντες γὰρ οὐ φρονεῖτ᾽. ἐγὼ δ᾽ οὐ μή ποτε·*
τἄμ᾽ ὡς ἂν εἴπω μὴ τὰ σ᾽ ἐκφήνω κακά.
ΟΙ. *τί φῄς ; ξυνειδὼς οὐ φράσεις, ἀλλ᾽ ἐννοεῖς*
ἡμᾶς προδοῦναι καὶ καταφθεῖραι πόλιν ;
ΤΕ. *ἐγὼ οὔτ᾽ ἐμαυτὸν οὔτε σ᾽ ἀλγυνῶ. τί ταῦτ᾽*
ἄλλως ἐλέγχεις ; οὐ γὰρ ἂν πύθοιό μου.
ΟΙ. *οὐκ, ὦ κακῶν κάκιστε, καὶ γὰρ ἂν πέτρου*
φύσιν σύ γ᾽ ὀργάνειας, ἐξερεῖς ποτέ,
ἀλλ᾽ ὧδ᾽ ἄτεγκτος κἀτελεύτητος φανεῖ ;
ΤΕ. *ὀργὴν ἐμέμψω τὴν ἐμήν· τὴν σὴν δ᾽ ὁμοῦ*
ναίουσαν οὐ κατεῖδες, ἀλλ᾽ ἐμὲ ψέγεις.
ΟΙ. *τίς γὰρ τοιαῦτ᾽ ἂν οὐκ ἂν ὀργίζοιτ᾽ ἔπη*
κλύων, ἃ νῦν σὺ τήνδ᾽ ἀτιμάζεις πόλιν ;

317. *τέλη λύει.* h. e. *λυσιτελεῖ*, *prodest.* Vid. ad El. 1005.

326. Hi duo versus si recte Choro, non Œdipo cum paucis codicibus tribuuntur, in posteriori responsionis suæ parte ad regem se convertit Tiresias.

328. Hermanno assentior, aposiopesin in hoc versu statuenti, et mox *εἰπὼν* corrigenti. Dura sunt quæ alii attulerunt omnia. Sensus autem videtur esse: *Ego vero nunquam eloquar : ne si mea vaticinia promsero, simul tua ostendam mala.*

336. *φανεῖ* Brunckius. Olim *φανῇ*.

337. *ὁμοῦ ναίουσαν.* *quamvis intus tecum habitet.*

340. *ἃ νῦν σὺ τήνδ᾽ ἀτιμάζεις πόλιν.* h. e. *ἐν οἷς* seu *ἃ νῦν λέγων.* Cf. Aj. 1107. *τὰ σέμν᾽ ἔπη κόλαζ᾽ ἐκείνους. τούτων γὰρ οὐδέν μ᾽ ἀλγυνεῖς* Phil. 66.

ΤΕ. ἥξει γὰρ αὐτά, κἂν ἐγὼ σιγῇ στέγω.
ΟΙ. οὐκοῦν ἅ γ' ἥξει καὶ σὲ χρὴ λέγειν ἐμοί.
ΤΕ. οὐκ ἂν πέρα φράσαιμι. πρὸς τάδ', εἰ θέλεις,
θυμοῦ δι' ὀργῆς ἥτις ἀγριωτάτη.
ΟΙ. καὶ μὴν παρήσω γ' οὐδέν, ὡς ὀργῆς ἔχω,
ἅπερ ξυνίημ'. ἴσθι γὰρ δοκῶν ἐμοὶ
καὶ ξυμφυτεῦσαι τοὔργον, εἰργάσθαι θ', ὅσον
μὴ χερσὶ καίνων· εἰ δ' ἐτύγχανες βλέπων,
καὶ τοὔργον ἂν σοῦ τοῦτ' ἔφην εἶναι μόνου.
ΤΕ. ἄληθες; ἐννέπω σε τῷ κηρύγματι
ᾧπερ προεῖπας ἐμμένειν, κἀφ' ἡμέρας
τῆς νῦν προσαυδᾶν μήτε τουσδε μήτ' ἐμέ,
ὡς ὄντι γῆς τῆσδ' ἀνοσίῳ μιάστορι.
ΟΙ. οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε
τὸ ῥῆμα; καί που τοῦτο φεύξεσθαι δοκεῖς;
ΤΕ. πέφευγα· τἀληθὲς γὰρ ἰσχῦον τρέφω.
ΟΙ. πρὸς τοῦ διδαχθείς; οὐ γὰρ ἔκ γε τῆς τέχνης.
ΤΕ. πρὸς σοῦ. σὺ γάρ μ' ἄκοντα προὐτρέψω λέγειν.
ΟΙ. ποῖον λόγον; λέγ' αὖθις, ὡς μᾶλλον μάθω.
ΤΕ. οὐχὶ ξυνῆκας πρόσθεν; ἢ 'κπειρᾷ λέγειν;
ΟΙ. οὐχ ὥστε γ' εἰπεῖν γνωστόν· ἀλλ' αὖθις φράσον.
ΤΕ. φονέα σε φημὶ τἀνδρὸς οὗ ζητεῖς κυρεῖν.
ΟΙ. ἀλλ οὔ τι χαίρων δίς γε πημονὰς ἐρεῖς.
ΤΕ. εἴπω τι δῆτα κἄλλ', ἵν' ὀργίζῃ πλέον;
ΟΙ. ὅσον γε χρῄζεις· ὡς μάτην εἰρήσεται.
ΤΕ. λεληθέναι σε φημὶ σὺν τοῖς φιλτάτοις
αἴσχισθ' ὁμιλοῦντ', οὐδ' ὁρᾶν ἵν' εἶ κακοῦ.
ΟΙ. ἦ καὶ γεγηθὼς ταῦτ' ἀεὶ λέξειν δοκεῖς;
ΤΕ. εἴπερ τί γ' ἐστὶ τῆς ἀληθείας σθένος.
ΟΙ. ἀλλ' ἔστι, πλὴν σοί· σοὶ δὲ τοῦτ' οὐκ ἔστ', ἐπεὶ
τυφλὸς τά τ' ὦτα τόν τε νοῦν τά τ' ὄμματ' εἶ.

351. προεῖπας Brunckius. προσεῖπας libri.
355. καί που idem. καὶ ποῦ libri.
360. *non prius intellexisti? aut tentas me, ut revera dicam?* ERFURDT.

ΤΕ. σὺ δ' ἄθλιός γε ταῦτ' ὀνειδίζων, ἃ σοὶ
οὐδεὶς ὃς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα.
ΟΙ. μιᾶς τρέφει πρὸς νυκτός, ὥστε μήτ' ἐμὲ
μήτ' ἄλλον, ὅστις φῶς ὁρᾷ, βλάψαι ποτ' ἄν.
ΤΕ. οὐ γάρ σε μοῖρα πρός γ' ἐμοῦ πεσεῖν, ἐπεὶ
ἱκανὸς Ἀπόλλων, ᾧ τάδ' ἐκπρᾶξαι μέλει.
ΟΙ. Κρέοντος, ἢ σοῦ ταῦτα τἀξευρήματα;
ΤΕ. Κρέων δέ σοι πῆμ' οὐδέν, ἀλλ' αὐτὸς σὺ σοί.
ΟΙ. ὦ πλοῦτε καὶ τυραννὶ καὶ τέχνη τέχνης
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται·
εἰ τῆσδέ γ' ἀρχῆς οὕνεχ', ἣν ἐμοὶ πόλις
δωρητόν, οὐκ αἰτητόν, εἰσεχείρισεν,
ταύτης Κρέων ὁ πιστός, οὑξ ἀρχῆς φίλος,
λάθρα μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται,
ὑφεὶς μάγον τοιόνδε μηχανορράφον,
δόλιον ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσιν
μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.
ἐπεί, φέρ' εἰπέ, ποῦ σὺ μάντις εἶ σαφής;
πῶς οὐχ, ὅθ' ἡ ῥαψῳδὸς ἐνθάδ' ἦν κύων,
ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον;
καίτοι τό γ' αἴνιγμ' οὐχὶ τοὐπιόντος ἦν
ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει·
ἣν οὔτ' ἀπ' οἰωνῶν σὺ προὐφάνης ἔχων
οὔτ' ἐκ θεῶν του γνωτόν· ἀλλ' ἐγὼ μολών,
ὁ μηδὲν εἰδὼς Οἰδίπους, ἔπαυσά νιν,
γνώμῃ κυρήσας οὐδ' ἀπ' οἰωνῶν μαθών·
ὃν δὴ σὺ πειρᾷς ἐκβαλεῖν, δοκῶν θρόνοις
παραστατήσειν τοῖς Κρεοντείοις πέλας.

376. οὐ γάρ με μοῖρα πρός γε σοῦ πεσεῖν vulgo. Correxit Brunckius.
380. τέχνη τέχνης ὑπερφέρουσα, κ. τ. λ. *Ars ante alias artes eminens ad summam vitæ felicitatem adipiscendam.* Artem dicit solertiam qua regnum adeptus est Œdipus.
393. Cf. Œd. Col. 752. τοὐπιόντος ἁρπάσαι.

κλάων δοκεῖς μοι καὶ σὺ χὠ συνθεὶς τάδε
ἀγηλατήσειν· εἰ δὲ μὴ 'δόκεις γέρων
εἶναι, παθὼν ἔγνως ἂν οἷά περ φρονεῖς.
ΧΟ. ἡμῖν μὲν εἰκάζουσι καὶ τὰ τοῦδ' ἔπη
ὀργῇ λελέχθαι καὶ τὰ σ', Οἰδίπου, δοκεῖ.
δεῖ δ' οὐ τοιούτων, ἀλλ' ὅπως τὰ τοῦ θεοῦ
μαντεῖ' ἄριστα λύσομεν, τόδε σκοπεῖν.
ΤΕ. εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν
ἴσ' ἀντιλέξαι· τοῦδε γὰρ κἀγὼ κρατῶ.
οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ·
ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι.
λέγω δ', ἐπειδὴ καὶ τυφλόν μ' ὠνείδισας,
σὺ καὶ δέδορκας, κοὐ βλέπεις ἵν' εἶ κακοῦ,
οὐδ' ἔνθα ναίεις, οὐδ' ὅτων οἰκεῖς μέτα.
ἆρ' οἶσθ' ἀφ' ὧν εἶ; καὶ λέληθας ἐχθρὸς ὢν
τοῖς σοῖσιν αὐτοῦ νέρθε κἀπὶ γῆς ἄνω,
καί σ' ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς
ἐλᾷ ποτ' ἐκ γῆς τῆσδε δεινόπους ἀρά,

401. *κλάων*. Vulgo *κλαίων*. *κλάειν* Atticis tribuunt grammatici, et illos secuti inter alios Pierson. ad Mœrin. p. 231. Porsonus in præfat. ad Hec. p. iv. quod idem tenendum de *κάειν*, *ἐλάα*, *ἀετός*, *ἀεί*. Contra dixerunt Hermannus ad Aj. præf. p. 13. Blomfieldius ad Æsch. Ag. v. 17. Elmsleius ad Bacch. v. 757. qui tamen postea in Œdipo *κλάων* edidit. In hac et in omni simili quæstione illud dijudicandum est, utrum ex Atticistarum præceptis libros correxerint scribæ doctiores, an potius vulgarem et sibi usitatiorem scripturam in locum genuinæ substituerint indocti. Res est certe non una difficultate circumdata, nec fortasse ad liquidum perducenda: equidem in eam sententiam propendere soleo ut *κλάειν* et similia tanquam magis Attica in diverbiis tragicos scripsisse, alteram tamen formam aliquando sibi in melicis indulsisse putem. Hoc et Ellendtium censuisse video s. v. *κλάω*. Ne tamen temere quid factum videatur, codicum diversitatem hujusmodi in locis enotare haud gravatus sum: quos tamen magnopere verendum ut satis accurate in hisce minutiis adhuc collatos habeamus.

402. *ἀγηλατήσειν*. Dubitatur leni an aspero spiritu notandum sit hoc verbum. Asperum habet Eustath. Od. Λ. p. 1704. 5. Spiritum om. La.

405. *Οἰδίπους* Elmsleius cum Reisigio ad Œd. Col. p. 274. qui quod *Οἰδίπους* duodecies, *Οἰδίπου* ter solum apud Sophoclem occurrit, his tribus in locis *Οἰδίπους* legendum existimat. Rectius Hermannus h. l. libros sequendos duxit.

412. *τυφλόν μ' ὠνείδισας*. h. e. *ὡς τυφλὸν ὄντα*. Cum accusativo construitur Œd. Col. 1002. *τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον*.

βλέποντα νῦν μὲν ὄρθ', ἔπειτα δὲ σκότον.
βοῆς δὲ τῆς σῆς ποῖος οὐκ ἔσται λιμήν,
ποῖος Κιθαιρὼν οὐχὶ σύμφωνος τάχα,
ὅταν καταίσθῃ τὸν ὑμέναιον, ὃν δόμοις
ἄνορμον εἰσέπλευσας, εὐπλοίας τυχών;
ἄλλων δὲ πλῆθος οὐκ ἐπαισθάνει κακῶν,
ἅ σ' ἐξισώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις.
πρὸς ταῦτα καὶ Κρέοντα καὶ τοὐμὸν στόμα
προπηλάκιζε. σοῦ γὰρ οὐκ ἔστιν βροτῶν
κάκιον ὅστις ἐκτριβήσεταί ποτε.
ΟΙ. ἦ ταῦτα δῆτ' ἀνεκτὰ πρὸς τούτου κλύειν;
οὐκ εἰς ὄλεθρον; οὐχὶ θᾶσσον; οὐ πάλιν
ἄψορρος οἴκων τῶνδ' ἀποστραφεὶς ἄπει;
ΤΕ. οὐδ' ἱκόμην ἔγωγ' ἄν, εἰ σὺ μὴ 'κάλεις.
ΟΙ. οὐ γάρ τι σ' ᾔδη μῶρα φωνήσοντ', ἐπεὶ
σχολῇ γ' ἄν οἴκους τοὺς ἐμοὺς ἐστειλάμην.
ΤΕ. ἡμεῖς τοιοίδ' ἔφυμεν, ὡς μὲν σοὶ δοκεῖ,
μῶροι, γονεῦσι δ', οἵ σ' ἔφυσαν, ἔμφρονες.
ΟΙ. ποίοισι; μεῖνον. τίς δέ μ' ἐκφύει βροτῶν;
ΤΕ. ἥδ' ἡμέρα φύσει σε καὶ διαφθερεῖ.
ΟΙ. ὡς πάντ' ἄγαν αἰνικτὰ κἀσαφῆ λέγεις.
ΤΕ. οὔκουν σὺ ταῦτ' ἄριστος εὑρίσκειν ἔφυς.
ΟΙ. τοιαῦτ' ὀνείδιζ', οἷς ἔμ' εὑρήσεις μέγαν.
ΤΕ. αὕτη γε μέντοι σ' ἡ τύχη διώλεσεν.

420. *βοῆς* a *σύμφωνος* pendet. Cf. Matth. Gr. Gr. 379. fin.

422. *ὃν εἰσέπλευσας*. h. e. *εἰς ὃν ἔπλευσας*. Adde hoc exemplis a Dindorfio allatis ad Æsch. Choeph. 77. Cf. etiam Trach. 913. *ἐξαίφνης σφ' ὁρῶ τὸν Ἡράκλειον θάλαμον εἰσορμωμένην*.

423. *εὐπλοίας τυχών*. h. e. *recto quasi cursu ad ruinam impulsus*.

425. *ἅ σ' ἐξισώσει κ. τ. λ.* Quæ ubi senties, fallaci specie ablata *is qui vere es* (*ἴσος σοί*), parricida, incestus, et *liberorum frater* (*ἴσος τοῖς σοῖς τέκνοις*) judicabere. ERFURDT.

433. *ᾔδη* Valck. ad Hipp. 792. et sic E. pr. *ᾔδει* La. *ᾔδειν* vulgo.

434. *ἐστειλάμην*. gl. *μετεστειλάμην*. Sic verbum simplex usurpatur infra v. 860. Œd. Col. 298. Ant. 165. Phil. 60. 495.

439. *ἄγαν γ'* Tricl. imperite. *ἄγαν* ultimam producere vel tironibus notissimum.

440. *οὐκοῦν* libri recte, ut ar bitror, sine interrogatione: sicut etiam in v. 581. corrigendum puto.

ΟΙ. ἀλλ' εἰ πόλιν τήνδ' ἐξέσωσ', οὔ μοι μέλει.
ΤΕ. ἄπειμι τοίνυν· καὶ σύ, παῖ, κόμιζέ με.
ΟΙ. κομιζέτω δῆθ'· ὡς παρὼν σὺ γ' ἐμποδὼν
ὀχλεῖς, συθείς τ' ἂν οὐκ ἂν ἀλγύναις πλέον.
ΤΕ. εἰπὼν ἄπειμ' ὧν οὕνεκ' ἦλθον, οὐ τὸ σὸν
δείσας πρόσωπον. οὐ γὰρ ἔσθ' ὅπου μ' ὀλεῖς.
λέγω δέ σοι· τὸν ἄνδρα τοῦτον, ὃν πάλαι
ζητεῖς ἀπειλῶν, κἀνακηρύσσων φόνον
τὸν Λαΐειον, οὗτός ἐστιν ἐνθάδε,
ξένος λόγῳ μέτοικος, εἶτα δ' ἐγγενὴς
φανήσεται Θηβαῖος· οὐδ' ἡσθήσεται
τῇ ξυμφορᾷ. τυφλὸς γὰρ ἐκ δεδορκότος
καὶ πτωχὸς ἀντὶ πλουσίου ξένην ἔπι,
σκήπτρῳ προδεικνύς, γαῖαν ἐμπορεύσεται.
φανήσεται δὲ παισὶ τοῖς αὐτοῦ ξυνὼν
ἀδελφὸς αὐτὸς καὶ πατήρ, κἀξ ἧς ἔφυ
γυναικὸς υἱὸς καὶ πόσις, καὶ τοῦ πατρὸς
ὁμόσπορός τε καὶ φονεύς. καὶ ταῦτ' ἰὼν
εἴσω λογίζου· κἂν λάβῃς μ' ἐψευσμένον,
φάσκειν ἔμ' ἤδη μαντικῇ μηδὲν φρονεῖν.
ΧΟ. τίς ὅντιν' ἁ θεσπιέπεια Δελφὶς εἶπε πέτρα στροφὴ ά.
ἄρρητ' ἀρρήτων τελέσαντα φοινίαισι χερσίν;
ὥρα νιν ἀελλάδων

446. Caveant tirones ne prius ἂν cum συθεὶς conjungendum putent. Cf. Lex. Æsch. s. v. ἂν sub fin.

449. τὸν ἄνδρα τοῦτον. Cf. ad Œd. Col. 1150. Trach. 283.

458. αὐτός. Male αὐτὸς Schaeferus et Erfurdtius. Angl. *in his own person.* Eadem ratio est Phil. 500. εἰς σὲ γὰρ πομπόν τε καὐτὸν ἄγγελον, ἥκω. Contra in Phil. 119. σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ' ἅμα recte Vauvillersium αὐτὸς correxisse credo. Nec aliter in Œd. T. 557. καὶ νῦν ἔτ' αὐτός εἰμι τῷ βουλεύματι, ubi ad veram lectionem ducit quum ἔθ' αὐτὸς in La. tum Thucyd. iii. 38. ἐγὼ μὲν οὖν ὁ αὐτός εἰμι τῇ γνώμῃ. In Phil. 521. genuinæ lectionis vestigia item habet La. τόθ' οὐκέθ' αὐτός. Scribendum etiam αὐτός cum Brunckio in Œd. T. 1208. ᾧ μέγας λιμὴν αὐτὸς ἤρκεσεν παιδὶ καὶ πατρὶ θαλαμηπόλῳ πεσεῖν. El. 917. τοῖς αὐτοῖσί τοι οὐχ αὐτὸς ἀεὶ δαιμόνων παραστατεῖ. Ant. 929. ἔτι τῶν αὐτῶν ἀνέμων αὐταὶ ψυχῆς ῥιπαὶ τήνδε γ' ἔχουσιν, quorum in utroque articulum addendum esse facile apparet. Vid. Dawes. Miscell. Crit. p. 132. Porson. ad Eurip. Hec. v. 295.

465. ἄρρητ' ἀρρήτων. *maxime infanda.* Phil. 65. ἔσχατ' ἐσχάτων κακά. *mala plusquam maxima.* Brunck.

ἵππων σθεναρώτερον
φυγᾷ πόδα νωμᾶν.
ἔνοπλος γὰρ ἐπ' αὐτὸν ἐπενθρώσκει
πυρὶ καὶ στεροπαῖς ὁ Διὸς γενέτας·
δειναὶ δ' ἅμ' ἕπονται
Κῆρες ἀναμπλάκητοι.
ἔλαμψε γὰρ τοῦ νιφόεντος ἀρτίως φανεῖσα ἀντ. ά.
φάμα Παρνασοῦ, τὸν ἄδηλον ἄνδρα πάντ' ἰχνεύειν.
φοιτᾷ γὰρ ὑπ' ἀγρίαν
ὕλαν ἀνά τ' ἄντρα καὶ
πέτρας ὡς ταῦρος,
μέλεος μελέῳ ποδὶ χηρεύων,
τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων
μαντεῖα· τὰ δ' αἰεὶ
ζῶντα περιποτᾶται.
δεινὰ μὲν οὖν, δεινὰ ταράσσει σοφὸς οἰωνοθέτας στρ. β΄.
οὔτε δοκοῦντ' οὔτ' ἀποφάσκονθ'· ὅ τι λέξω δ' ἀπορῶ.
πέτομαι δ' ἐλπίσιν οὔτ' ἐνθάδ' ὁρῶν οὔτ' ὀπίσω.
τί γὰρ ἢ Λαβδακίδαις
ἢ τῷ Πολύβου νεῖκος ἔκειτ' οὔτε πάροιθέν ποτ' ἔγωγ'
οὔτε τανῦν πω
ἔμαθον, πρὸς ὅτου δὴ βασάνῳ

470. πυρὶ καὶ στεροπαῖς. Hendiadys.

472. Cf. ad Trach. 120.

478. ἅτε ταῦρος Dorvillius ad Charit. p. 464. ed. Lips. ne spondeo dactylus respondeat. Sed cf. Herm. Elem. Doctr. Metr. lib. iii. cap. ii. 28.

479. μέλεος μελέῳ ποδί. Cf. Schwenk. ad Æsch. Eum. 403. ed. nostr.

480. ἀπονοσφίζων. *evitare studens.*

481. αἰεὶ] ἀεὶ Γ. Δ. Θ.

483. Hæc ex Dindorfii sententia constituta sunt: quem vid. in annot. ad h. l.

488. ὀπίσω. *futura.* Tragicus apud Stob. 22. p. 188. Gesn. θνητὸς πεφυκὼς τὠπίσω πειρῶ βλέπειν. Vide Phil. 1105. Æsch. Suppl. 617. Eurip. Alex. fr. 10. Elmsl. Cf. Hom. Iliad. Λ. 343. de quo loco fallitur Musgravius.

489. ἢ Λαβδακίδαις ἢ τῷ Πολύβου. Duplex ἢ ex abundantia quadam additum.

494. βασάνῳ. h. e. μετὰ βασάνου, *certo cum indicio.* Mox v. 510. βασάνῳ θ' ἡδύπολις. Sensus est: *nihil certum novi, unde laudem quam apud omnes habet Œdipus aggrediar.*

ἐπὶ τὰν ἐπίδαμον φάτιν εἶμ᾽ Οἰδιπόδᾳ Λαβδακίδαις
ἐπίκουρος ἀδήλων θανάτων.
ἀλλ᾽ ὁ μὲν οὖν Ζεὺς ὅ τ᾽ Ἀπόλλων ξυνετοὶ καὶ τὰ
βροτῶν ἀντιστρ. β΄.
εἰδότες· ἀνδρῶν δ᾽ ὅτι μάντις πλέον ἢ ᾽γὼ φέρεται,
κρίσις οὐκ ἔστιν ἀληθής· σοφίᾳ δ᾽ ἂν σοφίαν
παραμείψειεν ἀνήρ.
ἀλλ᾽ οὔποτ᾽ ἔγωγ᾽ ἄν, πρὶν ἴδοιμ᾽ ὀρθὸν ἔπος, μεμφο-
μένων ἂν καταφαίην.
φανερὰ πτερόεσσ᾽ ἦλθε κόρα
ποτέ, καὶ σοφὸς ὤφθη, βασάνῳ θ᾽ ἡδύπολις· τῷ ἀπ᾽
ἐμᾶς
φρενὸς οὔποτ᾽ ὀφλήσει κακίαν.
ΚΡ. ἄνδρες πολῖται, δείν᾽ ἔπη πεπυσμένος
κατηγορεῖν μου τὸν τύραννον Οἰδίπουν,
πάρειμ᾽ ἀτλητῶν. εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς
ταῖς νῦν νομίζει πρός γ᾽ ἐμοῦ πεπονθέναι
λόγοισιν εἴτ᾽ ἔργοισιν εἰς βλάβην φέρον,
οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος,
φέροντι τήνδε βάξιν. οὐ γὰρ εἰς ἁπλοῦν
ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει,
ἀλλ᾽ ἐς μέγιστον, εἰ κακὸς μὲν ἐν πόλει,
κακὸς δὲ πρὸς σοῦ καὶ φίλων κεκλήσομαι.
ΧΟ. ἀλλ᾽ ἦλθε μὲν δὴ τοῦτο τοὔνειδος τάχ᾽ ἂν

501. πλέον φέρεται. *plus sapit, majorem prudentiæ partem habet.*

503. Hoc dicit: *quanquam scio fieri quidem posse ut alius alii prudentia antecellat.*

507. καταφαίην. *assentiar.* Arist. Metaph. 3. 7. ἡ διάνοια ἢ κατάφησιν ἢ ἀπόφησιν. MUSGRAV. μεμφομένων genitivus est absolutus.

509. γὰρ ἐπ᾽ αὐτῷ, quæ verba vulgo post φανερὰ leguntur, delevit Hermannus. ἐπ᾽ αὐτῷ prius exsulare jusserat Triclinius.

521. εἰς Γ.

523. τάχ᾽ ἄν. Cave hæc ἐκ παραλλήλου posita censeas cum Schaefero ad Greg. Cor. p. 44. Nam quæ inter se dissimilia sunt, hoc modo conjungi nequeunt. ἐκ παραλλήλου posita recte dixeris qualia sunt τάχα ἴσως, εἰκῇ ῥᾳδίως, ἄλλως μάτην κ. τ. λ. de quibus vid. Porson. ad Eurip. Hec. 487. non item τάχα ἄν. Nec Hermanno assentior ἂν cum participio βιασθὲν conjungenti, quod in tali structura fieri non posse puto. Elmsleius τάχ᾽ οὖν corrigit: ἂν ejicit Dindorfius: male utrumque. Immo has particulas unam quandam notionem efficere et ἂν ad optativum suppressum cogitatione referri arbitror, ut constructio sit, ἦλθε τοὔνειδος, τάχ᾽ ἄν, ὀργῇ βιασθέν. Eadem ratio Œd. Col. 965. θεοῖς γὰρ ἦν οὕτω φίλον τάχ᾽ ἄν τι μηνίουσιν εἰς γένος, ubi iterum male ἂν ad participium refert Hermannus. In Phil. 305. τάχ᾽ οὖν τις ἄκων ἔσχε, vulgata recte explicari potest, neque opus τάχ᾽ ἂν cum Hermanno reponere. Neminem latebit prorsus dissimiles esse locos illos ubi τάχ᾽ ἂν cum optativo constructum invenitur: ubi ἂν ad verbum necessario refertur, e. g. χοὖτος τάχ᾽ ἂν φρόνησιν ἐν τούτῳ λάβοι Phil. 1078. τάχ᾽ ἂν κἄμ᾽ ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι Œd. T. 136. ubi utrumque ἂν ad optativum θέλοι pertinet.

ὀργῇ βιασθὲν μᾶλλον ἢ γνώμῃ φρενῶν.
ΚΡ. πρὸς τοῦ δ᾽ ἐφάνθη ταῖς ἐμαῖς γνώμαις ὅτι
πεισθεὶς ὁ μάντις τοὺς λόγους ψευδεῖς λέγοι;
ΧΟ. ηὐδᾶτο μὲν τάδ᾽· οἶδα δ᾽ οὐ γνώμῃ τίνι.
ΚΡ. ἐξ ὀμμάτων δ᾽ ὀρθῶν τε κἀξ ὀρθῆς φρενὸς
κατηγορεῖτο τοὐπίκλημα τοῦτό μου;
ΧΟ. οὐκ οἶδ᾽· ἃ γὰρ δρῶσ᾽ οἱ κρατοῦντες οὐχ ὁρῶ.
αὐτὸς δ᾽ ὅδ᾽ ἤδη δωμάτων ἔξω περᾷ.
ΟΙ. οὗτος σύ, πῶς δεῦρ᾽ ἦλθες; ἢ τοσόνδ᾽ ἔχεις
τόλμης πρόσωπον ὥστε τὰς ἐμὰς στέγας
ἵκου, φονεὺς ὢν τοῦδε τἀνδρὸς ἐμφανῶς
λῃστής τ᾽ ἐναργὴς τῆς ἐμῆς τυραννίδος;
φέρ᾽ εἰπὲ πρὸς θεῶν, δειλίαν ἢ μωρίαν
ἰδών τιν᾽ ἔν μοι ταῦτ᾽ ἐβουλεύσω ποιεῖν;
ἢ τοὔργον ὡς οὐ γνωρίσοιμί σου τόδε
δόλῳ προσέρπον, κοὐκ ἀλεξοίμην μαθών;
ἆρ᾽ οὐχὶ μῶρόν ἐστι τοὐγχείρημά σου,
ἄνευ τε πλήθους καὶ φίλων τυραννίδα

525. πρὸς τοῦ δ᾽. Memorabilem jure vocat Dindorfius scripturam τοῦ πρὸς δ᾽ quam exhibent La. Δ. Pal. Paris. 2787. et paullo corruptius τοὖπος δ᾽ Γ.

526. λέγοι Porsonus, ex Aldo et tribus MSS. a Burtono collatis. Vulgo λέγει.

528. Hunc versum ex Suida s. v. ὀρθῆς φρενὸς restituerunt editores. Libri ἐξ ὀμμάτων ὀρθῶν δέ. De locutione cf. Porsonum ad Eurip. Hec. 958. et omnino Bentleium ad Horat. Od. I. iii. 18.

532. ἢ Elmsleius. Vulgo ἤ.

537. ἔν μοι Hermannus. Vulgo ἐν ἐμοί.

538. γνωριοῖμι Elmsleius. Sed libri omnes γνωρίσοιμι. Cf. Hermanni notam, qui recte, ut arbitror, vulgatam in textu retinuit.

541. ἄνευ τε πλήθους. Cf. Elmsl. ad Heracl. 622.

θηρᾶν, ὃ πλήθει χρήμασίν θ' ἁλίσκεται;
ΚΡ. οἶσθ' ὡς ποίησον; ἀντὶ τῶν εἰρημένων
ἴσ' ἀντάκουσον, κᾆτα κρῖν' αὐτὸς μαθών.
ΟΙ. λέγειν σὺ δεινός. μανθάνειν δ' ἐγὼ κακὸς
σοῦ· δυσμενῆ γὰρ καὶ βαρύν σ' εὕρηκ' ἐμοί.
ΚΡ. τοῦτ' αὐτὸ νῦν μου πρῶτ' ἄκουσον ὡς ἐρῶ.
ΟΙ. τοῦτ' αὐτὸ μή μοι φράζ', ὅπως οὐκ εἶ κακός.
ΚΡ. εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν
εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς.
ΟΙ. εἴ τοι νομίζεις ἄνδρα συγγενῆ κακῶς
δρῶν οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς.
ΚΡ. ξύμφημί σοι ταῦτ' ἔνδικ' εἰρῆσθαι· τὸ δὲ
πάθημ' ὁποῖον φῂς παθεῖν δίδασκέ με.
ΟΙ. ἔπειθες, ἢ οὐκ ἔπειθες, ὡς χρείη μ' ἐπὶ
τὸν σεμνόμαντιν ἄνδρα πέμψασθαί τινα;
ΚΡ. καὶ νῦν ἔθ' αὑτός εἰμι τῷ βουλεύματι.
ΟΙ. πόσον τιν' ἤδη δῆθ' ὁ Λάϊος χρόνον
ΚΡ. δέδρακε ποῖον ἔργον; οὐ γὰρ ἐννοῶ.
ΟΙ. ἄφαντος ἔρρει θανασίμῳ χειρώματι;
ΚΡ. μακροὶ παλαιοί τ' ἂν μετρηθεῖεν χρόνοι.
ΟΙ. τότ' οὖν ὁ μάντις οὗτος ἦν ἐν τῇ τέχνῃ;
ΚΡ. σοφός γ' ὁμοίως κἀξ ἴσου τιμώμενος.
ΟΙ. ἐμνήσατ' οὖν ἐμοῦ τι τῷ τότ' ἐν χρόνῳ;
ΚΡ. οὔκουν ἐμοῦ γ' ἑστῶτος οὐδαμοῦ πέλας.
ΟΙ. ἀλλ' οὐκ ἔρευναν τοῦ θανόντος ἔσχετε;
ΚΡ. παρέσχομεν, πῶς δ' οὐχί; κοὐκ ἠκούσαμεν.
ΟΙ. πῶς οὖν τόθ' οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε;

543. *ποίησον* Canterus, et ita Suidas s. v. *οἶσθα*. Vulgo *ποιήσων*. Cf. Matth. Gr. Gr. 511. 4.

555. *χρεί' ἦ* codices plerique. *χρείη* Dawesius, qui hanc medicinam non semel Sophocli adhibendam esse docuit Miscell. Crit. p. 333. Hunc secuti recentiores *χρείη* jam reposuerunt infr. v. 791. Œd. Col. 268. Ant. 884. Trach. 162. 166.

557. *ἔτ' αὐτὸς* libri nisi quod *ἔθ' αὐτός* La. Recte scribitur *ἔθ' αὑτὸς* præeunte Valcken. ad Eur. Phœn. 927. qu. vid. Cf. supra ad v. 458.

567. Recte commate tantum post *παρέσχομεν* interpunxit Bothius. Dindorfius comparat Æschyli versum apud Athen. 9. p. 375. e. *λευκός, τί δ' οὐχί; καὶ καλῶς ἠφευμένος ὁ χοῖρος.* Eadem locorum ratio ubi *πῶς δ' οὐκ ἂν* et similia mediæ orationi inseruntur, sicut infra v. 937.

ΚΡ. οὐκ οἶδ'· ἐφ' οἷς γὰρ μὴ φρονῶ σιγᾶν φιλῶ.
ΟΙ. τόσον δέ γ' οἶσθα καὶ λέγοις ἂν εὖ φρονῶν.
ΚΡ. ποῖον τόδ'; εἰ γὰρ οἶδά γ', οὐκ ἀρνήσομαι.
ΟΙ. ὁθούνεκ', εἰ μὴ σοὶ ξυνῆλθε, τὰς ἐμὰς
οὐκ ἄν ποτ' εἶπε Λαΐου διαφθοράς.
ΚΡ. εἰ μὲν λέγει τάδ', αὐτὸς οἶσθ'· ἐγὼ δέ σου
μαθεῖν δικαιῶ ταὔθ' ἅπερ κἀμοῦ σὺ νῦν.
ΟΙ. ἐκμάνθαν'· οὐ γὰρ δὴ φονεὺς ἁλώσομαι.
ΚΡ. τί δῆτ'; ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις;
ΟΙ. ἄρνησις οὐκ ἔνεστιν ὧν ἀνιστορεῖς.
ΚΡ. ἄρχεις δ' ἐκείνῃ ταὐτά, γῆς ἴσον νέμων;
ΟΙ. ἂν ᾖ θέλουσα πάντ' ἐμοῦ κομίζεται.
ΚΡ. οὐκοῦν ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος.
ΟΙ. ἐνταῦθα γὰρ δὴ καὶ κακὸς φαίνει φίλος.
ΚΡ. οὔκ, εἰ διδοίης γ' ὡς ἐγὼ σαυτῷ λόγον.
σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν' ἂν δοκεῖς
ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον ἢ
ἄτρεστον εὕδοντ', εἰ τά γ' αὔθ' ἕξει κράτη.
ἐγὼ μὲν οὖν οὔτ' αὐτὸς ἱμείρων ἔφυν
τύραννος εἶναι μᾶλλον ἢ τύραννα δρᾶν,
οὔτ' ἄλλος ὅστις σωφρονεῖν ἐπίσταται.
νῦν μὲν γὰρ ἐκ σοῦ πάντ' ἄνευ φόβου φέρω·
εἰ δ' αὐτὸς ἦρχον, πολλὰ κἂν ἄκων ἔδρων.
πῶς δῆτ' ἐμοὶ τυραννὶς ἡδίων ἔχειν
ἀρχῆς ἀλύπου καὶ δυναστείας ἔφυ;
οὔπω τοσοῦτον ἠπατημένος κυρῶ

570. *τοσόνδε γ'* Ald. *τὸ σὸν δὲ* La. Lb. *τόσον δέ γ'* edidi cum Hermanno et Reisigio ad Œd. Col. p. 480.

572. *ὁθούνεκ'*. De hujus vocis scriptura vid. Lobeck ad Soph. Aj. v. 123.

τὰς ἐμάς. *Hanc quam meam dicit Laii cædem, nunquam memorasset.* Elegans, nec tamen necessaria, Doederlini conjectura *τάσδ'*, quam recepit Wunderus. Cf. infra v. 634.

575. *ταὔθ'* Brunckius. *ταῦθ'* libri.

581. *οὐκοῦν*. Vid. ad v. 440.

588. *τύραννος* similiter adjectivi vicem obtinet Ant. 1169.

ὥστ' ἄλλα χρῄζειν ἢ τὰ σὺν κέρδει καλά.
νῦν πᾶσι χαίρω, νῦν με πᾶς ἀσπάζεται,
νῦν οἱ σέθεν χρῄζοντες ἐκκαλοῦσί με.
τὸ γὰρ τυχεῖν αὐτοῖς ἅπαντ' ἐνταῦθ' ἔνι.
πῶς δῆτ' ἐγὼ κεῖν' ἂν λάβοιμ' ἀφεὶς τάδε ;
οὐκ ἂν γένοιτο νοῦς κακὸς καλῶς φρονῶν.
ἀλλ' οὔτ' ἐραστὴς τῆσδε τῆς γνώμης ἔφυν,
οὔτ' ἂν μετ' ἄλλου δρῶντος ἂν τλαίην ποτέ.
καὶ τῶνδ' ἔλεγχον, τοῦτο μὲν Πυθώδ' ἰὼν
πεύθου τὰ χρησθέντ', εἰ σαφῶς ἤγγειλά σοι·
τοῦτ' ἄλλ', ἐάν με τῷ τερασκόπῳ λάβῃς
κοινῇ τι βουλεύσαντα, μή μ' ἁπλῇ κτάνῃς
ψήφῳ, διπλῇ δέ, τῇ τ' ἐμῇ καὶ σῇ, λαβών.
γνώμῃ δ' ἀδήλῳ μή με χωρὶς αἰτιῶ.
οὐ γὰρ δίκαιον οὔτε τοὺς κακοὺς μάτην
χρηστοὺς νομίζειν, οὔτε τοὺς χρηστοὺς κακούς.
φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν ἴσον λέγω
καὶ τὸν παρ' αὑτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ.
ἀλλ' ἐν χρόνῳ γνώσει τάδ' ἀσφαλῶς· ἐπεὶ
χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος·
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.

ΧΟ. καλῶς ἔλεξεν εὐλαβουμένῳ πεσεῖν,
ἄναξ. φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς.

ΟΙ. ὅταν ταχύς τις οὑπιβουλεύων λάθρα
χωρῇ, ταχὺν δεῖ κἀμὲ βουλεύειν πάλιν.
εἰ δ' ἡσυχάζων προσμενῶ, τὰ τοῦδε μὲν
πεπραγμέν' ἔσται, τἀμὰ δ' ἡμαρτημένα.

ΚΡ. τί δῆτα χρῄζεις ; ἦ με γῆς ἔξω βαλεῖν ;

ΟΙ. ἥκιστα. θνήσκειν, οὐ φυγεῖν σε βούλομαι.

ΚΡ. ὅταν προδείξῃς οἷόν ἐστι τὸ φθονεῖν.

ΟΙ. ὡς οὐχ ὑπείξων οὐδὲ πιστεύσων λέγεις.

ΚΡ. οὐ γὰρ φρονοῦντά σ' εὖ βλέπω. ΟΙ. τὸ γοῦν ἐμόν.

ΚΡ. ἀλλ' ἐξ ἴσου δεῖ κἀμόν. ΟΙ. ἀλλ' ἔφυς κακός.

ΚΡ. εἰ δὲ ξυνίῃς μηδέν ; ΟΙ. ἀρκτέον γ' ὅμως.

ΚΡ. οὔτοι κακῶς γ' ἄρχοντος. ΟΙ. ὦ πόλις πόλις.

ΚΡ. κἀμοὶ πόλεως μέτεστιν, οὐχὶ σοὶ μόνῳ.

ΧΟ. παύσασθ', ἄνακτες· καιρίαν δ' ὑμῖν ὁρῶ
τήνδ' ἐκ δόμων στείχουσαν Ἰοκάστην, μεθ' ἧς
τὸ νῦν παρεστὸς νεῖκος εὖ θέσθαι χρεών.

ΙΟΚΑΣΤΗ.

τί τὴν ἄβουλον, ὦ ταλαίπωροι, στάσιν
γλώσσης ἐπήρασθ', οὐδ' ἐπαισχύνεσθε γῆς
οὕτω νοσούσης ἴδια κινοῦντες κακά ;
οὐκ εἶ σύ τ' οἴκους, σύ τε, Κρέων, κατὰ στέγας,
καὶ μὴ τὸ μηδὲν ἄλγος εἰς μέγ' οἴσετε ;

597. ἐκκαλοῦσί με. *evocant me*; sc. ex ædibus, rogantque ut ipsorum petitiones tibi proponam. ERFURDT. Nescio tamen an vere αἰκάλλουσί με conjecerit L. Dindorfius.

598. *Omnia quæ cupiunt ut consequantur in me positum esse intelligunt.* BRUNCK.

601. *Nunquam amavi hanc mentis dispositionem*, i. e. eam quæ titulis et fastu capitur. MUSGRAV.

602. τλαίην ποτέ. Ex δρῶντος supplendum δρᾶν. ERFURDT.

603. καὶ τῶνδ' ἔλεγχον. De hoc accusativi usu cf. Matth. Gr. Gr. 432. 5.

605. τοῦτ' ἄλλ' Brunckius, coll. Ant. v. 167. ubi post τοῦτο μὲν sequitur τοῦτ' αὖθις. Vulgo ταῦτ'. ἀλλ' κ. τ. λ. Cf. Matth. Gr. Gr. 288. obs. 2.

612. τὸν παρ' αὑτῷ βίοτον. h. e. τὸν αὑτοῦ βίοτον, *vitam suam.* ERFURDT.

616. *Recte hæc dicta esse fateberis, o rex, si caves ne labaris.* BRUNCK.

618. ταχύς τις. Cf. Aj. 1266. τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς χάρις διαρρεῖ. et vid. Matth. Gr. Gr. 487. 4.

622. ἦ με Lb. et ita correxit Brunckius. ἤ με vulgo.

624. Hoc dicit: *ubi ostenderis, quid sit quo indignere.* HERMANN.

625. Interrogandi notulam delevi.

628. ἀρκτέον γ' ὅμως tanquam passive dictum accipiunt Schaefer. Ellendt. Dindorf. quod fieri vix posse puto. Equidem ita genitivum in οὔτοι κακῶς γ' ἄρχοντος defendi posse arbitror, si Creontem ad sensum magis Œdipi verborum quam ad constructionem attendisse statuas. Dicit Œdipus: *imperio mihi est utendum.* Respondet Creon: *illud vero minime tibi concesserim, si male imperas.* ἄρχοντος autem genitivus absolutus est.

ξυνίῃς. Vid. Porson. ad Eurip. Orest. 141.

633. παρεστὼς vulgo. Sed alterum habet La. pr. Cf. Buttm. Gr. Gr. Maj. 11. p. 158.

634. τήνδ' Doederlinus. Sed articulum demonstrandi vim habere non paucis ex locis constat. Aj. 1187. τὰν ἄπαυστον αἰὲν ἐμοὶ δορυσσοήτων μόχθων ἄταν ἐπάγων. El. 166. τὸν ἀνήνυτον οἶτον ἔχουσα κακῶν. Phil. 313. τὴν ἀδηφάγον νόσον. Cf. supra v. 572.

ΚΡ. ὅμαιμε, δεινά μ' Οἰδίπους ὁ σὸς πόσις
δρᾶσαι δικαιοῖ, δυοῖν ἀποκρίνας κακοῖν,
ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβών.
ΟΙ. ξύμφημι. δρῶντα γάρ νιν, ὦ γύναι, κακῶς
εἴληφα τοὐμὸν σῶμα σὺν τέχνῃ κακῇ.
ΚΡ. μὴ νῦν ὀναίμην, ἀλλ' ἀραῖος, εἴ σέ τι
δέδρακ', ὀλοίμην, ὧν ἐπαιτιᾷ με δρᾶν.
ΟΙ. ὦ πρὸς θεῶν πίστευσον, Οἰδίπους, τάδε,
μάλιστα μὲν τόνδ' ὅρκον αἰδεσθεὶς θεῶν,
ἔπειτα κἀμέ, τούσδε θ' οἳ πάρεισί σοι.
ΧΟ. πιθοῦ θελήσας φρονήσας τ', στρ. α'.
ἄναξ, λίσσομαι.
ΟΙ. τί σοι θέλεις δῆτ' εἰκάθω;
ΧΟ. τὸν οὔτε πρὶν νήπιον
νῦν τ' ἐν ὅρκῳ μέγαν
καταίδεσαι.
ΟΙ. οἶσθ' οὖν ἃ χρῄζεις; ΧΟ. οἶδα. ΟΙ. φράζε
δὴ τί φῄς.
ΧΟ. τὸν ἐναγῆ φίλον μήποτ' ἐν αἰτίᾳ
σὺν ἀφανεῖ λόγῳ ἄτιμον βαλεῖν.
ΟΙ. εὖ νῦν ἐπίστω, ταῦθ' ὅταν ζητῇς, ἐμοὶ
ζητῶν ὄλεθρον ἢ φυγὴν ἐκ τῆσδε γῆς.
ΧΟ. οὐ τὸν πάντων θεῶν θεὸν πρόμον Ἅλιον· στροφὴ β'.
ἐπεὶ ἄθεος ἄφιλος ὅ τι πύματον
ὀλοίμαν, φρόνησιν εἰ τάνδ' ἔχω.
ἀλλά μοι δυσμόρῳ γᾶ φθίνουσα

640. δυοῖν monosyllabum est. Cf. Dindorfii notam. De antepenultima in ἀποκρίνας producta vid. Porson. ad Orest. 64. Erfurdt. et Elmsl. ad h. l. Cf. El. 9.

652. ἐν ὅρκῳ μέγαν. *jurisjurandi religione reverendum.*

656. τὸν ἐναγῆ φίλον eum dicit qui jurejurando sese obstrinxit, ἐν ὅρκῳ μέγαν. Cum locutione ἐν αἰτίᾳ βαλεῖν Musgravius contulit Plat. p. 1287. F. μηδέποτε βαλεῖν ἐν αἰτίᾳ τὸν δεικνύντα. Diversus est locus Trach. v. 940. ab eodem citatus.

657. σ' post λόγῳ hiatus tollendi caussa addit Hermannus.

660. οὐ τὸν h. e. οὐ μὰ τὸν κ. τ. λ. Sæpissime μὰ sic opprimitur, ut infra v. 1088. Ant. 758. El. 1063. Eurip. Ion. 870. Brunck.

661. ὅ τι πύματον ὀλοίμαν. *peream miserrime.*

665. Versus metri indicio corruptus.

τρύχει ψυχάν, τάδ' εἰ κακοῖς κακὰ
προσάψει τοῖς πάλαι τὰ πρὸς σφῷν.
ΟΙ. ὁ δ' οὖν ἴτω, κεἰ χρή με παντελῶς θανεῖν,
ἢ γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι βίᾳ.
τὸ γὰρ σόν, οὐ τὸ τοῦδ', ἐποικτείρω στόμα
ἐλεινόν· οὗτος δ' ἔνθ' ἂν ᾖ στυγήσεται.
ΚΡ. στυγνὸς μὲν εἴκων δῆλος εἶ, βαρὺς δ', ὅταν
θυμοῦ περάσῃς. αἱ δὲ τοιαῦται φύσεις
αὑταῖς δικαίως εἰσὶν ἄλγισται φέρειν.
ΟΙ. οὔκουν μ' ἐάσεις κἀκτὸς εἶ; ΚΡ. πορεύσομαι,
σοῦ μὲν τυχὼν ἀγνῶτος, ἐν δὲ τοῖσδ' ἴσος.
ΧΟ. γύναι, τί μέλλεις κομίζειν ἀντιστροφὴ α'.
δόμων τόνδ' ἔσω;
ΙΟ. μαθοῦσά γ' ἥτις ἡ τύχη.
ΧΟ. δόκησις ἀγνὼς λόγων
ἦλθε, δάπτει δὲ καὶ
τὸ μὴ 'νδικον.
ΙΟ. ἀμφοῖν ἀπ' αὐτοῖν; ΧΟ. ναίχι. ΙΟ. καὶ τίς
ἦν λόγος;
ΧΟ. ἅλις ἔμοιγ', ἅλις, γᾶς προπονουμένας,
φαίνεται ἔνθ' ἔληξεν, αὐτοῦ μένειν.

666. τάδ' εἰ. Legebatur καὶ τάδ' εἰ. καὶ olim delevit Hermannus, qui postea conjecit, ψυχὰν deleto, ἀλλά μ' ἁ δυσμόρως γᾶ φθίνουσα τρύχει, καὶ τάδ' εἰ κ. τ. λ. προσάψει activum esse et a γᾶ v. 665. pendere monuit Elmsleius, sc. *insuper habitura est.* Nescio tamen an rectius προσάψει intransitive dictum acceperint alii. Ita Gl. συναφθήσεται, συνελεύσεται.

669. ὁ δ' ex lemmate Scholii scripsit Dindorfius: idem facturus in Trach. 329. Aj. 961. præeunte hic quidem Berglero ad Arist. Ach. 186.

672. ἐλεινὸν Erfurdtius, ex Porsoni sententia, Præf. ad Hecub. p. viii.

674. θυμοῦ περάσῃς. Notanda constructio verbi περᾶν cum genitivo, excusabilis eo quod περάσῃς idem est quod πέραν ᾖς. Dindorf. Schol. ὅταν ἐπὶ τὸ πέρας ἔλθῃς τῆς ὀργῆς.

676. οὔκουν La. corr. in rasura. οὐκ οὖν vulgo.

677. ἴσος, *in eadem qua antea dignatione habitus*, aut *justus.* Erfurdt. Hoc melius.

681. δόκησις ἀγνὼς λόγων. Speciem dicit quam præ se ferre videbantur sermones quos invicem audiverant.

683. δάπτει δὲ καὶ τὸ μὴ 'νδικον. *Mordet* sc. Creontem *injusta Œdipi criminatio.* Musgrav. Recte, nisi quod generaliter hoc expressit poeta.

ΟΙ. ὁρᾷς ἵν' ἥκεις, ἀγαθὸς ὢν γνώμην ἀνήρ,
τοὐμὸν παριεὶς καὶ καταμβλύνων κέαρ;
ΧΟ. ὦναξ, εἶπον μὲν οὐχ ἅπαξ μόνον, ἴσθι δὲ ἀντιστρ. β'.
παραφρόνιμον, ἄπορον ἐπὶ φρόνιμα
πεφάνθαι μ' ἄν, εἴ σε νοσφίζομαι,
ὅς τ' ἐμὰν γᾶν φίλαν ἐν πόνοις
ἀλύουσαν κατ' ὀρθὸν οὔρισας,
ταννῦν δ' εὔπομπος, εἰ δύναιο.
ΙΟ. πρὸς θεῶν δίδαξον κἄμ', ἄναξ, ὅτου ποτὲ
μῆνιν τοσήνδε πράγματος στήσας ἔχεις.
ΟΙ. ἐρῶ· σὲ γὰρ τῶνδ' ἐς πλέον, γύναι, σέβω·
Κρέοντος, οἷά μοι βεβουλευκὼς ἔχει.
ΙΟ. λέγ', εἰ σαφῶς τὸ νεῖκος ἐγκαλῶν ἐρεῖς.
ΟΙ. φονέα με φησὶ Λαΐου καθεστάναι.
ΙΟ. αὐτὸς ξυνειδώς, ἢ μαθὼν ἄλλου πάρα;
ΟΙ. μάντιν μὲν οὖν κακοῦργον εἰσπέμψας, ἐπεὶ
τό γ' εἰς ἑαυτὸν πᾶν ἐλευθεροῖ στόμα.
ΙΟ. σὺ νῦν ἀφεὶς σεαυτὸν ὧν λέγεις πέρι,
ἐμοῦ 'πάκουσον καὶ μάθ' οὕνεκ' ἐστί σοι
βρότειον οὐδὲν μαντικῆς ἔχον τέχνης.
φανῶ δέ σοι σημεῖα τῶνδε σύντομα.
χρησμὸς γὰρ ἦλθε Λαΐῳ ποτ', οὐκ ἐρῶ
Φοίβου γ' ἄπ' αὐτοῦ, τῶν δ' ὑπηρετῶν ἄπο,
ὡς αὐτὸν ἥξοι μοῖρα πρὸς παιδὸς θανεῖν,
ὅστις γένοιτ' ἐμοῦ τε κἀκείνου πάρα.

691. *ἄπορος ἐπὶ φρόνιμα* is dicitur quem nullo modo ad sanam mentem reduci posse patet.

692. *εἴ σε νοσφίζομαι.* *si caussam meam a tua segregem, si te deseram.*

696. *ταννῦν δ'* scripsi cum La. pr. Lb. Lc. Γ. Δ. et aliis. Vulgo *ταννῦν τ'*. Cf. ad Trach. 333. 334.

697. Quod ex interpretamento natum post *δύναιο* addunt libri *γενοῦ* vel *γίνου* delevit Hermannus.

701. *Κρέοντος.* Respondet genitivo *ὅτου* v. 698. Dindorf.

702. *τὸ νεῖκος.* *caussam rixæ.* Erfurdt.

706. *quod ad seipsum attinet, suam linguam penitus liberat* s. excusat, omnem scilicet culpam transferens in Tiresiam. Id.

709. *μαντικῆς ἔχον τέχνης.* Eodem redit ac si *μετέχον* dixisset. *Non pendent res humanæ a vaticiniis.*

713. *ἥξοι* La. pr. Lb. Lc. *ἥξει* vul. In locis hujusmodi ubi utraque lectio per linguæ leges stare potest, quod optimi præbent codices, præferendum duxi.

καὶ τὸν μέν, ὥσπερ γ' ἡ φάτις, ξένοι ποτὲ
λῃσταὶ φονεύουσ' ἐν τριπλαῖς ἁμαξιτοῖς·
παιδὸς δὲ βλάστας οὐ διέσχον ἡμέραι
τρεῖς, καί νιν ἄρθρα κεῖνος ἐνζεύξας ποδοῖν,
ἔρριψεν ἄλλων χερσὶν εἰς ἄβατον ὄρος.
κἀνταῦθ' Ἀπόλλων οὔτ' ἐκεῖνον ἤνυσεν
φονέα γενέσθαι πατρός, οὔτε Λάϊον
τὸ δεινὸν οὑφοβεῖτο πρὸς παιδὸς παθεῖν.
τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν,
ὧν ἐντρέπου σὺ μηδέν. ὧν γὰρ ἂν θεὸς
χρείαν ἐρευνᾷ ῥᾳδίως αὐτὸς φανεῖ.
ΟΙ. οἷόν μ' ἀκούσαντ' ἀρτίως ἔχει, γύναι,
ψυχῆς πλάνημα κἀνακίνησις φρενῶν.
ΙΟ. ποίας μερίμνης τοῦθ' ὑποστραφεὶς λέγεις;
ΟΙ. ἔδοξ' ἀκοῦσαί σου τόδ', ὡς ὁ Λάϊος
κατασφαγείη πρὸς τριπλαῖς ἁμαξιτοῖς.
ΙΟ. ηὐδᾶτο γὰρ ταῦτ', οὐδέ πω λήξαντ' ἔχει.
ΟΙ. καὶ ποῦ 'σθ' ὁ χῶρος οὗτος οὗ τόδ' ἦν πάθος;
ΙΟ. Φωκὶς μὲν ἡ γῆ κλῄζεται, σχιστὴ δ' ὁδὸς
ἐς ταὐτὸ Δελφῶν κἀπὸ Δαυλίας ἄγει.

717. *παιδὸς δὲ βλάστας οὐ διέσχον.* Regitur accusativus a *διέσχον*, quod vidit Matthiæ. *Natales pueri non distinuerunt tres dies* ab eo quod postea factum est: h. e. tres dies inde a natu pueri non elapsi sunt. Cæterum de correptione vocalis ante consonantes *βλ* vid. ad El. 440. coll. Phil. 1311. Mutatione ergo nihil opus.

718. *καί.* Similis hujus copulæ usus Phil. 354. *ἦν δ' ἦμαρ ἤδη δεύτερον πλέοντί μοι, κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ κατηγόμην.* Ant. 1186. *καὶ τυγχάνω τε κλῆθρ' ἀνασπαστοῦ πύλης χαλῶσα, καί με φθόγγος οἰκείου κακοῦ βάλλει δι' ὤτων.* ubi vid. Hermanni notam. Thucyd. i. 50. *ἤδη δὲ ἦν ὀψὲ καὶ ἐπεπαιώνιστο αὐτοῖς ὡς ἐς ἐπίπλουν, καὶ οἱ Κορίνθιοι πρύμναν ἐκρούοντο.* Plura dabunt Lexica, et cf. Matth. Gr. Gr. 620. a.

719. *ἄβατον εἰς ὄρος* eleganter certe Musgravius. Cf. Prom. v. 2.

720. *κἀνταῦθ'.* *hæc quum diceret.* *ἤνυσεν.* *prædixit.* Vid. supra ad v. 155.

722. *παθεῖν.* Sic La. Lc. a sec. m. et suprascriptum in A. *θανεῖν* vulgo, quod ex v. 713. repetitum videri monet Brunckius.

724. *ὧν ἂν χρείαν ἐρευνᾷ.* *quibus in rebus Deus utilitatem aliquam quærit, eas facile ipse manifestas reddet.* Hermannus: Necessitatem sive utilitatem rei dixit pro re qua opus est.

729. *ἀκοῦσαί σου.* Sic Palat. Vulgo. *ἀκοῦσαι σοῦ.*

734. *ἐς* (*εἰς* Γ.) *ταὐτὸ Δελφῶν κἀπὸ Δαυλίας ἄγει.* h. e. *ἀπὸ Δελ-*

ΟΙ. καὶ τίς χρόνος τοῖσδ᾽ ἐστὶν οὐξεληλυθώς;
ΙΟ. σχεδόν τι πρόσθεν ἢ σὺ τῆσδ᾽ ἔχων χθονὸς
ἀρχὴν ἐφαίνου τοῦτ᾽ ἐκηρύχθη πόλει.
ΟΙ. ὦ Ζεῦ· τί μου δρᾶσαι βεβούλευσαι πέρι;
ΙΟ. τί δ᾽ ἐστί σοι τοῦτ᾽, Οἰδίπους, ἐνθύμιον;
ΟΙ. μήπω μ᾽ ἐρώτα. τὸν δὲ Λάϊον φύσιν
τίν᾽ εἶχε φράζε, τίνα δ᾽ ἀκμὴν ἥβης ἔχων.
ΙΟ. μέγας, χνοάζων ἄρτι λευκανθὲς κάρα,
μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολύ.
ΟΙ. οἴμοι τάλας· ἔοικ᾽ ἐμαυτὸν εἰς ἀρὰς
δεινὰς προβάλλων ἀρτίως οὐκ εἰδέναι.
ΙΟ. πῶς φής; ὀκνῶ τοι πρὸς σ᾽ ἀποσκοποῦσ᾽, ἄναξ.
ΙΟ· δεινῶς ἀθυμῶ μὴ βλέπων ὁ μάντις ᾖ.
δείξεις δὲ μᾶλλον, ἢν ἓν ἐξείπῃς ἔτι.
ΙΟ. καὶ μὴν ὀκνῶ μέν, ἃ δ᾽ ἂν ἔρῃ μαθοῦσ᾽ ἐρῶ.
ΟΙ. πότερον ἐχώρει βαιός, ἢ πολλοὺς ἔχων
ἄνδρας λοχίτας οἷ᾽ ἀνὴρ ἀρχηγέτης;
ΙΟ. πέντ᾽ ἦσαν οἱ ξύμπαντες, ἐν δ᾽ αὐτοῖσιν ἦν
κῆρυξ· ἀπήνη δ᾽ ἦγε Λάϊον μία.
ΟΙ. αἰαῖ, τάδ᾽ ἤδη διαφανῆ. τίς ἦν ποτὲ
ὁ τούσδε λέξας τοὺς λόγους ὑμῖν, γύναι;

φῶν καὶ ἀπὸ Δαυλίας. Erfurdt. Constructio notissima. Cf. 761. ἀγρούς σφε πέμψαι κἀπὶ ποιμνίων νομάς.

735. τοῖσδ᾽. *ex quo hæc gesta sunt.* Thuc. I. 13. ἔτη δὲ μάλιστα καὶ ταύτῃ (τῇ ναυμαχίᾳ) ἑξήκοντα καὶ διακόσιά ἐστι μέχρι τοῦ νῦν χρόνου. Erf.

741. ἔχων. i. e. ἔχων ἦν, verbo ex præcedente εἶχε repetendo. Dindorf. Fallitur Schaeferus, qui ἔχων abundare putat.

749. ἃ δ᾽ ἂν ἔρῃ. Hanc lectionem in plerisque codicibus repertam mutare nolui. Probabile tamen est ἂν δ᾽ ἔρῃ quod ex duobus codd. prætulerunt Schaef. Dindorf. Herod. vii. c. 8, 4. ὃς ἂν δὲ ἥκῃ. ii. c. 63. in. εὖτ᾽ ἂν δὲ γίγνηται, affert Schaeferus, quibus duo exempla ex Athenæo addidit Dindorfius.

750. βαιός. *tenuiter, cum exiguo comitatu.* Musgrav.

753. κῆρυξ ex veterum grammaticorum præcepto et hic et alibi revocavit Dindorfius.

754. αἶ αἶ vulgo. Veteres αἰαῖ scripsisse ex Herodiani libro περὶ μονήρους λέξεως, p. 27. 13. notat Dind ad Aj. v. 370. unde librarios αἶ et similia impari subinde numero scribentes peccasse liquet. Cf. Herm. infra ad v. 1307. et ad Trach. 964. ed. Herm. Hoc obiter post alios correximus.

ΙΟ. οἰκεύς τις, ὅσπερ ἵκετ᾽ ἐκσωθεὶς μόνος.
ΟΙ. ἦ κἀν δόμοισι τυγχάνει τανῦν παρών;
ΙΟ. οὐ δῆτ᾽· ἀφ᾽ οὗ γὰρ κεῖθεν ἦλθε καὶ κράτη
σέ τ᾽ εἶδ᾽ ἔχοντα, Λάϊόν τ᾽ ὀλωλότα,
ἐξικέτευσε τῆς ἐμῆς χειρὸς θιγὼν
ἀγρούς σφε πέμψαι κἀπὶ ποιμνίων νομάς,
ὡς πλεῖστον εἴη τοῦδ᾽ ἄποπτος ἄστεως.
κἄπεμψ᾽ ἐγώ νιν. ἄξιος γὰρ οἷ᾽ ἀνὴρ
δοῦλος φέρειν ἦν τῆσδε καὶ μείζω χάριν.
ΟΙ. πῶς ἂν μόλοι δῆθ᾽ ἡμὶν ἐν τάχει πάλιν;
ΙΟ. πάρεστιν. ἀλλὰ πρὸς τί τοῦτ᾽ ἐφίεσαι;
ΟΙ. δέδοικ᾽ ἐμαυτόν, ὦ γύναι, μὴ πόλλ᾽ ἄγαν
εἰρημέν᾽ ᾖ μοι δι᾽ ἅ νιν εἰσιδεῖν θέλω.
ΙΟ ἀλλ᾽ ἵξεται μέν· ἀξία δέ που μαθεῖν
κἀγὼ τά γ᾽ ἐν σοὶ δυσφόρως ἔχοντ᾽, ἄναξ.
ΟΙ. κοὐ μὴ στερηθῇς γ᾽, ἐς τοσοῦτον ἐλπίδων
ἐμοῦ βεβῶτος. τῷ γὰρ ἂν καὶ μείζονι
λέξαιμ᾽ ἂν ἢ σοὶ διὰ τύχης τοιᾶσδ᾽ ἰών;
ἐμοὶ πατὴρ μὲν Πόλυβος ἦν Κορίνθιος,
μήτηρ δὲ Μερόπη Δωρίς. ἠγόμην δ᾽ ἀνὴρ
ἀστῶν μέγιστος τῶν ἐκεῖ, πρίν μοι τύχη
τοιάδ᾽ ἐπέστη, θαυμάσαι μὲν ἀξία,
σπουδῆς γε μέντοι τῆς ἐμῆς οὐκ ἀξία.
ἀνὴρ γὰρ ἐν δείπνοις μ᾽ ὑπερπλησθεὶς μέθης
καλεῖ παρ᾽ οἴνῳ, πλαστὸς ὡς εἴην πατρί.
κἀγὼ βαρυνθεὶς τὴν μὲν οὖσαν ἡμέραν
μόλις κατέσχον· θἀτέρᾳ δ᾽ ἰὼν πέλας
μητρὸς πατρός τ᾽ ἤλεγχον· οἱ δὲ δυσφόρως
τοὔνειδος ἦγον τῷ μεθέντι τὸν λόγον.

763. οἷ᾽ Hermanno debetur. Phil. 584. Orest. 32. confert Elmsleius. ὅγ᾽ vel ὅδ᾽ vel ὅδε γ᾽ libri.

766. τοῦτ᾽ ἐφίεσαι. gl. ἐντέλλῃ h. e. *jubes.* Recte: nisi legendum potius τοῦδ᾽ ἐφίεσαι.

771. ἐλπίδων. Cf. ad Trach. 111.

780. καλεῖ με ὡς πλαστὸς εἴην. Dicta hoc sensu sunt: καλεῖ με πλαστὸν εἶναι. Wunder.

κἀγὼ τὰ μὲν κείνοιν ἐτερπόμην, ὅμως δ'
ἔκνιζέ μ' ἀεὶ τοῦθ'· ὑφεῖρπε γὰρ πολύ.
λάθρα δὲ μητρὸς καὶ πατρὸς πορεύομαι
Πυθῶδε. καί μ' ὁ Φοῖβος ὧν μὲν ἱκόμην
ἄτιμον ἐξέπεμψεν, ἄλλα δ' ἄθλια
καὶ δεινὰ καὶ δύστηνα προὐφάνη λέγων,
ὡς μητρὶ μὲν χρείη με μιχθῆναι, γένος δ'
ἄτλητον ἀνθρώποισι δηλώσοιμ' ὁρᾶν,
φονεὺς δ' ἐσοίμην τοῦ φυτεύσαντος πατρός.
κἀγὼ 'πακούσας ταῦτα, τὴν Κορινθίαν
ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα
ἔφευγον, ἔνθα μήποτ' ὀψοίμην κακῶν
χρησμῶν ὀνείδη τῶν ἐμῶν τελούμενα.
στείχων δ' ἱκνοῦμαι τούσδε τοὺς χώρους ἐν οἷς
σὺ τὸν τύραννον τοῦτον ὄλλυσθαι λέγεις.
καί σοι, γύναι, τἀληθὲς ἐξερῶ. τριπλῆς
ὅτ' ἦν κελεύθου τῆσδ' ὁδοιπορῶν πέλας,
ἐνταῦθά μοι κῆρύξ τε κἀπὶ πωλικῆς
ἀνὴρ ἀπήνης ἐμβεβώς, οἷον σὺ φῄς,
ξυνηντίαζον· κἀξ ὁδοῦ μ' ὅ θ' ἡγεμὼν
αὐτός θ' ὁ πρέσβυς πρὸς βίαν ἠλαυνέτην.
κἀγὼ τὸν ἐκτρέποντα, τὸν τροχηλάτην,
παίω δι' ὀργῆς· καί μ' ὁ πρέσβυς ὡς ὁρᾷ,
ὄχου, παραστείχοντα τηρήσας, μέσον
κάρα διπλοῖς κέντροισί μου καθίκετο.

785. *τὰ μὲν κείνοιν ἐτερπόμην. iis quidem quæ illi dixerunt, gaudebam.* Regitur accusativus ab *ἐτερπόμην.* Cf. Aj. 136. *σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω.* 790. *πρᾶξιν ἣν ἤλγησ' ἐγώ.* Phil. 906. *τοῦτ' ἀνιῶμαι πάλαι.* 1021. *ἐγὼ δ' ἀλγύνομαι τοῦτ' αὔθ'.* 1314. *ἥσθην πατέρα τὸν ἀμὸν εὐλογοῦντά σε.*

786. *ἀεὶ* La. Γ. Δ. Θ. Pal. Vulgo *αἰεί.*

790. *προὔφηνεν* Wunderus, quod non displicet.

794. *τὴν Κορινθίαν ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα*] *μακρόθεν βλέπων* Schol. rec. Proverbium de iis dictum qui regionem aliquam præsentem oculis non contemplantur, sed situm ejus ex astrorum inspectione colligere satis habent. Musgrav. Videndus omnino Toupius ad Suidam II. p. 387.

808. *ὄχου, e curru.* El. 78. qu. v. confert Dindorfius. Nec male tamen *ὄχον* suspicatur Schaeferus.

οὐ μὴν ἴσην γ' ἔτισεν, ἀλλὰ συντόμως
σκήπτρῳ τυπεὶς ἐκ τῆσδε χειρὸς ὕπτιος
μέσης ἀπήνης εὐθὺς ἐκκυλίνδεται·
κτείνω δὲ τοὺς ξύμπαντας. εἰ δὲ τῷ ξένῳ
τούτῳ προσήκει Λαΐῳ τι συγγενές,
τίς τοῦδε νῦν ἔστ' ἀνδρὸς ἀθλιώτερος;
τίς ἐχθροδαίμων μᾶλλον ἂν γένοιτ' ἀνήρ;
ᾧ μὴ ξένων ἔξεστι μηδ' ἀστῶν τινὰ
δόμοις δέχεσθαι, μηδὲ προσφωνεῖν τινά,
ὠθεῖν δ' ἀπ' οἴκων. καὶ τάδ' οὔτις ἄλλος ἦν
ἢ 'γὼ 'π' ἐμαυτῷ τάσδ' ἀρὰς ὁ προστιθείς.
λέχη δὲ τοῦ θανόντος ἐν χεροῖν ἐμαῖν
χραίνω, δι' ὧνπερ ὤλετ'. ἆρ' ἔφυν κακός;
ἆρ' οὐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν,
καί μοι φυγόντι μή 'στι τοὺς ἐμοὺς ἰδεῖν
μή μ' ἐμβατεύειν πατρίδος· ἢ γάμοις με δεῖ
μητρὸς ζυγῆναι καὶ πατέρα κατακτανεῖν
Πόλυβον, ὃς ἐξέφυσε κἀξέθρεψέ με.
ἆρ' οὐκ ἀπ' ὠμοῦ ταῦτα δαίμονός τις ἂν
κρίνων ἐπ' ἀνδρὶ τῷδ' ἂν ὀρθοίη λόγον;
μὴ δῆτα μὴ δῆτ', ὦ θεῶν ἁγνὸν σέβας,
ἴδοιμι ταύτην ἡμέραν, ἀλλ' ἐκ βροτῶν
βαίην ἄφαντος πρόσθεν ἢ τοιάνδ' ἰδεῖν
κηλῖδ' ἐμαυτῷ συμφορᾶς ἀφιγμένην.

814. *Λαΐου* Bothius. Sed in duplici dativo non est cur offendamus.

815. Spurium hunc versum judicat Dindorfius.

817. *ᾧ μὴ ξένων ἔξεστι*] *ᾧ μὴ ἔξεστι, ξένων τινὰ δέχεσθαι ἐμέ, cui non licet ut me quisquam hospitio excipiat.* Elmsleius.

819. 820. *τάδ'* sequenti *τάσδ' ἀρὰς* explicatur: nisi ita positum accipias ut in Æsch. Suppl. 402. *ἀμφοτέρους ὁμαίμων τάδ' ἐπισκοπεῖ Ζεύς.* Quod fortasse melius.

824. *μή 'στι*] *μήτε* bis vulgo, sed *μήστι* La. *μῆστι* Lc. et ita Γ. B. Aug. b. suprascr. in T. Mox *μή μ' ἐμβατεύειν* La. pr. Lc. (*μή με βατεύειν* Γ.) et verum videtur hoc, quanquam nec *μήτε* post *μή 'στι* solœcum esset, quod ostendit Hermannus ad Med. 4. 5.

827. Pauci codd. inverso ordine *ἐξέθρεψε κἀξέφυσέ με*, quod quibusdam allatis exemplis tuetur Schaeferus.

829. *ἂν ὀρθοίη* Schaeferus. *ἀνορθοίη* vulgo.

ΧΟ. ἡμῖν μέν, ὦναξ, ταῦτ᾽ ὀκνήρ᾽· ἕως δ᾽ ἂν οὖν
πρὸς τοῦ παρόντος ἐκμάθῃς, ἔχ᾽ ἐλπίδα.
ΟΙ. καὶ μὴν τοσοῦτόν γ᾽ ἐστί μοι τῆς ἐλπίδος,
τὸν ἄνδρα τὸν βοτῆρα προσμεῖναι μόνον.
ΙΟ. πεφασμένου δὲ τίς ποθ᾽ ἡ προθυμία;
ΟΙ. ἐγὼ διδάξω σ᾽· ἢν γὰρ εὑρεθῇ λέγων
σοὶ ταὔτ᾽, ἔγωγ᾽ ἂν ἐκπεφευγοίην πάθος.
ΙΟ. ποῖον δέ μου περισσὸν ἤκουσας λόγον;
ΟΙ. λῃστὰς ἔφασκες αὐτὸν ἄνδρας ἐννέπειν
ὥς νιν κατακτείνειαν. εἰ μὲν οὖν ἔτι
λέξει τὸν αὐτὸν ἀριθμόν, οὐκ ἐγὼ 'κτανον.
οὐ γὰρ γένοιτ᾽ ἂν εἷς γε τοῖς πολλοῖς ἴσος.
εἰ δ᾽ ἄνδρ᾽ ἕν᾽ οἰόζωνον αὐδήσει, σαφῶς
τοῦτ᾽ ἐστὶν ἤδη τοὔργον εἰς ἐμὲ ῥέπον.
ΙΟ. ἀλλ᾽ ὡς φανέν γε τοὔπος ὧδ᾽ ἐπίστασο,
κοὐκ ἔστιν αὐτῷ τοῦτό γ᾽ ἐκβαλεῖν πάλιν.
πόλις γὰρ ἤκουσ᾽, οὐκ ἐγὼ μόνη, τάδε.
εἰ δ᾽ οὖν τι κἀκτρέποιτο τοῦ πρόσθεν λόγου,
οὔτοι ποτ᾽, ὦναξ, σόν γε Λαΐου φόνον
φανεῖ δικαίως ὀρθόν, ὅν γε Λοξίας
διεῖπε χρῆναι παιδὸς ἐξ ἐμοῦ θανεῖν.
καίτοι νιν οὐ κεῖνός γ᾽ ὁ δύστηνός ποτε
κατέκταν᾽, ἀλλ᾽ αὐτὸς πάροιθεν ὤλετο.
ὥστ᾽ οὐχὶ μαντείας γ᾽ ἂν οὔτε τῇδ᾽ ἐγὼ
βλέψαιμ᾽ ἂν οὕνεκ᾽ οὔτε τῇδ᾽ ἂν ὕστερον.
ΟΙ. καλῶς νομίζεις. ἀλλ᾽ ὅμως τὸν ἐργάτην
πέμψον τινὰ στελοῦντα μηδὲ τοῦτ᾽ ἀφῇς.

841. *περισσόν. præ cæteris animadversione dignum.* Musgrav.
845. *τοῖς πολλοῖς. multis illis, a quibus tu interfectum esse Laium dixisti.* V. D. ab Erfurdtio citatus.
852. *σόν γε* rectissime Bothius. Vulgo *τόν γε*. Sic in Eumenid. 680. *σὸν ἰὸν* ex V. D. conjectura ad Marg. Ask. pro *τὸν ἰὸν* restituimus.
853. *φανεῖ δικαίως ὀρθόν*. Durius hoc dictum videtur. Suspicor *δίκης ἐς ὀρθόν*, quam locutionem adhibuit Sophocles Trach. v. 347.
857. *adeo flocci hæc pendo, ut ne oculos quidem huc vel illuc vaticiniorum caussa converterim.* Musgrav.
860. *στελοῦντα*. Vid. ad Ant. 165.

ΙΟ. πέμψω ταχύνασ᾽· ἀλλ᾽ ἴωμεν ἐς δόμους.
οὐδὲν γὰρ ἂν πράξαιμ᾽ ἂν ὧν οὔ σοι φίλον.
ΧΟ. εἴ μοι ξυνείη φέροντι *στροφὴ α΄.*
μοῖρα τὰν εὔσεπτον ἁγνείαν λόγων
ἔργων τε πάντων, ὧν νόμοι πρόκεινται
ὑψίποδες, οὐρανίαν
δι᾽ αἰθέρα τεκνωθέντες, ὧν Ὄλυμπος
πατὴρ μόνος, οὐδέ νιν
θνατὰ φύσις ἀνέρων
ἔτικτεν, οὐδὲ μήν ποτε λάθα κατακοιμάσει·
μέγας ἐν τούτοις θεός,
οὐδὲ γηράσκει.
ὕβρις φυτεύει τύραννον· *ἀντιστρ. α΄.*

861. *εἰς* Γ.
862. *οὔ σοι* pro *οὐ σοὶ* Wunderus recte. Cf. Phil. 1227.
863. *ξυνείη φέροντι μοῖρα*. h. e. *utinam adsit mihi servanti.* Angl. *assist me in supporting.*
865. *ὧν νόμοι. de quibus.*
866. *ὑψίποδες. sublimes*, quippe *οὐρανίαν δι᾽ αἰθέρα τεκνωθέντες.* Dindorf.
870. *οὐδὲ μήν*. Scrib. forte *μάν*.
873. *ὕβρις φυτεύει τύραννον.* Ὕβρις quum dicitur *φυτεύειν τύραννον*, i. e. *μήτηρ τυραννίδος εἶναι*, hoc significatur: Impietas mater est eorum hominum, qui regnum adfectant, i.e. qui leges divinas violant, solent eo insolentiæ progredi, ut regnum adfectent, ideoque rei publicæ statum convellant et libertatem civium evertant. Quæ cum antecedentibus et sequentibus ita cohærent: *Nihil mihi majori curæ sit, quam ut in omni vita sanctissime colam leges divinas. Eas enim qui violat et civium suorum salutem perdit* (*ὕβρις φυτεύει τύραννον*), *rei publicæ statu convulso, et sibimet ipsi, ubi ad summum insolentiæ fastigium adscenderit, calamitatem parat ex qua nullus patet exitus.* Sponte autem apparet non posse hæc Chori verba ita dicta esse, ut voce *ὕβρις* Jocastæ temeritas, quod oracula sprevisset, aut Œdipi levitas, quod assensus ei esset, notata existimetur. In neutrum enim quadrat *regni adfectatio.* Ex quibus verbis manifeste intelligitur Sophoclem, relicto aliquantisper Œdipo, de sua jam republica et sui temporis hominibus loqui.—Neque dubitari potest, quin recte Musgravius censuerit Alcibiadem potissimum poetam hic ut hominem civibus formidolosum designari voluisse, hæc monens: 'Quis enim in historia Attica adeo hospes est, ut nesciat neminem unquam tot contumeliosi ingenii specimina edidisse quam Alcibiadem? Ob quod etiam optimatibus in tyrannidis adfectandæ suspicionem venit. Plutarchus: *οἱ μὲν ἔνδοξοι μετὰ τοῦ βδελύττεσθαι καὶ δυσχεραίνειν ἐφοβοῦντο τὴν ὀλιγωρίαν αὐτοῦ καὶ παρανομίαν, ὡς τυραννικὰ καὶ ἀλλόκοτα.* Alcib. c. 16. vol. i. p. 188. F. Hoc si paucissimis verbis significare volueris, nulla aptiora invenies quam *ὕβρις φυτεύει τύραννον.*' Wunder.

ὕβρις, εἰ πολλῶν ὑπερπλησθῇ μάταν,
ἃ μὴ 'πίκαιρα μηδὲ συμφέροντα,
ἀκρότατον εἰσαναβᾶσ'
* * ἀπότομον ὤρουσεν εἰς ἀνάγκαν,
ἔνθ' οὐ ποδὶ χρησίμῳ
χρῆται. τὸ καλῶς δ' ἔχον
πόλει πάλαισμα μήποτε λῦσαι θεὸν αἰτοῦμαι.
θεὸν οὐ λήξω ποτὲ
προστάταν ἴσχων.
εἰ δέ τις ὑπέροπτα χερσὶν — στροφὴ β'.
ἢ λόγῳ πορεύεται,
Δίκας ἀφόβητος, οὐδὲ

874. *εἰ—ὑπερπλησθῇ.* Vid. ad v. 1062.

876. *ἀκρότατον* Erfurdtius. *ἀκροτάταν* vulgo.

877. Versus certe aliqua in parte mancus: sed dubitari potest utrum substantivum cum *ἀκρότατον* conjungendum, an aliud quid exciderit. Equidem *ἀπότομον* generis neutrius esse et substantivi vicem gerere crediderim: neque enim hoc verbum satis bene cum *ἀνάγκαν* construi potest, et *ἀκρότατον* ad idem nomen cum sequenti *ἀπότομον* referre durius videtur. Nec desunt exempla ubi adjectiva neutrius generis ita sibi nominis significatum adsciverunt, ut sine articulo pro nomine stare possint. An forte legendum *ἀπότομον εἶτ' ὤρουσεν*, nam *εἶτ'* propter *εἰς* in versu præcedenti facile excidere potuit. *αἶπος ἀπότομον* non male fortasse conjecit Arndtius. Vertit Erfurdtius, *postquam altissimum adscendit fastigium, irruit in perniciem.*

878. *τὸ καλῶς δ' ἔχον κ. τ. λ.* Dixerat modo Chorus, eos, qui leges divinas violarent, amentia abreptos rem publicam evertere et regnum occupare contendere. Cujusmodi contentionem malam jam dicit esse ac tollendam, quum contra Dei auxilium implorandum sit, ut honestum certamen, quod pro legibus divinis ineatur a bonis cum improbis, nunquam finiri patiatur. Quibus verbis illud utique Chorus adsignificat, Apollinem se orare, ut investigationem interfectoris Laii, suo ipsius jussu susceptam, confici velit. WUNDER.

883. *εἰ δέ τις ὑπέροπτα.* In his versibus quot voces, totidem fere lineamenta Alcibiadis agnoscas. Quis illo superbior *χερσὶ καὶ λόγῳ*, qui verborum contumeliis non contentus, nonnullos etiam ex potentioribus viris pugnis cecidit? Quis magis contemptor juris, *δίκας ἀφόβητος*? Quis luxuriæ (*χλιδᾷ*) magis deditus? Denique erga Deorum simulacra parum reverentem fuisse (*οὐδὲ δαιμόνων ἕδη σέβων*), vere an falso, Atheniensibus certe persuasissimum erat, siquidem Hermarum mutilatorum reus ad caussam dicendam ex expeditione Sicula revocatus est. MUSGRAV.

ὑπέροπτα. Neutrum plurale vice adverbii. Elmsleius comparat *ἀτάρβητα ὁρμᾶται* Aj. 197. *λαιψηρὰ πηδᾷ* Eurip. Ion. 717. Alia attulit Lobeck. ad Ajacis locum laud.

885. *οὐδὲ* arctissime cum *σέβων* conjungendum, h. e. *ἀσεβῶν*. Recte

δαιμόνων ἕδη σέβων,
κακά νιν ἕλοιτο μοῖρα,
δυσπότμου χάριν χλιδᾶς,
εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως,
καὶ τῶν ἀσέπτων ἔρξεται,
ἢ τῶν ἀθίκτων ἕξεται ματάζων.
†τίς ἔτι ποτ' ἐν τοῖσδ' ἀνὴρ θυμοῦ βέλη
εὔξεται ψυχᾶς ἀμύνειν;
εἰ γὰρ αἱ τοιαίδε πράξεις τίμιαι,
τί δεῖ με χορεύειν;
οὐκ ἔτι τὸν ἄθικτον εἶμι — ἀντιστρ. β'.
γᾶς ἐπ' ὀμφαλὸν σέβων,
οὐδ' ἐς τὸν Ἀβαῖσι ναόν,
οὐδὲ τὰν Ὀλυμπίαν
εἰ μὴ τάδε χειρόδεικτα
πᾶσιν ἁρμόσει βροτοῖς.
ἀλλ', ὦ κρατύνων, εἴπερ ὄρθ' ἀκούεις,

sic infertur *οὐ* vel *οὐδὲ* post *εἰ*. Vid. Hermann. ad Viger. p. 833. et eundem in Annot. ad Elmsl. Med. 87. 348. ubi canonem Elmsleianum de *οὐ* post *εἰ* solœco falsum esse docet. Cf. etiam ad Aj. 1131.

890. *καί.* Ex v. superiore repetendum *εἰ μή*. ERFURDT.

ἀσέπτων] *ἄσεπτον· ἀσεβές.* Hesychius.

ἔρξεται. Elmsleius edidit *εἴρξεται* pro *ἔρξεται*. At in melicis Tragici de industria antiquas epicorum formas adsciverunt, quæ non debent a criticis expelli. HERMANN. *ξυνέρξετε* legi in Aj. 593. monuit Dindorfius.

891. *ἤ.* Repetendum a superioribus *εἰ*, monente Heathio, ut sit, *ἢ εἰ τῶν ἀθίκτων ἕξεται.* ELMSLEIUS. *ἕξεται ματάζων* idem est quod *ἕξεται mataίαις χερσί*, quemadmodum *ψαύειν ματαίαις χερσὶ* dixit Soph. Trach. v. 565. DINDORF.

892. *θυμοῦ βέλη*] *θυμοῦ* Δ. Θ. et pro v. l. Lips. a. Mosq. a. *θυμῷ* ceteri.

893. *εὔξεται* Musgravius. *ἔρξεται* vulgo, librarii errore ex v. 890. repetitum. Sensum satis bene expedivit Hermannus. *Quis tandem amplius his in rebus* (i. e. si contemnuntur divina) *iræ tela se ab animo suo arcere gloriabitur: Nam si talis impietas probatur, quid opus est cultu reverentiaque Deorum?*

θυμοῦ βέλη Deorum iram significare videtur: sed nescio an recte Hermannus nuper *θεῶν βέλη* conjecerit. Certe latet corruptio, quam tamen vereor ut expulerint criticorum, quas viderim, conjecturæ.

899. *Ἀβαῖσι.* Hoc accentu veteres. *Ἄβαισι* Brunckius. De Abis ubi oraculum erat Apollinis vide Pausan. 10. 35.

901. *εἰ μὴ τάδε. Nisi hæc eventui congruerint adeo perspicue, ut in exemplum cedant digito ab omnibus monstrandum.* MUSGRAV.

Ζεῦ, πάντ' ἀνάσσων, μὴ λάθοι
σὲ τάν τε σὰν ἀθάνατον αἰὲν ἀρχάν.
†φθίνοντα γὰρ παλαιὰ Λαΐου
θέσφατ' ἐξαιροῦσιν ἤδη,
κοὐδαμοῦ τιμαῖς Ἀπόλλων ἐμφανής.
ἔρρει δὲ τὰ θεῖα.

ΙΟ. χώρας ἄνακτες, δόξα μοι παρεστάθη
ναοὺς ἱκέσθαι δαιμόνων, τάδ' ἐν χεροῖν
στέφη λαβούσῃ κἀπιθυμιάματα.
ὑψοῦ γὰρ αἴρει θυμὸν Οἰδίπους ἄγαν
λύπαισι παντοίαισιν· οὐδ', ὁποῖ' ἀνὴρ
ἔννους, τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται,
ἀλλ' ἐστὶ τοῦ λέγοντος, εἰ φόβους λέγοι.
ὅτ' οὖν παραινοῦσ' οὐδὲν ἐς πλέον ποιῶ,
πρὸς σ', ὦ Λύκει' Ἄπολλον, ἄγχιστος γὰρ εἶ,
ἱκέτις ἀφῖγμαι τοῖσδε σὺν κατεύγμασιν,
ὅπως λύσιν τιν' ἡμὶν εὐαγῆ πόρῃς·
ὡς νῦν ὀκνοῦμεν πάντες ἐκπεπληγμένον
κεῖνον βλέποντες ὡς κυβερνήτην νεώς.

904. Non opus πάντα ab ἀνάσσων in accusativo regi. Usurpatur sicut in Trach. v. 338. et pluribus aliis in locis. Cf. infra v. 1198. Mox λάθοι præbent codd. optimi. Vulgo λάθῃ.

906. Hæc corrupta esse liquet. Neque παλαιὰ ejiciendum, neque inverso ordine γάρ τοι παλαιὰ Λαΐου cum Hermanno scribendum puto. Propendeo in aliam ejusdem conjecturam sc. φθίνοντα γὰρ Λαΐου παλαίφατα. Cæterum Λαΐου θέσφατα oracula sunt Laio data.

917. εἰ φόβους λέγοι] λέγοι La. ab ead. m. Vulgo ἢν φόβους λέγῃ. εἰ λέγῃ non damnandum: sed optativi eadem ratio supra v. 250. ἐπεύχομαι δ', οἴκοισιν εἰ ξυνέστιος ἐν τοῖς ἐμοῖς γένοιτ' ἐμοῦ ξυνειδότος, παθεῖν κ. τ. λ. 314. seq. ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνων. 979. εἰκῆ κράτιστον ζῆν ὅπως δύναιτό τις. Œd. Col. 352. δεύτερ' ἡγεῖται τὰ τῆς οἴκοι διαίτης εἰ πατὴρ τροφὴν ἔχοι, ubi ἔχει B. T. ἔχει Farn. Ant. 666. ἀλλ' ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν, ubi cf. not. Trach. 93. καὶ γὰρ ὑστέρῳ τό γ' εὖ πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ. Aj. 521. ἀνδρί τοι χρεὼν μνήμην προσεῖναι, τερπνὸν εἴ τι που πάθοι. 1159. αἰσχρόν, εἰ πύθοιτό τις, λόγοις κολάζειν, ᾧ βιάζεσθαι πάρα. 1344. ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι, βλάπτειν τὸν ἐσθλόν, οὐδ' ἐὰν μισῶν κυρῇς. Diversa est ratio loci hujus fabulæ v. 696. ταὐνῦν τ' εὔπομπος, εἰ δύναιο, nam ibi qui supprimitur imperativus optativi instar est, unde recte post infertur εἰ δύναιο.

921. πόρῃς Lb. quod præferen-

ΑΓΓΕΛΟΣ.

ἆρ' ἂν παρ' ὑμῶν, ὦ ξένοι, μάθοιμ' ὅπου
τὰ τοῦ τυράννου δώματ' ἐστὶν Οἰδίπου;
μάλιστα δ' αὐτὸν εἴπατ', εἰ κάτισθ', ὅπου.

ΧΟ. στέγαι μὲν αἵδε· καὐτὸς ἔνδον, ὦ ξένε·
γυνὴ δὲ μήτηρ ἥδε τῶν κείνου τέκνων.

ΑΓ. ἀλλ' ὀλβία τε καὶ ξὺν ὀλβίοις ἀεὶ
γένοιτ', ἐκείνου γ' οὖσα παντελὴς δάμαρ.

ΙΟ. αὔτως δὲ καὶ σύ γ', ὦ ξέν'· ἄξιος γὰρ εἶ
τῆς εὐεπείας οὕνεκ'. ἀλλὰ φράζ' ὅτου
χρῄζων ἀφῖξαι χὤ τι σημῆναι θέλων.

ΑΓ. ἀγαθὰ δόμοις τε καὶ πόσει τῷ σῷ, γύναι.

ΙΟ. τὰ ποῖα ταῦτα; παρὰ τίνος δ' ἀφιγμένος;

ΑΓ. ἐκ τῆς Κορίνθου. τὸ δ' ἔπος οὑξερῶ τάχα,
ἥδοιο μέν, πῶς δ' οὐκ ἄν; ἀσχάλλοις δ' ἴσως.

ΙΟ. τί δ' ἔστι, ποίαν δύναμιν ὧδ' ἔχει διπλῆν;

ΑΓ. τύραννον αὐτὸν οὑπιχώριοι χθονὸς
τῆς Ἰσθμίας στήσουσιν, ὡς ηὐδᾶτ' ἐκεῖ.

ΙΟ. τί δ'; οὐχ ὁ πρέσβυς Πόλυβος ἐγκρατὴς ἔτι;

ΑΓ. οὐ δῆτ', ἐπεί νιν θάνατος ἐν τάφοις ἔχει.

ΙΟ. πῶς εἶπας; ἦ τέθνηκε Πόλυβος, ὦ γέρον;

ΑΓ. εἰ μὴ λέγω τἀληθές, ἀξιῶ θανεῖν.

ΙΟ. ὦ πρόσπολ', οὐχὶ δεσπότῃ τάδ' ὡς τάχος

dum. Sed πόροις Lb. Lc. Eustath. p. 1112. 33. quod defendi potest.

926. Junge: εἴπατε αὐτὸν ὅπου ἐστίν, εἰ κάτισθε.

930. παντελής. *summa dignitate fruens.* HERMANN.

931. αὔτως. Adverbium hoc in codicibus interdum αὕτως, spiritu aspero notatum, reperitur, quod ab αὕτη derivatum ineptissime fingunt grammatici. αὔτως autem unice scribendum, ut ab αὐτὸς deductum, et *hoc ipso modo*, ὡσαύτως, significare, monuit Hermannus in dissert. de pronom. αὐτός, cap. xv.

935. πρὸς τίνος La. παρὰ Lb. Lc. Ald.

937. ἀσχάλλοις dixit omissa particula ἄν, quæ ex parenthesi πῶς δ' οὐκ ἄν; est repetenda. DINDORF. Similis fere est locus Æsch. Agam. 1049. Cf. Œd. Col. 927. Ant. 1157. et vid. Matth. Gr. Gr. 515. obs.

939. οὑπιχώριοι. Vid. Porson. ad Eurip. Hec. 334.

943. ὦ γέρον] ὦ supplevit Bothius. Hæc verba quum excidissent, hunc locum interpolarunt librarii, quem recte restituerunt Bothius et alii.

μολοῦσα λέξεις ; ὦ θεῶν μαντεύματα,
ἵν' ἐστέ· τοῦτον Οἰδίπους πάλαι τρέμων
τὸν ἄνδρ' ἔφευγε μὴ κτάνοι· καὶ νῦν ὅδε
πρὸς τῆς τύχης ὄλωλεν οὐδὲ τοῦδ' ὕπο.
ΟΙ. ὦ φίλτατον γυναικὸς Ἰοκάστης κάρα,
τί μ' ἐξεπέμψω δεῦρο τῶνδε δωμάτων ;
ΙΟ. ἄκουε τἀνδρὸς τοῦδε, καὶ σκόπει κλύων
τὰ σέμν' ἵν' ἥκει τοῦ θεοῦ μαντεύματα.
ΟΙ. οὗτος δὲ τίς ποτ' ἐστὶ καὶ τί μοι λέγει ;
ΙΟ. ἐκ τῆς Κορίνθου, πατέρα τὸν σὸν ἀγγελῶν
ὡς οὐκ ἔτ' ὄντα Πόλυβον, ἀλλ' ὀλωλότα.
ΟΙ. τί φής, ξέν' ; αὐτός μοι σὺ σημήνας γενοῦ.
ΑΓ. εἰ τοῦτο πρῶτον δεῖ μ' ἀπαγγεῖλαι σαφῶς,
εὖ ἴσθ' ἐκεῖνον θανάσιμον βεβηκότα.
ΟΙ. πότερα δόλοισιν, ἢ νόσου ξυναλλαγῇ ;
ΑΓ. σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.
ΟΙ. νόσοις ὁ τλήμων, ὡς ἔοικεν, ἔφθιτο.
ΑΓ. καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ.
ΟΙ. φεῦ φεῦ, τί δῆτ' ἄν, ὦ γύναι, σκοποῖτό τις
τὴν Πυθόμαντιν ἑστίαν, ἢ τοὺς ἄνω
κλάζοντας ὄρνις, ὧν ὑφηγητῶν ἐγὼ
κτανεῖν ἔμελλον πατέρα τὸν ἐμόν ; ὁ δὲ θανὼν
κεύθει κάτω δὴ γῆς· ἐγὼ δ' ὅδ' ἐνθάδε
ἄψαυστος ἔγχους, εἴ τι μὴ τὠμῷ πόθῳ
κατέφθιθ'· οὕτω δ' ἂν θανὼν εἴη 'ξ ἐμοῦ.
τὰ δ' οὖν παρόντα συλλαβὼν θεσπίσματα
κεῖται παρ' Ἅιδῃ Πόλυβος ἄξι' οὐδενός.
ΙΟ. οὔκουν ἐγώ σοι ταῦτα προὔλεγον πάλαι ;
ΟΙ. ηὔδας· ἐγὼ δὲ τῷ φόβῳ παρηγόμην.

948. κτάνοι La. Lb. Lc. Γ. Vulgo κτάνῃ.
957. σημήνας γενοῦ. h. e. *indica*. Vulgo. σημάντωρ. Alterum ex La. (ubi σημάντωρ pro v. l.) restituit Elmsleius, coll. Aj. 588. μὴ προδοὺς ἡμᾶς γένῃ. Phil. 773. κτείνας γένῃ.
966. ὧν ὑφηγητῶν. sc. ὄντων. Cf. v. 1260. Œd. Col. 1588. Hanc constructionem quum minus percepissent librarii, quidam ὑφ' ἡγητῶν, ὑφ' ἡγητοῦ, ὑφ' ἡγητῆρος, divisim scripserunt.

ΙΟ. μὴ νῦν ἔτ' αὐτῶν μηδὲν ἐς θυμὸν βάλῃς.
ΟΙ. καὶ πῶς τὸ μητρὸς λέκτρον οὐκ ὀκνεῖν με δεῖ ;
ΙΟ. τί δ' ἂν φοβοῖτ' ἄνθρωπος ᾧ τὰ τῆς τύχης
κρατεῖ, πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής ;
εἰκῆ κράτιστον ζῆν, ὅπως δύναιτό τις.
σὺ δ' εἰς τὰ μητρὸς μὴ φοβοῦ νυμφεύματα.
πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασιν βροτῶν
μητρὶ ξυνευνάσθησαν. ἀλλὰ ταῦθ' ὅτῳ
παρ' οὐδέν ἐστι, ῥᾷστα τὸν βίον φέρει.
ΟΙ. καλῶς ἅπαντα ταῦτ' ἂν ἐξείρητό σοι,
εἰ μὴ 'κύρει ζῶσ' ἡ τεκοῦσα· νῦν δ' ἐπεὶ
ζῇ, πᾶσ' ἀνάγκη, κεἰ καλῶς λέγεις, ὀκνεῖν.
ΙΟ. καὶ μὴν μέγας γ' ὀφθαλμὸς οἱ πατρὸς τάφοι.
ΟΙ. μέγας, ξυνίημ'· ἀλλὰ τῆς ζώσης φόβος.
ΑΓ. ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ' ὕπερ ;
ΟΙ. Μερόπης, γεραιέ, Πόλυβος ἧς ᾤκει μέτα.
ΑΓ. τί δ' ἔστ' ἐκείνης ὑμὶν ἐς φόβον φέρον ;
ΟΙ. θεήλατον μάντευμα δεινόν, ὦ ξένε.
ΑΓ. ἦ ῥητόν ; ἢ οὐχὶ θεμιτὸν ἄλλον εἰδέναι ;
ΟΙ. μάλιστά γ'· εἶπε γάρ με Λοξίας ποτὲ
χρῆναι μιγῆναι μητρὶ τἠμαυτοῦ, τό τε
πατρῷον αἷμα χερσὶ ταῖς ἐμαῖς ἑλεῖν.
ὧν οὕνεχ' ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι
μακρὰν ἀπῳκεῖτ'· εὐτυχῶς μέν, ἀλλ' ὅμως
τὰ τῶν τεκόντων ὄμμαθ' ἥδιστον βλέπειν.
ΑΓ. ἦ γὰρ τάδ' ὀκνῶν κεῖθεν ἦσθ' ἀπόπτολις ;
ΟΙ. πατρός τε χρῄζων μὴ φονεὺς εἶναι, γέρον.
ΑΓ. τί δῆτ' ἐγὼ οὐχὶ τοῦδε τοῦ φόβου σ', ἄναξ,

975. εἰς Γ.
979. ὅπως δύναιτό τις. Vid. ad v. 917.
987. μέγας γ'] γ' addidit Porsonus. ὀφθαλμὸς h. l. *lux*, h. e. solatium, levamen, ut Eurip. Andr. 406. ERFURDT. Plura dabit Blomfield. Gloss. ad Pers. v. 173.
993. ἢ οὐχὶ θεμιτὸν Brunckius. ἢ οὐ θεμιτὸν libri. Vid. Pors. Advers. p. 40.
998. μακρὰν ἀπῳκεῖτ'. *Corintho relicta in longinquam terram exsulatum abii.* Hoc verbo utitur Hermannus ad emendandum Œd. Col. 1752.
1002. ἐγὼ οὐχὶ MS. P. apud

ἐπείπερ εὔνους ἦλθον, ἐξελυσάμην ;
ΟΙ. καὶ μὴν χάριν γ' ἂν ἀξίαν λάβοις ἐμοῦ.
ΑΓ. καὶ μὴν μάλιστα τοῦτ' ἀφικόμην, ὅπως
σοῦ πρὸς δόμους ἐλθόντος εὖ πράξαιμί τι.
ΟΙ. ἀλλ' οὔποτ' εἶμι τοῖς φυτεύσασίν γ' ὁμοῦ.
ΑΓ. ὦ παῖ, καλῶς εἶ δῆλος οὐκ εἰδὼς τί δρᾷς.
ΟΙ. πῶς, ὦ γεραιέ ; πρὸς θεῶν δίδασκέ με.
ΑΓ. εἰ τῶνδε φεύγεις οὕνεκ' εἰς οἴκους μολεῖν.
ΟΙ. ταρβῶν γε μή μοι Φοῖβος ἐξέλθῃ σαφής.
ΑΓ. ἦ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς ;
ΟΙ. τοῦτ' αὐτό, πρέσβυ, τοῦτό μ' εἰσαεὶ φοβεῖ.
ΑΓ. ἆρ' οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων ;
ΟΙ. πῶς δ' οὐχί, παῖς γ' εἰ τῶνδε γεννητῶν ἔφυν ;
ΑΓ. ὁθούνεκ' ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει.
ΟΙ. πῶς εἶπας ; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με ;
ΑΓ. οὐ μᾶλλον οὐδὲν τοῦδε τἀνδρός, ἀλλ' ἴσον.
ΟΙ. καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μηδενί ;
ΑΓ. ἀλλ' οὔ σ' ἐγείνατ' οὔτ' ἐκεῖνος οὔτ' ἐγώ.
ΟΙ. ἀλλ' ἀντὶ τοῦ δὴ παῖδά μ' ὠνομάζετο ;
ΑΓ. δῶρόν ποτ', ἴσθι, τῶν ἐμῶν χειρῶν λαβών.
ΟΙ. κᾆθ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα ;
ΑΓ. ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία.
ΟΙ. σὺ δ' ἐμπολήσας, ἢ τυχών μ' αὐτῷ δίδως ;
ΑΓ. εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς.
ΟΙ. ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους ;
ΑΓ. ἐνταῦθ' ὀρείοις ποιμνίοις ἐπεστάτουν.
ΟΙ. ποιμὴν γὰρ ἦσθα κἀπὶ θητείᾳ πλάνης ;

Livineium, et sic correxit Erfurdtius. ἔγωγ' οὐχὶ La. (eraso χι) Lc. Ald.

1006. εὖ πράξαιμί τι. Similis sententia Trach. v. 191.

1011. ταρβῶν γε Ald. quod defendit Elmsl. coll. Ant. 404. Particulam γε in responsionibus non post verbum rectum, sed post participium poni solere monet Erfurdtius. ταρβῶ tamen La. Lb. Lc.

1016. οὐδὲν ἐν γένει. h. e. οὐκ ἐγγενής.

1023. ἀπ' ἄλλης χειρὸς h. e. λαβών.

1025. τυχὼν Bothius. Quod vulgo legitur τεκὼν rationibus nimis, ut arbitror, arcessitis tueri conatur Hermannus. Cf. v. 1039.

ΑΓ. σοῦ τ', ὦ τέκνον, σωτήρ γε τῷ τότ' ἐν χρόνῳ.
ΟΙ. τί δ' ἄλγος ἴσχοντ' ἐν κακοῖς με λαμβάνεις ;
ΑΓ. ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά.
ΟΙ. οἴμοι, τί τοῦτ' ἀρχαῖον ἐννέπεις κακόν ;
ΑΓ. λύω σ' ἔχοντα διατόρους ποδοῖν ἀκμάς.
ΟΙ. δεινόν γ' ὄνειδος σπαργάνων ἀνειλόμην.
ΑΓ. ὥστ' ὠνομάσθης ἐκ τύχης ταύτης ὃς εἶ.
ΟΙ. ὦ πρὸς θεῶν, πρὸς μητρός, ἢ πατρός, φράσον.
ΑΓ. οὐκ οἶδ'· ὁ δοὺς δὲ ταῦτ' ἐμοῦ λῷον φρονεῖ.
ΟΙ. ἦ γὰρ παρ' ἄλλου μ' ἔλαβες οὐδ' αὐτὸς τυχών ;
ΑΓ. οὔκ, ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.
ΟΙ. τίς οὗτος ; ἦ κάτοισθα δηλῶσαι λόγῳ ;
ΑΓ. τῶν Λαΐου δήπου τις ὠνομάζετο.
ΟΙ. ἦ τοῦ τυράννου τῆσδε γῆς πάλαι ποτέ ;
ΑΓ. μάλιστα. τούτου τἀνδρὸς οὗτος ἦν βοτήρ.
ΟΙ. ἦ κἄστ' ἔτι ζῶν οὗτος, ὥστ' ἰδεῖν ἐμέ ;
ΑΓ. ὑμεῖς γ' ἄριστ' εἰδεῖτ' ἂν οὑπιχώριοι.
ΟΙ. ἔστιν τις ὑμῶν τῶν παρεστώτων πέλας,
ὅστις κάτοιδε τὸν βοτῆρ', ὃν ἐννέπει,
εἴτ' οὖν ἐπ' ἀγρῶν εἴτε κἀνθάδ' εἰσιδών ;
σημήναθ', ὡς ὁ καιρὸς εὑρῆσθαι τάδε.
ΧΟ. οἶμαι μὲν οὐδέν' ἄλλον ἢ τὸν ἐξ ἀγρῶν,
ὃν κἀμάτευες πρόσθεν εἰσιδεῖν· ἀτὰρ
ἥδ' ἂν τάδ' οὐχ ἥκιστ' ἂν Ἰοκάστη λέγοι.
ΟΙ. γύναι, νοεῖς ἐκεῖνον, ὄντιν' ἀρτίως
μολεῖν ἐφιέμεσθα τόν θ' οὗτος λέγει ;
ΙΟ. τίς δ' ὄντιν' εἶπε ; μηδὲν ἐντραπῇς. τὰ δὲ

1030. σοῦ τ' Hermannus, coll. v. 1001. σοῦ γ' libri.

1035. καλόν γ' ὄνειδος citat Eustath. p. 88. 16. 1097. 25. de quo videndus omnino Valcken. ad Phœn. v. 828.

1046. εἰδεῖτ' ἂν Brunckius, et sic Lc. εἰδῆτ' ἂν codd. plerique.

1055. ἐφιέμεσθα. Cf. supra v. 766.

1056. τίς δ' ὄντιν' εἶπε. Jocasta consternata est animo, jamque omne malum præsagiens, totaque in eo defixa, nec videt quidquam neque audit, quumque appellat eam Œdipus, quasi ex sopore excita, *quis est*, inquit, *quem ille dixit?* Id vero idem est ac si diceret, *nescio*. Tum statim dissimulans animi sui per-

ἐπείπερ εὔνους ἦλθον, ἐξελυσάμην ;
ΟΙ. καὶ μὴν χάριν γ' ἂν ἀξίαν λάβοις ἐμοῦ.
ΑΓ. καὶ μὴν μάλιστα τοῦτ' ἀφικόμην, ὅπως
σοῦ πρὸς δόμους ἐλθόντος εὖ πράξαιμί τι.
ΟΙ. ἀλλ' οὔποτ' εἶμι τοῖς φυτεύσασίν γ' ὁμοῦ.
ΑΓ. ὦ παῖ, καλῶς εἶ δῆλος οὐκ εἰδὼς τί δρᾷς.
ΟΙ. πῶς, ὦ γεραιέ ; πρὸς θεῶν δίδασκέ με.
ΑΓ. εἰ τῶνδε φεύγεις οὕνεκ' εἰς οἴκους μολεῖν.
ΟΙ. ταρβῶν γε μή μοι Φοῖβος ἐξέλθῃ σαφής.
ΑΓ. ἢ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς ;
ΟΙ. τοῦτ' αὐτό, πρέσβυ, τοῦτό μ' εἰσαεὶ φοβεῖ.
ΑΓ. ἆρ' οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων ;
ΟΙ. πῶς δ' οὐχί, παῖς γ' εἰ τῶνδε γεννητῶν ἔφυν ;
ΑΓ. ὁθούνεκ' ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει.
ΟΙ. πῶς εἶπας ; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με ;
ΑΓ. οὐ μᾶλλον οὐδὲν τοῦδε τἀνδρός, ἀλλ' ἴσον.
ΟΙ. καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μηδενί ;
ΑΓ. ἀλλ' οὔ σ' ἐγείνατ' οὔτ' ἐκεῖνος οὔτ' ἐγώ.
ΟΙ. ἀλλ' ἀντὶ τοῦ δὴ παῖδά μ' ὠνομάζετο ;
ΑΓ. δῶρόν ποτ', ἴσθι, τῶν ἐμῶν χειρῶν λαβών.
ΟΙ. κᾆθ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα ;
ΑΓ. ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία.
ΟΙ. σὺ δ' ἐμπολήσας, ἢ τυχών μ' αὐτῷ δίδως ;
ΑΓ. εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς.
ΟΙ. ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους ;
ΑΓ. ἐνταῦθ' ὀρείοις ποιμνίοις ἐπεστάτουν.
ΟΙ. ποιμὴν γὰρ ἦσθα κἀπὶ θητείᾳ πλάνης ;

Livineium, et sic correxit Erfurdtius. ἔγωγ' οὐχὶ La. (eraso χι) Lc. Ald.

1006. εὖ πράξαιμί τι. Similis sententia Trach. v. 191.

1011. ταρβῶν γε Ald. quod defendit Elmsl. coll. Ant. 404. Particulam γε in responsionibus non post verbum rectum, sed post participium poni solere monet Erfurdtius. ταρβῶ tamen La. Lb. Lc.

1016. οὐδὲν ἐν γένει. h. e. οὐκ ἐγγενής.

1023. ἀπ' ἄλλης χειρὸς h. e. λαβών.

1025. τυχὼν Bothius. Quod vulgo legitur τεκὼν rationibus nimis, ut arbitror, arcessitis tueri conatur Hermannus. Cf. v. 1039.

ΑΓ. σοῦ τ', ὦ τέκνον, σωτήρ γε τῷ τότ' ἐν χρόνῳ.
ΟΙ. τί δ' ἄλγος ἴσχοντ' ἐν κακοῖς με λαμβάνεις ;
ΑΓ. ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά.
ΟΙ. οἴμοι, τί τοῦτ' ἀρχαῖον ἐννέπεις κακόν ;
ΑΓ. λύω σ' ἔχοντα διατόρους ποδοῖν ἀκμάς.
ΟΙ. δεινόν γ' ὄνειδος σπαργάνων ἀνειλόμην.
ΑΓ. ὥστ' ὠνομάσθης ἐκ τύχης ταύτης ὃς εἶ.
ΟΙ. ὦ πρὸς θεῶν, πρὸς μητρός, ἢ πατρός, φράσον.
ΑΓ. οὐκ οἶδ'· ὁ δοὺς δὲ ταῦτ' ἐμοῦ λῷον φρονεῖ.
ΟΙ. ἦ γὰρ παρ' ἄλλου μ' ἔλαβες οὐδ' αὐτὸς τυχών ;
ΑΓ. οὐκ, ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.
ΟΙ. τίς οὗτος ; ἦ κάτοισθα δηλῶσαι λόγῳ ;
ΑΓ. τῶν Λαΐου δήπου τις ὠνομάζετο.
ΟΙ. ἦ τοῦ τυράννου τῆσδε γῆς πάλαι ποτέ ;
ΑΓ. μάλιστα. τούτου τἀνδρὸς οὗτος ἦν βοτήρ.
ΟΙ. ἦ κἄστ' ἔτι ζῶν οὗτος, ὥστ' ἰδεῖν ἐμέ ;
ΑΓ. ὑμεῖς γ' ἄριστ' εἰδεῖτ' ἂν οὑπιχώριοι.
ΟΙ. ἔστιν τὶς ὑμῶν τῶν παρεστώτων πέλας,
ὅστις κάτοιδε τὸν βοτῆρ', ὃν ἐννέπει,
εἴτ' οὖν ἐπ' ἀγρῶν εἴτε κἀνθάδ' εἰσιδών ;
σημήναθ', ὡς ὁ καιρὸς εὑρῆσθαι τάδε.
ΧΟ. οἶμαι μὲν οὐδέν' ἄλλον ἢ τὸν ἐξ ἀγρῶν,
ὃν κἀμάτευες πρόσθεν εἰσιδεῖν· ἀτὰρ
ἥδ' ἂν τάδ' οὐχ ἥκιστ' ἂν Ἰοκάστη λέγοι.
ΟΙ. γύναι, νοεῖς ἐκεῖνον, ὅντιν' ἀρτίως
μολεῖν ἐφιέμεσθα τόν θ' οὗτος λέγει ;
ΙΟ. τίς δ' ὅντιν' εἶπε ; μηδὲν ἐντραπῇς. τὰ δὲ

1030. σοῦ τ' Hermannus, coll. v. 1001. σοῦ γ' libri.

1035. καλόν γ' ὄνειδος citat Eustath. p. 88. 16. 1097. 25. de quo videndus omnino Valcken. ad Phœn. v. 828.

1046. εἰδεῖτ' ἂν Brunckius, et sic Lc. εἰδῆτ' ἂν codd. plerique.

1055. ἐφιέμεσθα. Cf. supra v. 766.

1056. τίς δ' ὅντιν' εἶπε. Jocasta consternata est animo, jamque omne malum præsagiens, totaque in eo defixa, nec videt quidquam neque audit, quumque appellat eam Œdipus, quasi ex sopore excita, *quis est*, inquit, *quem ille dixit?* Id vero idem est ac si diceret, *nescio*. Tum statim dissimulans animi sui per-

ῥηθέντα βούλου μηδὲ μεμνῆσθαι μάτην.
ΟΙ. οὐκ ἂν γένοιτο τοῦθ' ὅπως ἐγὼ λαβὼν
σημεῖα τοιαῦτ' οὐ φανῶ τοὐμὸν γένος.
ΙΟ. μὴ πρὸς θεῶν, εἴπερ τι τοῦ σαυτοῦ βίου
κήδει, ματεύσῃς τοῦθ'· ἅλις νοσοῦσ' ἐγώ.
ΟΙ. θάρσει. σὺ μὲν γὰρ οὐδ' ἂν εἰ τρίτης ἐγὼ
μητρὸς φανῶ τρίδουλος, ἐκφανεῖ κακή.
ΙΟ. ὅμως πιθοῦ μοι, λίσσομαι· μὴ δρᾶ τάδε.
ΟΙ. οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ' ἐκμαθεῖν σαφῶς.
ΙΟ. καὶ μὴν φρονοῦσά γ' εὖ τὰ λῷστά σοι λέγω.
ΟΙ. τὰ λῷστα τοίνυν ταῦτά μ' ἀλγύνει πάλαι.
ΙΟ. ὦ δύσποτμ', εἴθε μήποτε γνοίης ὃς εἶ.
ΟΙ. ἄξει τις ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι;
ταύτην δ' ἐᾶτε πλουσίῳ χαίρειν γένει.
ΟΙ. ἰοὺ ἰού, δύστηνε· τοῦτο γάρ σ' ἔχω
μόνον προσειπεῖν, ἄλλο δ' οὔποθ' ὕστερον.
ΧΟ. τί ποτε βέβηκεν, Οἰδίπους, ὑπ' ἀγρίας
ᾄξασα λύπης ἡ γυνή; δέδοιχ' ὅπως
μὴ 'κ τῆς σιωπῆς τῆσδ' ἀναρρήξει κακά.
ΟΙ. ὁποῖα χρῄζει ῥηγνύτω· τοὐμὸν δ' ἐγώ,
κεἰ σμικρόν ἐστι, σπέρμ' ἰδεῖν βουλήσομαι.

turbationem, avertere ab ista re studet Œdipum. HERMANN.

1061. *ἐγώ*. Ita Scholiasta et codex Chigianus apud Schowium. Vulgo *ἔχω*. Ant. 547. *ἀρκέσω θνήσκουσ' ἐγώ*, comparavit Brunckius.

1062. *θάρσει* Brunckius. Libri *θάρρει*.

οὐδ' ἐὰν τρίτης Hermannus ad Viger. p. 791. quod verum esse potest. *οὐδ' ἐὰν ἐκ τρίτης* Aug. c. ubi *ἐκ* ex interpretatione natum bene monet Erfurdtius. *οὐδ' ἂν ἐκ τρίτης* vulgo. Quod autem cum Hermanno dedi, ita explicandum erit, ut *ἂν* ad aliquid suppressum referatur: sc. *σὺ οὐκ ἐκφανεῖ κακή, οὐδ' ἄν, εἰ τρίτης κ. τ. λ.* De *φανῶ* cum *εἰ* constructo nemo ambiget. Vid. e. g. Œd. T. 198. 874. Œd. Col. 1443. Ant. 710. Cf. ad Eumen. 228. Mox Elmsleius: *ἐκ τρίτης·* id est, *ἐκ τριγονίας*. Eodem sensu legitur *τρὶς νόθος* apud Eurip. Androm. 636. ubi vid. Musgrav.

1075. *ἀναρρήξει* ex tribus codicibus edidit Brunckius. *ἀναρρήξῃ* plerique et optimi: sed tam sæpe *ει* et *η* confusa sunt ut non magna sit in hac re eorum auctoritas. Cf. infra v. 1518. Notandum autem *ὅπως μὴ* versuum distinctione sejuncta esse. Cf. Aj. v. 1089. *καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως μὴ τόνδε θάπτων αὐτὸς ἐς ταφὰς πέσῃς*, et vide omnino Hermannum ad ejusdem fabulæ v. 985.

αὔτη δ' ἴσως, φρονεῖ γὰρ ὡς γυνὴ μέγα,
τὴν δυσγένειαν τὴν ἐμὴν αἰσχύνεται.
ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς Τύχης νέμων
τῆς εὖ διδούσης οὐκ ἀτιμασθήσομαι.
τῆς γὰρ πέφυκα μητρός· οἱ δὲ συγγενεῖς
μῆνές με μικρὸν καὶ μέγαν διώρισαν.
τοιόσδε δ' ἐκφὺς οὐκ ἂν ἐξέλθοιμ' ἔτι
ποτ' ἄλλος, ὥστε μὴ 'κμαθεῖν τοὐμὸν γένος.
ΧΟ. εἴπερ ἐγὼ μάντις εἰμὶ *στροφή.*
καὶ κατὰ γνώμαν ἴδρις,
οὐ τὸν Ὄλυμπον, ἀπείρων,
ὦ Κιθαιρών, οὐκ †ἔσει
†τὰν αὔριον πανσέληνον,
μὴ οὐ σέ γε καὶ πατριώταν Οἰδίπου
καὶ τροφὸν καὶ ματέρ' αὔξειν,
καὶ χορεύεσθαι πρὸς ἡμῶν
ὡς ἐπίηρα φέροντα
τοῖς ἐμοῖς τυράννοις.
ἰήϊε Φοῖβε, σοὶ δὲ ταῦτ' ἀρέστ' εἴη.
τίς σε, τέκνον, τίς σ' ἔτικτε *ἀντιστροφή.*
τῶν μακραιώνων ἄρα,

1078. *αὔτη* olim Hermannus. *αὐτὴ* vulgo.

1082. *τῆς γὰρ πέφυκα* sc. *τύχης*. Notandus articulus demonstrativi vicem sustinens.

οἱ δὲ συγγενεῖς μῆνες. *Qui mecum fuerunt*, i. e. *vitæ meæ menses, vitæ meæ cursus ac perpetuitas.* Eur. Herc. Fur. 1293. *συγγενῶς δύστηνος ὢν* dicitur, qui perpetuo infelix fuit. HERMANN.

1087. *γνώμαν* Erfurdtius. *γνώμην* vulgo.

1088. *οὐ τόν*. Vid. supra ad v. 660. Mox *ἀπείρων* idem est quod *ἄπειρος*.

1089. *οὐκ ἔσει τὰν αὔριον πανσέληνον*. Locus corruptus. *οὐκέτι τὰν ἑτέραν πανσέληνον* conjecit Dindorfius, nec male fortasse. Notat autem *crastinum plenilunium.*

1091. Bene, sed minus eleganter Wunderus; *non eris inexpertus quin te honoremus*, h. e. non eris expers honoris quo te honorabimus. Ordo autem est: *μὴ οὐ (ἡμᾶς) αὔξειν σέ γε (ὡς ὄντα) καὶ πατριώταν Οἰδίπου καὶ τροφὸν καὶ μητέρα.* *ἡμᾶς* omitti quia statim oratione ad passivum conversa sequitur *πρὸς ἡμῶν* monuit Hermannus.

1094. *ἐπίηρα φέροντα.* Sic Homer. Iliad. A. 578. *πατρὶ φίλῳ ἐπίηρα φέρειν.* ib. 572. Cf. Odyss. T. 343. ELMSL.

1099. *ἄρα* Brunckius. Libri *ἆρα*.

Πανὸς ὀρεσσιβάτα *
προσπελασθεῖσ', ἤ σέ γέ
τις θυγάτηρ, Λοξίου; τῷ
γὰρ πλάκες ἀγρόνομοι πᾶσαι φίλαι·
εἴθ' ὁ Κυλλάνας ἀνάσσων,
εἴθ' ὁ Βακχεῖος θεὸς ναί-
ων ἐπ' ἄκρων ὀρέων εὕ-
ρημα δέξατ' ἔκ του
Νυμφᾶν Ἑλικωνίδων, αἷς πλεῖστα συμπαίζει.

ΟΙ. εἰ χρή τι κἀμέ, μὴ ξυναλλάξαντά πω,
πρέσβυ, σταθμᾶσθαι, τὸν βοτῆρ' ὁρᾶν δοκῶ,
ὅνπερ πάλαι ζητοῦμεν. ἔν τε γὰρ μακρῷ
γήρᾳ ξυνᾴδει τῷδε τἀνδρὶ σύμμετρος,
ἄλλως τε τοὺς ἄγοντας ὥσπερ οἰκέτας
ἔγνωκ' ἐμαυτοῦ· τῇ δ' ἐπιστήμῃ σύ μου
προὔχοις τάχ' ἄν που, τὸν βοτῆρ' ἰδὼν πάρος.

ΧΟ. ἔγνωκα γάρ, σάφ' ἴσθι, Λαΐου γὰρ ἦν
εἴπερ τις ἄλλος πιστὸς ὡς νομεὺς ἀνήρ.

ΟΙ. σὲ πρῶτ' ἐρωτῶ, τὸν Κορίνθιον ξένον,
ἦ τόνδε φράζεις; ΑΓ. τοῦτον, ὅνπερ εἰσορᾷς.

ΟΙ. οὗτος σύ, πρέσβυ, δεῦρό μοι φώνει βλέπων
ὅσ' ἄν σ' ἐρωτῶ. Λαΐου ποτ' ἦσθα σύ;

1100. ὀρεσσιβάτα *] που non male, ut opinor, conjecit Heathius: ὀρεσσιβάταο ex Bothii conjectura recepit Dindorfius: quod vix placet. De constructione bene monuit Hermannus. Est enim: τίς σ' ἔτικτε τῶν μακραιώνων ἄρα θυγάτηρ, προσπελασθεῖσα Πανός που ἢ Λοξίου; additum autem σέ γέ τις propter nomen θυγάτηρ longius a genitivo suo sejunctum.

1101. ἤ σέ γε repetito in altero membro pronomine dictum more epico. Dindorfius confert Homer. Od. Θ. 488. Phil. v. 1117. Quibus adde Hom. Il. Γ. 409. εἰσοκέ σ' ἢ ἄλοχον ποιήσεται, ἢ ὅγε δούλην. Hesiod. O. et D. 246. ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος. Horat. Od. I. ix. 16. *Nec dulces amores Sperne, puer, neque tu choreas.*

1108. Ἑλικωνίδων Porsonus ad Orest. v. 614. Ἑλικωνιάδων vulgo.

1111. πρέσβυ. Chorum quum alloquuntur tragicæ personæ, numero singulari haud minus sæpe utuntur quam plurali, ut supra, 658. 687. infra 1321. passimque in quibuscunque dramatibus. BRUNCK.

1113. τῷδε τἀνδρί. Ita codex Dresd. b. quod conjecerat Brunck. Vulgo minus bene τῷδέ τ' ἀνδρί. Mox σύμμετρος pro ξύμμετρος Erfurdtius.

ΘΕΡΑΠΩΝ.

ἦ δοῦλος οὐκ ὠνητός, ἀλλ' οἴκοι τραφείς.

ΟΙ. ἔργον μεριμνῶν ποῖον ἢ βίον τίνα;

ΘΕ. ποίμναις τὰ πλεῖστα τοῦ βίου ξυνειπόμην.

ΟΙ. χώροις μάλιστα πρὸς τίσι ξύναυλος ὤν;

ΘΕ. ἦν μὲν Κιθαιρών, ἦν δὲ πρόσχωρος τόπος.

ΟΙ. τὸν ἄνδρα τόνδ' οὖν οἶσθα τῇδέ που μαθών;

ΘΕ. τί χρῆμα δρῶντα; ποῖον ἄνδρα καὶ λέγεις;

ΟΙ. τόνδ' ὃς πάρεστιν· ἦ ξυναλλάξας τί πω;

ΘΕ. οὐχ ὥστε γ' εἰπεῖν ἐν τάχει μνήμης ὕπο.

ΑΓ. κοὐδέν γε θαῦμα, δέσποτ'. ἀλλ' ἐγὼ σαφῶς
ἀγνῶτ' ἀναμνήσω νιν. εὖ γὰρ οἶδ' ὅτι
κάτοιδεν, ἦμος τὸν Κιθαιρῶνος τόπον
ὁ μὲν διπλοῖσι ποιμνίοις, ἐγὼ δ' ἑνὶ
ἐπλησίαζον τῷδε τἀνδρὶ τρεῖς ὅλους
ἐξ ἦρος εἰς ἀρκτοῦρον ἐκμήνους χρόνους·
χειμῶνα δ' ἤδη τἀμά τ' εἰς ἔπαυλ' ἐγὼ
ἤλαυνον οὗτός τ' εἰς τὰ Λαΐου σταθμά.
λέγω τι τούτων, ἢ οὐ λέγω πεπραγμένον;

ΘΕ. λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου.

1123. Vulgo ἦν δοῦλος. ἦ recte, ut videtur, reposuit Elmsleius, quam formam h. l. diserte confirmat Porphyrius in Schol. Venet. Il. E. 533. et Schol. Ambros. Od. Θ. 186. vereor autem ut idem recte ἦ ubique pro ἦν Sophocli restituendum putet. Rursus in hujus fabulæ v. 1389. ἦ præbent codices nonnulli: iis autem in locis ubi ἦν consensu legitur nihil mutandum judicavi. De hac re subtilius fortasse quam verius disputavit Hermannus in præf. ad Œd. T. p. iv. seqq.

1130. ἢ plerique codices, sed ἦ La. a sec. m. Brunckius: Continuatio est præcedentis interrogationis: ἆρ' οἶσθα τοῦτον τὸν ἄνδρα τῇδέ που μαθών, ἢ ξυναλλάξας τί πω;

1134. κάτοιδεν ἦμος. Vid. Porson. ad Eur. Hec. 109.

τὸν Κιθαιρῶνος τόπον. Cum dicere vellet poeta ἦμος τὸν Κιθαιρῶνος τόπον κατεῖχον, illi verbo substituit accuratiorem rei explicationem, ἐπλησίαζον τῷδε τἀνδρί. HERMANN. ad Œd. Col. 505.

1137. ἐκμήνους Porsonus apud Kidd. p. 216. Schaeferus ad Bos. Ellips. s. v. χρόνος. ἐμμήνους vulgo. Schaeferus: A veris initio, quo greges in illis terris τὰ σταθμὰ relinquebant, ad ortum Arcturi sex menses erant.

1138. χειμῶνι vulgo: sed χειμῶνα La. quod verius videtur. Neque enim quod hyeme accedente sed quod *per hyemem* facere solebant, narrat nuncius.

ΑΓ. φέρ' εἰπὲ νῦν, τότ' οἶσθα παῖδά μοί τινα
δούς, ὡς ἐμαυτῷ θρέμμα θρεψαίμην ἐγώ ;
ΘΕ. τί δ' ἔστι ; πρὸς τί τοῦτο τοὔπος ἱστορεῖς ;
ΑΓ. ὅδ' ἐστίν, ὦ τᾶν, κεῖνος ὃς τότ' ἦν νέος.
ΘΕ. οὐκ εἰς ὄλεθρον ; οὐ σιωπήσας ἔσει ;
ΟΙ. ἆ, μὴ κόλαζε, πρέσβυ, τόνδ', ἐπεὶ τὰ σὰ
δεῖται κολαστοῦ μᾶλλον ἢ τὰ τοῦδ' ἔπη.
ΘΕ. τί δ', ὦ φέριστε δεσποτῶν, ἁμαρτάνω ;
ΟΙ. οὐκ ἐννέπων τὸν παῖδ' ὃν οὗτος ἱστορεῖ.
ΘΕ. λέγει γὰρ εἰδὼς οὐδέν, ἀλλ' ἄλλως πονεῖ.
ΟΙ. σὺ πρὸς χάριν μὲν οὐκ ἐρεῖς, κλάων δ' ἐρεῖς.
ΘΕ. μὴ δῆτα πρὸς θεῶν τὸν γέροντά μ' αἰκίσῃ.
ΟΙ. οὐχ ὡς τάχος τις τοῦδ' ἀποστρέψει χέρας ;
ΘΕ. δύστηνος, ἀντὶ τοῦ ; τί προσχρῄζων μαθεῖν ;
ΟΙ. τὸν παῖδ' ἔδωκας τῷδ' ὃν οὗτος ἱστορεῖ ;
ΘΕ. ἔδωκ'· ὀλέσθαι δ' ὤφελον τῇδ' ἡμέρᾳ.
ΟΙ. ἀλλ' εἰς τόδ' ἥξεις μὴ λέγων γε τοὔνδικον.
ΘΕ. πολλῷ γε μᾶλλον, ἢν φράσω, διόλλυμαι.
ΟΙ. ἁνὴρ ὅδ', ὡς ἔοικεν, ἐς τριβὰς ἐλᾷ.
ΘΕ. οὐ δῆτ' ἔγωγ', ἀλλ' εἶπον ὡς δοίην πάλαι.
ΟΙ. πόθεν λαβών ; οἰκεῖον, ἢ 'ξ ἄλλου τινός ;
ΘΕ. ἐμὸν μὲν οὐκ ἔγωγ', ἐδεξάμην δέ του.
ΟΙ. τίνος πολιτῶν τῶνδε κἀκ ποίας στέγης ;
ΘΕ. μὴ πρὸς θεῶν, μή, δέσποθ', ἱστόρει πλέον.
ΟΙ. ὄλωλας, εἴ σε ταῦτ' ἐρήσομαι πάλιν.
ΘΕ. τῶν Λαΐου τοίνυν τις ἦν γεννημάτων.

1144. Signum interrogandi vulgo post ἔστι positum delevit Dindorfius, ut τί idem sit quod ὅ τι. Idem comparat El. 316. ὡς νῦν ἀπόντος ἱστόρει τί σοι φίλον, ubi vide quæ notabimus. ibid. 1176. τί δ' ἔσχες ἄλγος πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς. Trach. 339. τί δ' ἐστὶ τοῦ με τήνδ' ἐφίστασαι βάσιν ; Cf. ad v. 1493.

1154. ἀποστρέψει χέρας. *Manus post tergum revinciet.* MUSGRAV.

1158. τοὔνδικον. *Justum,* h. e. *verum.* HESYCH. ἔνδικον. ἀληθές. BRUNCK. Cf. Æsch. Ag. 996. πρὸς ἐνδίκοις φρεσί. Choeph. 638. τί τῶνδ' οὐκ ἐνδίκως ἀγείρω ; S. c. T. 405. ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον. Aj. 547. εἴπερ δικαίως ἐστ' ἐμὸς τὰ πατρόθεν.

1160. ἁνὴρ Hermannus. ἀνὴρ vulgo. ἐς τριβὰς ἐλᾷ *moras nectit.* Arist. Ach. 385. affert Brunckus, ubi πορίζεις τριβὰς eodem sensu legitur. Mox εἰς Γ. Θ.

ΟΙ. ἦ δοῦλος, ἢ κείνου τις ἐγγενὴς γεγώς ;
ΘΕ. οἴμοι, πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν.
ΟΙ. κἄγωγ' ἀκούειν. ἀλλ' ὅμως ἀκουστέον.
ΘΕ. κείνου γέ τοι δὴ παῖς ἐκλῄζεθ'· ἡ δ' ἔσω
κάλλιστ' ἂν εἴποι σὴ γυνὴ τάδ' ὡς ἔχει.
ΟΙ. ἦ γὰρ δίδωσιν ἥδε σοι ; ΘΕ. μάλιστ', ἄναξ.
ΟΙ. ὡς πρὸς τί χρείας ; ΘΕ. ὡς ἀναλώσαιμί νιν.
ΟΙ. τεκοῦσα τλήμων ; ΘΕ. θεσφάτων γ' ὄκνῳ κακῶν.
ΟΙ. ποίων ; ΘΕ. κτενεῖν νιν τοὺς τεκόντας ἦν λόγος.
ΟΙ. πῶς δῆτ' ἀφῆκας τῷ γέροντι τῷδε σύ ;
ΘΕ. κατοικτίσας, ὦ δέσποθ', ὡς ἄλλην χθόνα
δοκῶν ἀποίσειν, αὐτὸς ἔνθεν ἦν· ὁ δὲ
κάκ' εἰς μέγιστ' ἔσωσεν. εἰ γὰρ οὗτος εἶ
ὅν φησιν οὗτος, ἴσθι δύσποτμος γεγώς.
ΟΙ. ἰοὺ ἰού· τὰ πάντ' ἂν ἐξήκοι σαφῆ.
ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν,
ὅστις πέφασμαι φύς τ' ἀφ' ὧν οὐ χρῆν, ξὺν οἷς τ'
οὐ χρῆν μ' ὁμιλῶν, οὕς τέ μ' οὐκ ἔδει κτανών.
ΧΟ. ἰὼ γενεαὶ βροτῶν, στροφὴ α΄.
ὡς ὑμᾶς ἴσα καὶ τὸ μη-
δὲν ζώσας ἐναριθμῶ.
τίς γάρ, τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει
ἢ τοσοῦτον ὅσον δοκεῖν,
καὶ δόξαντ' ἀποκλῖναι ;

1169. *In eo sum ut fatalem eloquendi necessitatem adesse sentiam.* λέγειν autem τῷ δεινῷ explicandi caussa additum.

1174. ὡς πρὸς τί χρείας, h. e. πρὸς τίνα χρείαν ; Sic infra v. 1435. καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν. Ant. 1229. ἐν τῷ ξυμφορᾶς διεφθάρης. Phil. 174. ἐπὶ παντί τῳ χρείας ἱσταμένῳ.

1178. ὡς non cum χθόνα sed cum δοκῶν construendum ; quod vidit glossator Paris. apud Brunck. Præpositionis omissio neminem morabitur.

1184. ἀφ' ὧν, ξὺν οἷς, οὕς τε plurali pro singulari dicta usu satis frequenti.

1191. τοσοῦτον. sc. μόνον. Similis ellipsis Œd. Col. 775. τοσαύτη τέρψις ἄκοντας φιλεῖν κ. τ. λ. Plena locutio est ibid. 790. τοσοῦτον ἐνθανεῖν μόνον.

δοκεῖν. sc. εὐδαιμονεῖν.

1192. ἀποκλῖναι. *ad infortunium declinare.*

τὸν σόν τοι παράδειγμ' ἔχων,
τὸν σὸν δαίμονα, τὸν σόν, ὦ
τλᾶμον Οἰδιπόδα, βροτῶν
οὐδὲν μακαρίζω·
ὅστις καθ' ὑπερβολὰν — ἀντιστροφὴ α'.
τοξεύσας ἐκράτησε τοῦ
πάντ' εὐδαίμονος ὄλβου,
ὦ Ζεῦ, κατὰ μὲν φθίσας
τὰν γαμψώνυχα παρθένον
χρησμῳδόν· θανάτων δ' ἐμᾷ
χώρᾳ πύργος ἀνέστα·
ἐξ οὗ καὶ βασιλεὺς καλεῖ
ἐμός, καὶ τὰ μέγιστ' ἐτι-
μάθης, ταῖς μεγάλαισιν ἐν
Θήβαισιν ἀνάσσων.
τανῦν δ' ἀκούειν τίς ἀθλιώτερος; — στροφὴ β'.
τίς ἄταις ἀγρίαις, τίς ἐν πόνοις
ξύνοικος ἀλλαγᾷ βίου;
ἰὼ κλεινὸν Οἰδίπου κάρα,
ᾧ μέγας λιμὴν
αὑτὸς ἤρκεσεν
παιδὶ καὶ πατρὶ
θαλαμηπόλῳ πεσεῖν,

1193. *τὸν σὸν* Camerarius. *τὸ σὸν* vulgo, quod si verum sit, non cum *παράδειγμα* sed per se accipiendum erit.

1195. *οὐδὲν* Hermannus. *οὐδένα* libri.

1197. *καθ' ὑπερβολὰν τοξεύσας*] *ὑπερβολικῶς εὐτυχήσας* Schol. *nimis prospera fortuna usus.*

1198. *ἐκράτησε* Hermannus. Vulgo *ἐκράτησας*. Notandus transitus a secunda ad tertiam personam: cujus rei hanc rationem esse monet Wunderus, quod Chorus orationem ad Jovem paullisper convertit.

πάντ' εὐδαίμονος. Cf. Ant. 721. Trach. 338. El. 301. et vid. supra ad v. 904. Cf. Wunderl. Obss. Critt. in Æsch. p. 156.

1201. *θανάτων πύργος*. Cf. Matth. Gr. Gr. 354. γ. Expectavisses *ἀναστάς* quum præcesserit *κατὰ μὲν φθίσας*, sed oratione liberiore uti maluit. *ἀνέστα* La. pr. Vulgo *ἀνέστας*.

1205. Vulgo *τίς ἐν πόνοις, τίς ἄταις ἀγρίαις*. Transposuit Hermann.

1206. *ξύνοικος ἀλλαγᾷ βίου*] *μᾶλλον* repetendum ex *ἀθλιώτερος* v. 1204.

1208. Libri *αὐτός*. Correxit Brunckius. Vid. ad v. 458.

1209. *πεσεῖν*. *quem intraret.*

πῶς ποτε πῶς ποθ' αἱ πατρῷ-
αί σ' ἄλοκες φέρειν, τάλας,
σῖγ' ἐδυνάθησαν ἐς τοσόνδε;
ἐφεῦρέ σ' ἄκονθ' ὁ πάνθ' ὁρῶν χρόνος, — ἀντιστ. β'.
δικάζει τ' ἄγαμον γάμον πάλαι
τεκνοῦντα καὶ τεκνούμενον.
ἰὼ Λαϊήϊον τέκνον,
εἴθε σ', εἴθε σε
μήποτ' εἰδόμαν.
δύρομαι γὰρ ὡς
περίαλλ' (?) ἰαχέων
ἐκ στομάτων. τὸ δ' ὀρθὸν εἰπ-
εῖν, ἀνέπνευσά τ' ἐκ σέθεν
καὶ κατεκοίμησα τοὐμὸν ὄμμα.

ΕΞΑΓΓΕΛΟΣ.

ὦ γῆς μέγιστα τῆσδ' ἀεὶ τιμώμενοι,
οἷ' ἔργ' ἀκούσεσθ', οἷα δ' εἰσόψεσθ', ὅσον δ'
ἀρεῖσθε πένθος, εἴπερ ἐγγενῶς ἔτι
τῶν Λαβδακείων ἐντρέπεσθε δωμάτων.
οἶμαι γὰρ οὔτ' ἂν Ἴστρον οὔτε Φᾶσιν ἂν
νίψαι καθαρμῷ τήνδε τὴν στέγην, ὅσα
κεύθει· τὰ δ' αὐτίκ' εἰς τὸ φῶς φανεῖ κακὰ
ἑκόντα κοὐκ ἄκοντα. τῶν δὲ πημονῶν
μάλιστα λυποῦσ' αἳ φανῶσ' αὐθαίρετοι.

1214. *δικάζει*. *damnat, ulciscitur.* *τ'* autem pro *τὸν* conjecit Hermannus.

1215. *γάμον τεκνοῦντα καὶ τεκνούμενον*. *Nuptias in quibus liberos procreat qui in iisdem procreatus est.* Wunder.

1216. *Λαϊήϊον* Bothius. Vulgo *Λαΐειον*. Idem comparat *Φοιβήϊον* Eur. Iph. A. 756. et *βασιληΐᾳ* ex Seidleri conjectura El. 186. restitutum.

1217. *εἴθε σ' εἴθε σ'*. Alterum *σ'* addidit Wunderus.

1219. *δύρομαι* Seidlerus. Vulgo *ὀδυρόμαι*. Vid. Porson. ad Eur. Hec. 728. *ὡς περίαλλα* *quam maxime.*

ἰαχέων. De penultima verbi *ἰαχεῖν* producta dixit Elmsleius ad Heracl. 752. a quo dissenserunt alii. *ἰακχίων* ab *ἴακχος*, *clamor*, conjecit Hermannus. *ἰὰν χέων* conjectura est quam mecum communicavit G. Burgessius.

ΧΟ. λείπει μὲν οὐδ' ἃ πρόσθεν ᾔδεμεν τὸ μὴ οὐ
βαρύστον' εἶναι· πρὸς δ' ἐκείνοισιν τί φῄς;
ΕΞ. ὁ μὲν τάχιστος τῶν λόγων εἰπεῖν τε καὶ
μαθεῖν, τέθνηκε θεῖον Ἰοκάστης κάρα.
ΧΟ. ὦ δυστάλαινα, πρὸς τίνος ποτ' αἰτίας;
ΕΞ. αὐτὴ πρὸς αὑτῆς. τῶν δὲ πραχθέντων τὰ μὲν
ἄλγιστ' ἄπεστιν· ἡ γὰρ ὄψις οὐ πάρα.
ὅμως δ', ὅσον γε κἀν ἐμοὶ μνήμης ἔνι,
πεύσει τὰ κείνης ἀθλίας παθήματα.
ὅπως γὰρ ὀργῇ χρωμένη παρῆλθ' ἔσω
θυρῶνος, ἵετ' εὐθὺ πρὸς τὰ νυμφικὰ
λέχη, κόμην σπῶσ' ἀμφιδεξίοις ἀκμαῖς·
πύλας δ', ὅπως εἰσῆλθ', ἐπιρρήξασ' ἔσω
καλεῖ τὸν ἤδη Λάϊον πάλαι νεκρόν,
μνήμην παλαιῶν σπερμάτων ἔχουσ' ὑφ' ὧν
θάνοι μὲν αὐτός, τὴν δὲ τίκτουσαν λίποι
τοῖς οἷσιν αὐτοῦ δύστεκνον παιδουργίαν.
γοᾶτο δ' εὐνάς, ἔνθα δύστηνος διπλοῦς
ἐξ ἀνδρὸς ἄνδρα καὶ τέκν' ἐκ τέκνων τέκοι.
χὤπως μὲν ἐκ τῶνδ' οὐκ ἔτ' οἶδ' ἀπόλλυται.
βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους, ὑφ' οὗ
οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι κακόν·
ἀλλ' εἰς ἐκεῖνον περιπολοῦντ' ἐλεύσσομεν

1232. ᾔδειμεν vulgo. ᾔδεμεν Elmsleius, videndus ad Ar. Ach. 323. Eur. Bacch. 1343.

1243. ἀμφιδεξίοις ἀκμαῖς. id est, ἀμφοῖν χεροῖν, ut recte explicatur in scholiis minoribus. Sic Œd. Col. 1112. πλευρὸν ἀμφιδέξιον, *utrumque latus.* ἀμφιδεξίοις χερσὶ Æschylum in Telepho dixisse testatur Hesychius. Erfurdt.

1245. καλεῖ Erfurdtius. κάλει libri, quod nec ipsum spernendum: sed fortius in tali loco est præsens.

1247. θάνοι. De optativo cf. Matth. Gr. Gr. 529. 4.

1248. δύστεκνον παιδουργίαν. Jocasta sic dicitur: abstractum, quod vocant, pro concreto posuit.

1249. γοᾶτο. De augmenti omissione quod in hujusmodi locis sæpenumero occurrere videmus, non sine fructu fortasse consulent tirones quæ in Lexico Æschyleo s. v. κυκλοῦσθαι annotavimus.

διπλοῦς recte numero plurali accipit Hermannus: *ubi duplex peperisset infandum genus, maritum e marito, natos e nato.*

1250. ἄνδρα La. pr. Lb. Lc. Palat. et alii. Vulgo ἄνδρας.

φοιτᾷ γάρ, ἡμᾶς ἔγχος ἐξαιτῶν πορεῖν,
γυναῖκά τ' οὐ γυναῖκα, μητρῴαν δ' ὅπου
κίχοι διπλῆν ἄρουραν οὗ τε καὶ τέκνων.
λυσσῶντι δ' αὐτῷ δαιμόνων δείκνυσί τις·
οὐδεὶς γὰρ ἀνδρῶν, οἳ παρῆμεν ἐγγύθεν.
δεινὸν δ' ἀΰσας, ὡς ὑφηγητοῦ τινός,
πύλαις διπλαῖς ἐνήλατ'· ἐκ δὲ πυθμένων
ἔκλινε κοῖλα κλῆθρα, κἀμπίπτει στέγῃ.
οὗ δὴ κρεμαστὴν τὴν γυναῖκ' ἐσείδομεν,
πλεκταῖς ἐώραις ἐμπεπλεγμένην. ὁ δὲ
ὅπως ὁρᾷ νιν, δεινὰ βρυχηθεὶς τάλας,
χαλᾷ κρεμαστὴν ἀρτάνην. ἐπεὶ δὲ γῇ
ἔκειτο τλήμων, δεινὰ δ' ἦν τἀνθένδ' ὁρᾶν.
ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους
περόνας ἀπ' αὐτῆς, αἷσιν ἐξεστέλλετο,
ἄρας ἔπαισεν ἄρθρα τῶν αὑτοῦ κύκλων,
αὐδῶν τοιαῦθ', ὁθούνεκ' οὐκ ὄψαιντό νιν
οὔθ' οἷ' ἔπασχεν οὔθ' ὁποῖ' ἔδρα κακά,
ἀλλ' ἐν σκότῳ τὸ λοιπὸν οὓς μὲν οὐκ ἔδει
ὀψοίαθ', οὓς δ' ἔχρῃζεν οὐ γνωσοίατο.

1256. μητρῴαν δ' ὅπου κίχοι κ. τ. λ. Hæc verba non ad ἐξαιτῶν referenda sunt, sed explicationem continent præcedentis οὐ γυναῖκα.

1257. ἄρουραν. Eadem metaphora supra v. 1210. Ant. 569.

1260. Vid. ad v. 966.

1262. κλῆθρα correxit Brunckius. κλεῖθρα vulgo et sic La. sed η suprascript. a man. rec. Veteres κλῄζειν, κλῆθρον, κλῇδα et similia dixisse grammaticorum præcepta docent: et ita jam ubique fere correxerunt editores. Photius: κλῇσαι οἱ ἀρχαῖοι λέγουσιν, οὐ κλεῖσαι, καὶ κλῇδα· οὕτω καὶ οἱ τραγικοὶ καὶ ὁ Θουκυδίδης. Cf. Elmsl. ad v. 1388. Veterem scripturam haud paucis in locis servarunt libri nonnulli, in aliis librariorum culpa depravatam. Hoc semel monuisse sufficiat.

1263. εἰσείδομεν Γ.

1267. δεινὰ δ' ἦν. Notanda δὲ in apodosi.

1271. ὄψοιντο libri omnes. Recte tamen ὄψαιντο rariorem aoristi formam reposuisse videtur Hermannus, qui sensum ita fere reddidit: *quia non vidissent, nec quæ perpeteretur, nec quæ faceret mala* (sc. dum matris consortio uteretur), *at in posterum in tenebris* (h. e. non) *visuros, quos non oportuisset videre, neque cognituros quos cupivisset cognoscere.* Dicit Œdipus: quia oculi sui facinus in quod incurreret non olim sibi ostendissent, illos in posterum facinus tale deprehendendi facultate privatum iri.

τοιαῦτ' ἐφυμνῶν πολλάκις τε κοὐχ ἅπαξ
ἤρασσ' ἐπαίρων βλέφαρα. φοίνιαι δ' ὁμοῦ
γλῆναι γένει' ἔτεγγον, οὐδ' ἀνίεσαν
φόνου μυδώσας σταγόνας, ἀλλ' ὁμοῦ μελας
ὄμβρος χαλάζης αἵματός τ' ἐτέγγετο.
τάδ' ἐκ δυοῖν ἔρρωγε[ν οὐ μόνου, κακά,
ἀλλ' ἀνδρὶ καὶ γυναικὶ] συμμιγῆ κακά.
ὁ πρὶν παλαιὸς δ' ὄλβος ἦν πάροιθε μὲν
ὄλβος δικαίως· νῦν δὲ τῇδε θἠμέρᾳ
στεναγμός, ἄτη, θάνατος, αἰσχύνη, κακῶν
ὅσ' ἐστὶ πάντων ὀνόματ', οὐδέν ἐστ' ἀπόν.
ΧΟ. νῦν δ' ἔσθ' ὁ τλήμων ἔν τινι σχολῇ κακοῦ;
ΕΞ. βοᾷ διοίγειν κλῇθρα καὶ δηλοῦν τινὰ
τοῖς πᾶσι Καδμείοισι τὸν πατροκτόνον,
τὸν μητρὸς—αὐδῶν ἀνόσι' οὐδὲ ῥητά μοι,
ὡς ἐκ χθονὸς ῥίψων ἑαυτόν, οὐδ' ἔτι
μενῶν δόμοις ἀραῖος, ὡς ἠράσατο.
ῥώμης γε μέντοι καὶ προηγητοῦ τινὸς
δεῖται· τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν.
δείξει δὲ καὶ σοί. κλῇθρα γὰρ πυλῶν τάδε
διοίγεται· θέαμα δ' εἰσόψει τάχα
τοιοῦτον οἷον καὶ στυγοῦντ' ἐποικτίσαι.
ΧΟ. ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις,

1277. σταγόνας, ἀλλ'. Similis sententia Æsch. Ag. 1533. δέδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ τὸν αἱματηρόν· ψακὰς δὲ λήγει.

1279. αἵματός τ'. Sic Dresd. a. b. T. suprascr. τ' in E. Hoc si verum est, per Hendiadyn explicandum erit, sicut πυρὶ καὶ στεροπαῖς v. 470. et similia multa. τ' om. La. Lb. αἱματοῦς conjecit Heathius: χάλαζά θ' αἱματοῦσσ' Porsonus: αἱμάτων Hermannus. In re incerta exhibui quod aliqua saltem codicum fide niti videtur.

1280. Vere judicasse mihi videtur Hermannus, duos hos versus ex uno esse confictos, sc. τάδ' ἐκ δυοῖν ἔρρωγε συμμιγῆ κακά. Uncinis v. 1281. inclusit Elmsleius: utrumque ejiciendum censet Dindorfius. In priori οὐχ ἑνὸς μόνου correxit Porsonus, citans Valck. ad Hipp. 1338.

1286. ἐν τίνι libri plerique et Scholiasta, quod vix intelligo. Nam idem non sunt σχολή et διατριβή, quo verbo illud explicat Scholiasta. ἔν τινι habent codd. nonnulli.

1287. κλῇθρα Ald. et ut videtur La. κλεῖθρα Lc. Γ. Mox v. 1294. κλῇθρα La. Ald. κλεῖθρα Lc. Γ.

ὦ δεινότατον πάντων ὅσ' ἐγὼ
προσέκυρσ' ἤδη.
τίς σ', ὦ τλῆμον, προσέβη μανία;
τίς ὁ πηδήσας μείζονα δαίμων
τῶν μακίστων
πρὸς σῇ δυσδαίμονι μοίρᾳ;
φεῦ φεῦ, δύσταν'. ἀλλ' οὐδ' ἐσιδεῖν
δύναμαί σ', ἐθέλων πόλλ' ἀνερέσθαι,
πολλὰ πυθέσθαι, πολλὰ δ' ἀθρῆσαι·
τοίαν φρίκην παρέχεις μοι.
ΟΙ. αἰαῖ αἰαῖ.
φεῦ φεῦ δύστανος ἐγώ,
ποῖ γᾶς φέρομαι τλάμων;
πᾶ μοι φθογγὰ †διαπέταται φοράδην;
ἰὼ δαῖμον, ἵν' ἐξήλλου.
ΧΟ. ἐς δεινόν, οὐδ' ἀκουστόν, οὐδ' ἐπόψιμον.
ΟΙ. ἰὼ σκότου στροφὴ α'.
νέφος ἐμὸν ἀπότροπον, ἐπιπλόμενον ἄφατον,
ἀδάματόν τε καὶ δυσούριστον ὄν.
οἴμοι,
οἴμοι μάλ' αὖθις· οἷον εἰσέδυ μ' ἅμα
κέντρων τε τῶνδ' οἴστρημα καὶ μνήμη κακῶν.

1299. ὅσ' ἐγὼ προσέκυρσ'. Notandum προσκύρω cum accusativo constructum. Solet cum tertio. Hos anapæstos ex Dindorfii sententia paullo numerosius quam antea legebantur digessi.

1301. τῶν μακίστων. sc. πηδημάτων.

1303. φεῦ φεῦ, δύσταν'. Veteres libri omnes δύστανος. δύσταν' solus Turnebus. Hæc delet Dindorfius, quo facto certe numerosius reliqua ad aures cadunt. Mox εἰσιδεῖν Γ. contra metrum. Vid. ad v. 78.

1307. αἰαῖ αἰαῖ Hermannus. αἶ αἶ, αἶ libri plerique. Mox idem φεῦ φεῦ delet.

1310. διαπέταται corruptum est. Omissis quæ de hoc loco disputata sunt, vulgatam reliqui. Forte legere possis πᾶ μοι φθογγὰ δ' ἔπτα φοράδην;

1311. ἵν' ἐξήλλου. Vim imperfecti recte explicuit Hermannus: *quo tendebas*, i. e. quo volebas, quum ista deinceps in me mala cumulares, evadere.

1315. ἀδάματον Elmsleius. Mox ὂν in versus fine addidit Hermannus, qui locum reddidit: *hei caliginis meæ abominanda nubes, infanda ingruens, ut quæ et invicta sit et sæviter secundo vento adducta.*

ΧΟ. καὶ θαῦμά γ' οὐδὲν ἐν τοσοῖσδε πήμασιν
διπλᾶ σε πενθεῖν καὶ διπλᾶ φορεῖν κακά.
ΟΙ. ἰὼ φίλος, ἀντιστροφὴ α'.
σὺ μὲν ἐμὸς ἐπίπολος ἔτι μόνιμος. ἔτι γὰρ
ὑπομένεις με τὸν τυφλὸν †κηδεύων.
φεῦ φεῦ.
οὐ γάρ με λήθεις, ἀλλὰ γιγνώσκω σαφῶς,
καίπερ σκοτεινός, τήν γε σὴν αὐδὴν ὅμως.
ΧΟ. ὦ δεινὰ δράσας, πῶς ἔτλης τοιαῦτα σὰς
ὄψεις μαρᾶναι; τίς σ' ἐπῆρε δαιμόνων;
ΟΙ. Ἀπόλλων τάδ' ἦν, Ἀπόλλων, φίλοι, στροφὴ β'.
ὁ κακὰ κακὰ τελῶν ἐμὰ τάδ' ἐμὰ πάθεα.
ἔπαισε δ' αὐτόχειρ νιν
οὔτις, ἀλλ' ἐγὼ τλάμων.
τί γὰρ ἔδει μ' ὁρᾶν,
ὅτῳ γ' ὁρῶντι μηδὲν ἦν ἰδεῖν γλυκύ;
ΧΟ. ἦν ταυθ' ὅπωσπερ καὶ σὺ φῄς.
ΟΙ. τί δῆτ' ἐμοὶ βλεπτόν, ἢ στροφὴ γ'.
στερκτόν, ἢ προσήγορον
ἔτ' ἔστ' ἀκούειν ἡδονᾷ, φίλοι;
ἀπάγετ' ἐκτόπιον ὅτι τάχιστά με,
ἀπάγετ', ὦ φίλοι, τὸν ὄλεθρον μέγαν,
τὸν καταρατότατον, εἴ τις δὲ καὶ θεοῖς
ἐχθρότατον βροτῶν.
ΧΟ. δείλαιε τοῦ νοῦ τῆς τε συμφορᾶς ἴσον,
ὥς σ' ἠθέλησα μηδ' ἀναγνῶναί ποτ' ἄν.

1320. *φορεῖν*. Citat Brunckius Valck. ad Hippol. 316.

1323. *με* Erfurdtius. Vulgo *ἐμέ*. Mox pro *κηδεύων*, quod numeros conturbat, forte legendum *κηδεμών*. Cum *ὑπομένεις με τὸν τυφλὸν* compara Œd. Col. 239. *ἀλλ' ἐπεὶ γεραὸν πατέρα τόνδ' ἐμὸν οὐκ ἀνέτλατε.*

1330. *πάθεα* dissyllabum est.

1345. Vulgo *ἔτι δὲ καὶ θεοῖς* quod misere languet. Correxit Hermannus, quo facto non opus *ἔφυ* in antistrophico mutari: ubi *ἔτι* idem olim conjecerat.

1348. *μηδαμὰ γνῶναί ποτ' ἄν* Dobræus. *μηδ' ἀναγνῶναί ποτ' ἄν* vulgo, cum La. Lb. Lc. *ἀναγνῶναι* esse *agnoscere*, quod si voluisset Chorus, *μὴ* non *μηδὲ* dicendum fuisse, monet Hermannus, qui ipse *μηδέ γ' ἂν* conjecit. Vulgatam si retineas, *μηδὲ* cum *ποτὲ* jungendum.

ΟΙ. ὄλοιθ' ὅστις ἦν ὃς ἀγρίας πέδας ἀντιστρ. β'.
†νομάδος ἐπιποδίας ἔλαβέ μ' ἀπό τε φόνου
ἔρυτο κἀνέσωσεν,
οὐδὲν εἰς χάριν πράσσων.
τότε γὰρ ἂν θανὼν
οὐκ ἦν φίλοισιν οὐδ' ἐμοὶ τοσόνδ' ἄχος.
ΧΟ. θέλοντι κἀμοὶ τοῦτ' ἂν ἦν.
ΟΙ. οὔκουν πατρός γ' ἂν φονεὺς ἀντιστρ. γ'.
ἦλθον, οὐδὲ νυμφίος
βροτοῖς ἐκλήθην ὧν ἔφυν ἄπο.
νῦν δ' ἄθεος μέν εἰμ', ἀνοσίων δὲ παῖς,
ὁμογενὴς δ' ἀφ' ὧν αὐτὸς ἔφυν τάλας.
εἰ δέ τι πρεσβύτερον ἔφυ κακοῦ κακόν,
τοῦτ' ἔλαχ' Οἰδίπους.
ΧΟ. οὐκ οἶδ' ὅπως σε φῶ βεβουλεῦσθαι καλῶς.
κρείσσων γὰρ ἦσθα μηκέτ' ὢν ἢ ζῶν τυφλός.
ΟΙ. ὡς μὲν τάδ' οὐχ ὧδ' ἔστ' ἄριστ' εἰργασμένα,
μή μ' ἐκδίδασκε, μηδὲ συμβούλευ' ἔτι.
ἐγὼ γὰρ οὐκ οἶδ' ὄμμασιν ποίοις βλέπων
πατέρα ποτ' ἂν προσεῖδον εἰς Ἅιδου μολών,
οὐδ' αὖ τάλαιναν μητέρ', οἶν ἐμοὶ δυοῖν
ἔργ' ἐστὶ κρείσσον' ἀγχόνης εἰργασμένα.
ἀλλ' ἡ τέκνων δῆτ' ὄψις ἦν ἐφίμερος,
βλαστοῦσ' ὅπως ἔβλαστε, προσλεύσσειν ἐμοί·

1349. *ὃς ἀγρίας πέδας νομάδος ἐπιποδίας*] *ἀπ'* quod in libris plerisque ante *ἀγρίας* legitur, omittunt Tricliniani. Mox *νομάδος* recte ita explicuit Hermannus, ut intelligantur spicula, quibus per articulos adactis pedes juncti fuerant, quod malum quasi *pasci in pedibus*, i. e. grassari in eos, significat.

1350. Versus syllaba redundat. An legendum *ἐπιποδίας μ' ἔλαβ' ἀπό τε φόνου.*

1351. *ἔρυτο* epica forma scripsit Dindorfius. Vulgo *ἔρρυτο*. Vid. Buttm. Lex. s. v.

1355. *ἦν* tertiæ personæ Dindorfio esse videtur. Longe simplicius cum *θανὼν* in prima conjungere.

1358. *ἦλθον*. *prodiissem.*

1360. *ἄθεος* Erfurdtius aliique. *ἄθλιος* vulgo.

1361. *ὁμογενὴς* dictum sicut *ὁμόσπορος* supra, v. 460. *τοῦ πατρὸς ὁμόσπορός τε καὶ φονεύς*. *Ex eadem liberos progignens.*

1365. *ἔφυ*. Vid. ad v. 1345.

1374. *κρείσσον' ἀγχόνης*. *atrociora quam quæ suspendio lui possint.* Erfurdt.

1376. *βλαστοῦσ' ὅπως ἔβλαστεν.* Proprie dicendum fuerat *βλαστόντων ὅπως ἔβλαστεν.* Erfurdt.

οὐ δῆτα τοῖς γ' ἐμοῖσιν ὀφθαλμοῖς ποτέ·
οὐδ' ἄστυ γ', οὐδὲ πύργος, οὐδὲ δαιμόνων
ἀγάλμαθ' ἱερά, τῶν ὁ παντλήμων ἐγὼ
κάλλιστ' ἀνὴρ εἷς ἔν γε ταῖς Θήβαις τραφεὶς
ἀπεστέρησ' ἐμαυτόν, αὐτὸς ἐννέπων
ὠθεῖν ἅπαντας, τὸν ἀσεβῆ, τὸν ἐκ θεῶν
φανέντ' ἄναγνον καὶ γένους τοῦ Λαΐου.
τοιάνδ' ἐγὼ κηλῖδα μηνύσας ἐμὴν
ὀρθοῖς ἔμελλον ὄμμασιν τούτους ὁρᾶν;
ἥκιστά γ'· ἀλλ' εἰ τῆς ἀκουούσης ἔτ' ἦν
πηγῆς δι' ὤτων φραγμός, οὐκ ἂν ἐσχόμην
τὸ μὴ ἀποκλῇσαι τοὐμὸν ἄθλιον δέμας,
ἵν' ἦ τυφλός τε καὶ κλύων μηδέν. τὸ γὰρ
τὴν φροντίδ' ἔξω τῶν κακῶν οἰκεῖν γλυκύ.
ἰὼ Κιθαιρών, τί μ' ἐδέχου; τί μ' οὐ λαβὼν
ἔκτεινας εὐθύς, ὡς ἔδειξα μήποτε
ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἦν γεγώς;
ὦ Πόλυβε καὶ Κόρινθε καὶ τὰ πάτρια
λόγῳ παλαιὰ δώμαθ', οἷον ἆρά με
κάλλος κακῶν ὕπουλον ἐξεθρέψατε.
νῦν γὰρ κακός τ' ὢν κἀκ κακῶν εὑρίσκομαι.
ὦ τρεῖς κέλευθοι καὶ κεκρυμμένη νάπη
δρυμός τε καὶ στενωπὸς ἐν τριπλαῖς ὁδοῖς,
αἳ τοὐμὸν αἷμα τῶν ἐμῶν χειρῶν ἄπο

Cf. Œd. Col. 266. τά γ' ἔργα μου πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα. De formula vid. Blomf. ad Ag. v. 66., et cf. infra v. 1458.

1385. τούτους. sc. τοὺς Θηβαίους. Brunck. Cf. supra ad v. 528.

1387. ἂν ἐσχόμην Brunckius. ἀνεσχόμην plerique codices.

1388. μἀποκλῇσαι Dind. μὴ ἀποκλεῖσαι La. quod synizesin patitur. Quæsitum est a criticis utrum crasis an elisio in talibus præferenda sit. Vid. quos citavi ad Eumen. v. 85. Cf. etiam ad v. 1262.

1389. ἦ codices pauci: et sic Elmsleius. Vid. ad v. 1123.

1396. κάλλος κακῶν ὕπουλον. *externe pulchrum, interne morbis latentibus plenum.* ὕπουλον dicitur id, quod cicatrice obductum, nec tamen persanatum est. Musgr.

1400. τοὐμὸν αἷμα πατρός. h. e. τοὐμοῦ πατρὸς αἷμα. Hoc dicit poeta, non quia hypallagen quærit: sed quia tam conjunctus est liberorum et parentum sanguis, et qui sanguinem parentis effuderit, is et suum ipsius sanguinem effudisse

ἐπίετε πατρός, ἆρά μου μέμνησθ' ὅτι,
οἷ' ἔργα δράσας ὑμίν, εἶτα δεῦρ' ἰὼν
ὁποῖ' ἔπρασσον αὖθις; ὦ γάμοι γάμοι,
ἐφύσαθ' ἡμᾶς, καὶ φυτεύσαντες πάλιν
ἀνεῖτε ταὐτὸν σπέρμα, κἀπεδείξατε
πατέρας, ἀδελφούς, παῖδας, αἷμ' ἐμφύλιον,
νύμφας, γυναῖκας, μητέρας τε, χὠπόσα
αἴσχιστ' ἐν ἀνθρώποισιν ἔργα γίγνεται.
ἀλλ' οὐ γὰρ αὐδᾶν ἔσθ' ἃ μηδὲ δρᾶν καλόν,
ὅπως τάχιστα πρὸς θεῶν ἔξω μέ που
καλύψατ', ἢ φονεύσατ', ἢ θαλάσσιον
ἐκρίψατ', ἔνθα μήποτ' εἰσόψεσθ' ἔτι.
ἴτ', ἀξιώσατ' ἀνδρὸς ἀθλίου θιγεῖν.
πείθεσθε, μὴ δείσητε. τἀμὰ γὰρ κακὰ
οὐδεὶς οἷός τε πλὴν ἐμοῦ φέρειν βροτῶν.
ΧΟ. ἀλλ' ὧν ἐπαιτεῖς ἐς δέον πάρεσθ' ὅδε
Κρέων τὸ πράσσειν καὶ τὸ βουλεύειν· ἐπεὶ
χώρας λέλειπται μοῦνος ἀντὶ σοῦ φύλαξ.
ΟΙ. οἴμοι, τί δῆτα λέξομεν πρὸς τόνδ' ἔπος;
τίς μοι φανεῖται πίστις ἔνδικος; τὰ γὰρ
πάρος πρὸς αὐτὸν πάντ' ἐφεύρημαι κακός.
ΚΡ. οὐχ ὡς γελαστής, Οἰδίπους, ἐλήλυθα,

existimari possit. Cf. El. 785. τοὐμὸν ἐκπίνουσ' ἀεὶ ψυχῆς ἄκρατον αἷμα. Ibid. 1390. τοὐμὸν φρενῶν ὄνειρον. Vid. ad Eumen. v. 283.

1401. ἆρά μου μέμνησθ' ὅτι. Prætulerim ἆρά μοι, sed parum interest. Dicturus erat, respectu conjunctionis ὅτι habito, οἷα ἔργα ἔδρασα ὑμῖν, εἶτα δεῦρο ἰὼν τοιαῦτα ἔπρασσον αὖθις: sed orationem deinde liberius ad verbum μέμνησθε, tanquam si abesset ὅτι, accommodare maluit. Porro cum οἷα dixisset, per attractionem quandam etiam ὁποῖα adjungit: quod monuit Hermannus.

1402. ὑμίν. Ipsam regionem nefando suo facinore læsam ait Œdipus. Bothius.

1412. ἔνθα μήποθ' εἰσόψεσθ' ἔτι. Notabunt tirones quid intersit inter hanc et locutionem qualis est illa Æsch. P. V. 21. ἵν' οὔτε φωνήν, οὔτε του μορφὴν βροτῶν ὄψει. Altera enim loquentis voluntatem significat, indicantis *sibi curæ esse ne* unquam se homines aspiciant: altera simpliciter denotat, *fore ut* nunquam mortalium quenquam videat. Illa μὴ hæc οὐ ad negationem exprimendam requirit.

1414. πίθεσθε hic ut alibi Elmsleius: sine causa, ut videtur.

1416. εἰς Δ.

οὐδ᾽ ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν.
ἀλλ᾽ εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ᾽ ἔτι
γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα
αἰδεῖσθ᾽ ἄνακτος Ἡλίου, τοιόνδ᾽ ἄγος
ἀκάλυπτον οὕτω δεικνύναι, τὸ μήτε γῆ
μήτ᾽ ὄμβρος ἱερὸς μήτε φῶς προσδέξεται.
ἀλλ᾽ ὡς τάχιστ᾽ ἐς οἶκον ἐσκομίζετε.
τοῖς ἐν γένει γὰρ τἀγγενῆ μάλισθ᾽ ὁρᾶν
μόνοις τ᾽ ἀκούειν εὐσεβῶς ἔχει κακά.
ΟΙ. πρὸς θεῶν, ἐπείπερ ἐλπίδος μ᾽ ἀπέσπασας,
ἄριστος ἐλθὼν πρὸς κάκιστον ἄνδρ᾽ ἐμέ,
πιθοῦ τί μοι· πρὸς σοῦ γάρ, οὐδ᾽ ἐμοῦ, φράσω.
ΚΡ. καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν;
ΟΙ. ῥῖψον με γῆς ἐκ τῆσδ᾽ ὅσον τάχισθ᾽ ὅπου
θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.
ΚΡ. ἔδρασ᾽ ἂν εὖ τοῦτ᾽ ἴσθ᾽ ἄν, εἰ μὴ τοῦ θεοῦ
πρώτιστ᾽ ἔχρῃζον ἐκμαθεῖν τί πρακτέον.
ΟΙ. ἀλλ᾽ ἥ γ᾽ ἐκείνου πᾶσ᾽ ἐδηλώθη φάτις,
τὸν πατροφόντην, τὸν ἀσεβῆ μ᾽ ἀπολλύναι.
ΚΡ. οὕτως ἐλέχθη ταῦθ᾽· ὅμως δ᾽ ἵν᾽ ἕσταμεν
χρείας ἄμεινον ἐκμαθεῖν τί δραστέον.
ΟΙ. οὕτως ἄρ᾽ ἀνδρὸς ἀθλίου πεύσεσθ᾽ ὕπερ;
ΚΡ. καὶ γὰρ σὺ νῦν τἂν τῷ θεῷ πίστιν φέροις.
ΟΙ. καὶ σοί γ᾽ ἐπισκήπτω τε καὶ προτρέψομαι,
τῆς μὲν κατ᾽ οἴκους αὐτὸς ὃν θέλεις τάφον
θοῦ· καὶ γὰρ ὀρθῶς τῶν γε σῶν τελεῖς ὕπερ.
ἐμοῦ δὲ μήποτ᾽ ἀξιωθήτω τόδε
πατρῷον ἄστυ ζῶντος οἰκητοῦ τυχεῖν.
ἀλλ᾽ ἔα με ναίειν ὄρεσιν, ἔνθα κλῄζεται

1426. *αἰδεῖσθ᾽—δεικνύναι.* Cf. Æsch. Pers. 809. *οὐ θεῶν βρέτη ᾐδοῦντο συλᾶν.* Choeph. 899. *μητέρ᾽ αἰδεσθῶ κτανεῖν;*

1429. *εἰσκομίζετε* Γ.

1436. *ῥῖψον* Hermannus: vulgo *ῥίψον.*

1437. Vid. supra ad v. 1412.

1438. *ἔδρασ᾽ ἂν εὖ τοῦτ᾽ ἴσθ᾽ ἄν.* Vid. Matth. Gr. Gr. 599. e.

1445. *τἄν*, h. e. *τοι ἂν* Elmsleius. vulgo *τ᾽ ἄν.*

1451. *ἔνθα κλῄζεται.* *ubi est qui meus Cithæron dicitur.* Schaef.

οὑμὸς Κιθαιρὼν οὗτος, ὃν μήτηρ τέ μοι
πατήρ τ᾽ ἐθέσθην ζῶντι κύριον τάφον,
ἵν᾽ ἐξ ἐκείνων, οἵ μ᾽ ἀπωλλύτην, θάνω.
καίτοι τοσοῦτόν γ᾽ οἶδα, μήτε μ᾽ ἂν νόσον
μήτ᾽ ἄλλο πέρσαι μηδέν· οὐ γὰρ ἄν ποτε
θνήσκων ἐσώθην, μὴ ᾽πί τῳ δεινῷ κακῷ.
ἀλλ᾽ ἡ μὲν ἡμῶν μοῖρ᾽, ὅπηπερ εἶσ᾽, ἴτω.
παίδων δὲ τῶν μὲν ἀρσένων μή μοι, Κρέων,
προσθῇ μέριμναν· ἄνδρες εἰσίν, ὥστε μὴ
σπάνιν ποτὲ σχεῖν, ἔνθ᾽ ἂν ὦσι, τοῦ βίου·
ταῖν δ᾽ ἀθλίαιν οἰκτραῖν τε παρθένοιν ἐμαῖν,
αἷν οὔ ποθ᾽ ἡμὴ χωρὶς ἐστάθη βορᾶς
τράπεζ᾽ ἄνευ τοῦδ᾽ ἀνδρός, ἀλλ᾽ ὅσων ἐγὼ
ψαύοιμι, πάντων τῶνδ᾽ ἀεὶ μετειχέτην·
αἷν μοι μέλεσθαι καὶ μάλιστα μὲν χεροῖν
ψαῦσαί μ᾽ ἔασον, κἀποκλαύσασθαι κακά.
ἴθ᾽ ὦναξ,
ἴθ᾽ ὦ γονῇ γενναῖε. χερσί τἂν θιγὼν

quem vide in Ind. Græc. ad Gregor. Corinth. p. 986.

1453. *ζῶντι* Toupius cur. nov. in Suid. p. 103. *ζῶντε* vulgo.

1454. *οἵ μ᾽ ἀπωλλύτην.* *qui me perdere voluerunt.* Brunck. Usus imperfecti satis notus.

1457. *θνήσκων.* *cum in eo eram ut perirem.* Hermann. Sive *morti jam traditus*, ut vertit Brunckius.

1458. *ὅπηπερ εἶσ᾽, ἴτω.* Vid. ad v. 1376. *ὅποιπερ* codd. meliores.

1459. *Κρέων* La. sicut in v. 637. omnes. Vulgo *Κρέον.*

1460. *προθῇ* Elmsleius, coll. El. v. 1334.; sed vulgatam bene tuetur Hermannus: nam quod Elmsleius ait, *προσθέσθαι μέριμναν* esse curæ curam additam habere, non hoc tantum significare docet, sed *curam sibi addere*, quod fieri potest ita, ut aut alii curæ, aut etiam nulli addatur.

1462. *ταῖν δ᾽ ἀθλίαιν.* Genitivus pendet a verbis *προσθῇ μέριμναν*, in parenthesi positis verbis *ἄνδρες εἰσὶν—τοῦ βίου.* Wunder. Hoc vidit Elmsleius: qui plene post *μετειχέτην* interpungendum docuit.

1463. *ἡμή.* *ἡμὴ* si genuinum est, videtur esse *in ædibus meis.* Vitiosum tamen videtur *ἡμή.* Nec placet *τράπεζα βορᾶς.* Conjicio, *χωρὶς ἐστάθη πάρος κ. τ. λ.* Constructio est, *αἷν ἡ ἐμὴ τράπεζα βορᾶς οὔποτε ἐστάθη χωρὶς ἄνευ τοῦδ᾽ ἀνδρός.* Cæterum *χωρὶς* et *ἄνευ τοῦδ᾽ ἀνδρὸς* posita *ἐκ παραλλήλου.*

1469. *τἂν* Elmsleius: *τ᾽ ἂν* vulgo *δ᾽ ἂν* La. *τ᾽* suprascr. a. m. r.

δοκοῖμ' ἔχειν σφας, ὥσπερ ἡνίκ' ἔβλεπον.
τί φημί;
οὐ δὴ κλύω που, πρὸς θεῶν, τοῖν μοι φίλοιν
δακρυρροούντοιν, καί μ' ἐποικτείρας Κρέων
ἔπεμψέ μοι τὰ φίλτατ' ἐκγόνοιν ἐμοῖν;
λέγω τι;
ΚΡ. λέγεις. ἐγὼ γάρ εἰμ' ὁ πορσύνας τάδε,
γνοὺς τὴν παροῦσαν τέρψιν, ἥ σ' εἶχεν πάλαι.
ΟΙ. ἀλλ' εὐτυχοίης, καί σε τῆσδε τῆς ὁδοῦ
δαίμων ἄμεινον ἢ 'μὲ φρουρήσας τύχοι.
ὦ τέκνα, ποῦ ποτ' ἐστέ; δεῦρ' ἴτ', ἔλθετε
ὡς τὰς ἀδελφὰς τάσδε τὰς ἐμὰς χέρας,
αἳ τοῦ φυτουργοῦ πατρὸς ὑμὶν ὧδ' ὁρᾶν
τὰ πρόσθε λαμπρὰ προὐξένησαν ὄμματα·
ὃς ὑμίν, ὦ τέκν', οὔθ' ὁρῶν οὔθ' ἱστορῶν
πατὴρ ἐφάνθην ἔνθεν αὐτὸς ἠρόθην.
καὶ σφὼ δακρύω· προσβλέπειν γὰρ οὐ σθένω·
νοούμενος τὰ λοιπὰ τοῦ πικροῦ βίου,
οἷον βιῶναι σφὼ πρὸς ἀνθρώπων χρεών.
ποίας γὰρ ἀστῶν ἥξετ' εἰς ὁμιλίας;
ποίας δ' ἑορτάς, ἔνθεν οὐ κεκλαυμέναι
πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας;
ἀλλ' ἡνίκ' ἂν δὴ πρὸς γάμων ἥκητ' ἀκμάς,
τίς οὗτος ἔσται, τίς παραρρίψει, τέκνα,

1470. ἔχειν σφας. Pronomen enclitice scribendum et hic et v. 1508. jubet Dindorfius, præeunte codice Palatino. Contra vide Elmsleium ad Eurip. Med. 1345. Certe ita occurrit Iliad. E. 567. μέγα δέ σφας ἀποσφήλειε πόνοιο. Cf. etiam Hermanni notam ad Œd. Col. 486.

1477. Recte Erfurdtius: *quum ex ea voluptate, quam olim percepisti, conjecturam fecissem de præsenti.* Vid. Schaef. ad Long. p. 396.

1481. ὡς τὰς ἀδελφὰς κ.τ.λ. ἐς pro ὡς Elmsleius: sed conf. Hermanni notam ad Trach. v. 365. Certe quod ad hunc locum attinet, ἀδελφὰς χέρας idem prorsus est ac si ἀδελφὸν posuisset.

1482. ὧδ' ὁρᾶν — προὐξένησαν. *effecerunt ut ita viderent*, h. e. ut non viderent.

1490. κεκλαυμέναι. Cf. Æsch. Choeph. 457. 731. MUSGRAV.

1491. ἀντὶ τῆς θεωρίας] ἀντὶ τῆς ἀπὸ τῆς θεωρίας τέρψεως Schol. rec.

1493. τίς οὗτος ἔσται; τίς παραρρίψει. Idem mihi quod Wundero mirari contigerat, hunc versum non a quibusdam ita explicatum esse ut τις altero in loco pro ὅστις acciperent. Cf. supra ad v. 1144. Cæterum παραρρίψει eo sensu dictum videtur quo quis κίνδυνον ἀναρρίπτειν sive παραβάλλεσθαι dicitur: arcte autem jungenda παραρρίψει λαμβάνων, *quis suscipere audebit?*

1494. Vertendum fere cum Erfurdtio: *Quæ meis parentibus, simulque vestris noxæ erunt.* Sub utriusque parentis nomine matrem præcipue intelligit poeta, ut mox v. 1498. et alibi passim. ELMSL.

1500. ὀνειδιεῖσθε. Futurum medium passive dictum. Vid. Monk. ad Hippol. v. 1458.

1402. φθαρῆναι, *perire.* Male Brunckius per πλανᾶσθαι explicat.

1505. περιΐδῃς. Ita Dawesius: vulgo παρίδῃς. μὴ παρά σφ' ἴδῃς Pors. ad Med. 284. qui frustra Dawesii emendationi refragari videtur. Cf. Hermanni notam ad h. l.

1506. ἐγγενεῖς injuria suspectum habent. Magna cum vi dicitur: illud enim inter alia tanquam maximum probrum objicitur, si puellas sanguine conjunctas tam misere perire sinat.

1511. εἰχέτην. Vid. Elmsl. ad Med. 1041. Acharn. 733.

1512. εὔχεσθέ μοι. Quod in Scholiis minoribus docetur, εὔχεσθε sc. hic passivo sensu sumi, Hermanno et aliis quibusdam satisfecit: sed merito respuit Dindorfius,

τοιαῦτ' ὀνείδη λαμβάνων, ἃ τοῖς ἐμοῖς
γονεῦσιν ἔσται σφῷν θ' ὁμοῦ δηλήματα;
τί γὰρ κακῶν ἄπεστι; τὸν πατέρα πατὴρ
ὑμῶν ἔπεφνε· τὴν τεκοῦσαν ἤροσεν,
ὅθεν περ αὐτὸς ἐσπάρη, κἀκ τῶν ἴσων
ἐκτήσαθ' ὑμᾶς, ὧνπερ αὐτὸς ἐξέφυ.
τοιαῦτ' ὀνειδιεῖσθε. κᾆτα τίς γαμεῖ;
οὐκ ἔστιν οὐδείς, ὦ τέκν', ἀλλὰ δηλαδὴ
χέρσους φθαρῆναι κἀγάμους ὑμᾶς χρεών.
ὦ παῖ Μενοικέως, ἀλλ' ἐπεὶ μόνος πατὴρ
ταύταιν λέλειψαι, νὼ γάρ, ὢ 'φυτεύσαμεν,
ὀλώλαμεν δύ' ὄντε, μή σφε περιΐδῃς
πτωχὰς ἀνάνδρους ἐγγενεῖς ἀλωμένας,
μηδ' ἐξισώσῃς τάσδε τοῖς ἐμοῖς κακοῖς.
ἀλλ' οἴκτισόν σφας, ὧδε τηλικάσδ' ὁρῶν
πάντων ἐρήμους, πλὴν ὅσον τὸ σὸν μέρος.
ξύννευσον, ὦ γενναῖε, σῇ ψαύσας χερί.
σφῷν δ', ὦ τέκν', εἰ μὲν εἰχέτην ἤδη φρένας,
πόλλ' ἂν παρῄνουν· νῦν δὲ τοῦτ' εὔχεσθέ μοι,

οὗ καιρὸς ἐᾷ ζῆν, τοῦ βίου δὲ λῴονος
ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός.
ΚΡ. ἅλις ἵν' ἐξήκεις δακρύων. ἀλλ' ἴθι στέγης ἔσω.
ΟΙ. πειστέον, κεἰ μηδὲν ἡδύ. ΚΡ. πάντα γὰρ καιρῷ καλά.
ΟΙ. οἶσθ' ἐφ' οἷς οὖν εἶμι; ΚΡ. λέξεις, καὶ τότ' εἴσομαι κλύων.
ΟΙ. γῆς μ' ὅπως πέμψεις ἄποικον. ΚΡ. τοῦ θεοῦ μ' αἰτεῖς δόσιν.
ΟΙ. ἀλλὰ θεοῖς γ' ἔχθιστος ἥκω. ΚΡ. τοιγαροῦν τεύξει τάχα.
ΟΙ. φῂς τάδ' οὖν; ΚΡ. ἃ μὴ φρονῶ γὰρ οὐ φιλῶ λέγειν μάτην.
ΟΙ. ἄπαγέ νύν μ' ἐντεῦθεν ἤδη. ΚΡ. στεῖχέ νυν, τέκνων δ' ἀφοῦ.
ΟΙ. μηδαμῶς ταύτας γ' ἕλῃ μου. ΚΡ. πάντα μὴ βούλου κρατεῖν.
καὶ γὰρ ἀκράτησας οὔ σοι τῷ βίῳ ξυνέσπετο.
ΧΟ. ὦ πάτρας Θήβης ἔνοικοι, λεύσσετ', Οἰδίπους ὅδε,
ὃς τὰ κλείν' αἰνίγματ' ᾔδη καὶ κράτιστος ἦν ἀνήρ,
ὃν τίς οὐ ζηλῶν πολιτῶν καὶ τύχαις ἐπιβλέπων,
εἰς ὅσον κλύδωνα δεινῆς συμφορᾶς ἐλήλυθεν.

qui in v. 1513. (ubi legebatur ἀεὶ) αει in εαι mutato, ἐᾷ ingeniose restituit. Hoc admisi, sed quia τοῦ βίου (vulgo βίου omisso τοῦ), sicut scriptum est in La. Lb. Lc. negligi non posse videtur. Hæc autem ita interpretatur Dindorfius, ut εὔχεσθέ μοι—ζῆν ad Œdipum referat, liberos sc. sui caussa precari hortantem, ut ubi occasio sinit (coll. 1451. seqq.) ibi vitam ipse degat. Possunt et ad liberos referri, quos hortatur pater, *ut sibi vitam optent ubi expediat* (οὗ καιρὸς ἐᾷ), *vitam autem ipsius vita feliciorem consequantur*. Si cum Dindorfio vertas, εὔχεσθ' ἐμοὶ in v. 1512. scribendum videtur.

1517. εἶμι Brunckius: εἰμὶ vulgo.

1518. πέμψῃς La. em. Lb. et alii nonnulli.

1524—1530. Scholiasta hos versus Œdipo assignat. Verisimilem erroris caussam indicat Dindorfius, coll Eurip. Phœn. 1758. 59.

1526. Vulgo ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων, quod uteunque explices durissimum videtur. Recepi Hermanni emendationem, cui aliquatenus præiverat Musgravius. Sensus est: *quem civium nemo non felicem prædicavit, inviditque fortunæ ejus.*

ὥστε θνητὸν ὄντ' ἐκείνην τὴν τελευταίαν ἰδεῖν
ἡμέραν ἐπισκοποῦντα μηδέν' ὀλβίζειν, πρὶν ἂν
τέρμα τοῦ βίου περάσῃ μηδὲν ἀλγεινὸν παθών.

1528. ἐπισκοποῦντα ἰδεῖν *expectantem ut videat*. Heath. De ὀλβίζειν in infinitivo cf. Matth. Gr. Gr. 546.

ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.
ΑΝΤΙΓΟΝΗ.
ΞΕΝΟΣ.
ΧΟΡΟΣ Ἀττικῶν γερόντων.
ΙΣΜΗΝΗ.
ΘΗΣΕΥΣ.
ΚΡΕΩΝ.
ΠΟΛΥΝΕΙΚΗΣ.
ΑΓΓΕΛΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ο ΕΠΙ ΚΟΛΩΝΩΙ ΟΙΔΙΠΟΥΣ συνημμένος πώς ἐστι τῷ ΤΥΡΑΝΝΩΙ. τῆς γὰρ πατρίδος ἐκπεσὼν ὁ* Οἰδίπους ἤδη γεραιὸς† ὢν ἀφικνεῖται εἰς Ἀθήνας, ὑπὸ τῆς θυγατρὸς Ἀντιγόνης χειραγωγούμενος. ἦσαν γὰρ τῶν ἀρσένων περὶ τὸν πατέρα φιλοστοργότεραι. ἀφικνεῖται δὲ εἰς Ἀθήνας κατὰ πυθόχρηστον‡, ὡς αὐτός φησι, χρησθὲν αὐτῷ παρὰ ταῖς σεμναῖς καλουμέναις θεαῖς μεταλλάξαι τὸν βίον. τὸ μὲν οὖν πρῶτον γέροντες ἐγχώριοι, ἐξ ὧν ὁ χορὸς συνέστηκε, πυθόμενοι συνέρχονται καὶ διαλέγονται πρὸς αὐτόν. ἔπειτα δὲ Ἰσμήνη παραγενομένη τὰ κατὰ τὴν στάσιν ἀπαγγέλλει τῶν παίδων, καὶ τὴν γενομένην§ ἄφιξιν τοῦ Κρέοντος πρὸς αὐτόν· ὃς καὶ παραγενόμενος ἐπὶ τῷ ἀγαγεῖν αὐτὸν εἰς τοὐπίσω ἄπρακτος ἀπαλλάττεται. ὁ δὲ πρὸς τὸν Θησέα διελθὼν τὸν χρησμὸν οὕτω τὸν βίον καταστρέφει παρὰ ταῖς θεαῖς.

Τὸ δὲ δρᾶμα τῶν θαυμαστῶν· ὃ καὶ ἤδη γεγηρακὼς ὁ Σοφοκλῆς ἐποίησε, χαριζόμενος οὐ μόνον τῇ πατρίδι, ἀλλὰ καὶ τῷ ἑαυτοῦ δήμῳ· ἦν γὰρ Κολωνῆθεν·‖ ὥστε τὸν μὲν δῆμον ἐπίσημον ἀποδεῖξαι, χαρίσασθαι δὲ καὶ τὰ μέγιστα τοῖς Ἀθηναίοις, δι' ὧν ἀπορθήτους ἔσεσθαι, καὶ τῶν ἐχθρῶν αὐτοὺς κρατήσειν ὑποτίθεται ὁ Οἰδίπους προαναφωνῶν καὶ ὅτι διαστασιάσουσι πρὸς Θηβαίους ποτέ, καὶ τούτων κρατήσουσιν ἐκ χρησμῶν διὰ τὸν τάφον αὐτοῦ.

ΣΑΛΟΥΣΤΙΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ.

Τὰ πραχθέντα περὶ τὸν Οἰδίποδα¶ ἴσμεν ἅπαντα τὰ ἐν τῷ ἑτέρῳ ΟΙΔΙΠΟΔΙ. πεπήρωται γὰρ καὶ ἀφῖκται εἰς τὴν Ἀττικήν, ὁδηγούμενος ἐκ μιᾶς τῶν θυγατέρων, Ἀντιγόνης. καὶ ἔστιν ἐν τῷ τεμένει τῶν σεμνῶν [Ἐρινύων**], ὅ ἐστιν ἐν τῷ καλουμένῳ ἱππίῳ†† Κολωνῷ, οὕτω κληθέντι, ἐπεὶ καὶ Ποσειδῶνός ἐστιν ἱερὸν ἱππίου καὶ Προμηθέως, καὶ αὐτοῦ οἱ ὀρεωκόμοι ἵστανται· ἔστι γὰρ αὐτῷ πυθόχρηστον ἐνταῦθα δεῖν αὐτοῦ ταφῆς τυχεῖν· οὗ μή ἐστιν ἑτέρῳ βεβήλῳ τόπος, αὐτόθι κάθηται· καὶ κατὰ μικρὸν αὐτῷ τὰ τῆς ὑποθέσεως προέρχεται. ὁρᾷ γάρ τις αὐτὸν τῶν ἐντεῦθεν, καὶ πορεύεται ἀγγελῶν ὅτι τις ἄρα τῷ χωρίῳ τούτῳ προσκάθηται. καὶ ἔρχονται οἱ ἐν τῷ τόπῳ ἐν χοροῦ σχήματι, μαθησόμενοι τὰ πάντα. πρῶτος οὖν ἐστι

* ὁ addit La.: vulg. om.
† Sic La.: vulgo γηραιός.
‡ Sic La.: τὸ πυθόχρηστον vulg.
§ γενησομένην probabiliter Elmsleius.
‖ Vid. Elmsl. not.
¶ Sic La.: Οἰδίπουν vulgo.
** Ἐρινύων uncinis inclusit Elmsleius.
†† Sic Brunckius: vulgo ἱππείῳ. Et sic infra bis.

καταλύων τὴν ὁδοιπορίαν, καὶ τῇ θυγατρὶ διαλεγόμενος. ἄφατος δέ ἐστι καθόλου ἡ οἰκονομία ἐν τῷ δράματι, ὡς οὐδενὶ ἄλλῳ σχεδόν.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ Ἀττικῇ ἐν τῷ ἱππίῳ, πρὸς τῷ ναῷ τῶν σεμνῶν. ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ἀθηναίων ἀνδρῶν. προλογίζει Οἰδίπους.

ΑΛΛΩΣ.

Τὸν ἐπὶ Κολωνῷ Οἰδίποδα ἐπὶ τετελευτηκότι τῷ πάππῳ Σοφοκλῆς ὁ υἱδοῦς ἐδίδαξεν, υἱὸς ὢν Ἀρίστωνος, ἐπὶ ἄρχοντος Μίκωνος *, ὃς τέταρτος ἀπὸ Καλλίου, ἐφ᾽ οὗ φασιν οἱ πλείους τὸν Σοφοκλέα τελευτῆσαι. σαφὲς δὲ τοῦτ᾽ ἐστὶν ἐξ ὧν ὁ μὲν Ἀριστοφάνης ἐν τοῖς Βατράχοις ἐπὶ Καλλίου ἀνάγει τοὺς στρατηγοὺς ὑπὲρ γῆς, ὁ δὲ Φρύνιχος ἐν Μούσαις, ἃς συγκαθῆκε τοῖς Βατράχοις, φησὶν οὕτως·

μάκαρ Σοφοκλέης, ὃς πολὺν χρόνον βιοὺς
ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός,
πολλὰς ποιήσας καὶ καλὰς τραγῳδίας,
καλῶς ἐτελεύτησ᾽, οὐδὲν ὑπομείνας κακόν.

ἐπὶ δὲ τῷ λεγομένῳ ἱππίῳ Κολωνῷ τὸ δρᾶμα κεῖται. ἔστι γὰρ καὶ ἕτερος Κολωνὸς ἀγοραῖος πρὸς τῷ Εὐρυσακείῳ, πρὸς ᾧ οἱ μισθαρνοῦντες προεστήκεισαν, ὥστε † καὶ τὴν παροιμίαν ἐπὶ τοῖς καθυστερίζουσι τῶν καιρῶν διαδοθῆναι·

ὄψ᾽ ἦλθες, ἀλλ᾽ εἰς τὸν Κολωνὸν ἴεσο.

μνημονεύει τῶν δυεῖν Κολωνῶν Φερεκράτης ἐν Πετάλῃ διὰ τούτων·

οὗτος, πόθεν ἦλθες; Εἰς Κολωνὸν ᾠχόμην,
οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων.

* Ol. xciv. 2.

† ὥστε addidit Thierschius.

ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩΙ.

ΟΙΔΙΠΟΥΣ.

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ᾽, ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν καθ᾽ ἡμέραν
τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασιν,
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ᾽ ἔτι
μεῖον φέροντα, καὶ τόδ᾽ ἐξαρκοῦν ἐμοί;
στέργειν γὰρ αἱ πάθαι με χὼ χρόνος ξυνὼν
μακρὸς διδάσκει καὶ τὸ γενναῖον τρίτον.
ἀλλ᾽ ὦ τέκνον, θάκησιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με κἀξίδρυσον, ὡς πυθώμεθα
ὅπου ποτ᾽ ἐσμέν. μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, χἂν ἀκούσωμεν τελεῖν.

ΑΝΤΙΓΟΝΗ.

πάτερ ταλαίπωρ᾽ Οἰδίπους, πύργοι μέν, οἳ
πόλιν στέγουσιν, ὡς ἀπ᾽ ὀμμάτων, πρόσω·

7. χὠ χρόνος ξυνὼν μακρός. Jungenda: καὶ ὁ χρόνος, ξυνὼν μακρός, non, καὶ ὁ μακρὸς ξυνὼν χρόνος.

9. θάκησιν optima est Seidleri conjectura. Libri θάκοισιν. ἐνθάκησις dicitur Phil. 18.

11. πυθώμεθα Brunckius. πυθοίμεθα vulgo.

13. χἄν. Ita B. T. V. ἃν La. cum melioribus, omissa copula. ἃν δ᾽ Elmsleius.

15. στέγουσιν. *contra hostiles impetus defendunt.* Paullo insolentior hæc hujus vocis significatio: cf. Blomf. Gloss. ad Sept. c. Th. 202. Non male fortasse στέφουσιν, h. e. *cingunt*, Wakefieldius. Mox ὡς ἀπ᾽ ὀμμάτων est, *quantum ab aspectu conjici potest.*

χῶρος δ' ὅδ' ἱερός, ὡς σάφ' εἰκάσαι, βρύων
δάφνης, ἐλάας, ἀμπέλου· πυκνόπτεροι δ'
εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου.
μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν.
ΟΙ. κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.
ΑΝ. χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
ΟΙ. ἔχεις διδάξαι δή μ' ὅποι καθέσταμεν;
ΑΝ. τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ.
ΟΙ. πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμῖν ἐμπόρων.
ΑΝ. ἀλλ' ὅστις ὁ τόπος ἦ μάθω μολοῦσά ποι;
ΟΙ. ναί, τέκνον, εἴπερ ἐστί γ' ἐξοικήσιμος.
ΑΝ. ἀλλ' ἐστὶ μὴν οἰκητός· οἴομαι δὲ δεῖν
οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.
ΟΙ. ἦ δεῦρο προσστείχοντα κἀξορμώμενον;
ΑΝ. καὶ δὴ μὲν οὖν παρόντα· χὤ τι σοι λέγειν
εὔκαιρόν ἐστιν, ἔννεφ', ὡς ἁνὴρ ὅδε.
ΟΙ. ὦ ξεῖν', ἀκούων τῆσδε τῆς ὑπέρ τ' ἐμοῦ
αὑτῆς θ' ὁρώσης, οὕνεχ' ἡμὶν αἴσιος
σκοπὸς προσήκεις τῶν ἀδηλοῦμεν φράσαι—

ΞΕΝΟΣ.

πρὶν νῦν τὰ πλείον' ἱστορεῖν, ἐκ τῆσδ' ἕδρας
ἔξελθ', ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.

16. *ἱρὸς* La. Lb. quod et diserte agnoscit Suidas s. v. Verum si *ἱρὸς* hic legendum, quidni formam eandem aliis omnibus in locis ubi hæc vox occurrit restituamus? Et hoc quidem fecit Dindorfius: sed toties librorum scripturam non ausim mutare.

17. *ἐλάας*. Vulgo *ἐλαίας*. Cf. Thom. Mag. p. 292. Piers. ad Mœr. 231. et vid. ad Œd. T. 401. Mox *πυκνόπτεροι* nihil aliud est quam *πυκναὶ* *frequentes*: quod monuit Hermannus.

23. *ὅποι καθέσταμεν*. Latet in verbo *καθέσταμεν* motus significatio. Sic in Eurip. Bacch. 180. *ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα;* Brunck. *ὅποι* habent La. Lb. *ὅπου* Vatic.

30. *προσστείχοντα*. Vid. ad Œd. T. 79. et cf. infra v. 320.

32. *ἁνὴρ*] *ἀνὴρ* edd. ante Brunckium.

35. *τῶν ἀδηλοῦμεν φράσαι*. *ut ea de quibus incerti sumus nobis dicas.* Hanc lectionem ex Turnebi margine restituit Stephanus: legebatur *ἃ δηλοῦμεν*. *ὧν* corrigit Elmsleius: sed vulgatam tuetur Hermannus.

ΟΙ. τίς δ' ἔσθ' ὁ χῶρος; τοῦ θεῶν νομίζεται;
ΞΕ. ἄθικτος οὐδ' οἰκητός. αἱ γὰρ ἔμφοβοι
θεαί σφ' ἔχουσι, Γῆς τε καὶ Σκότου κόραι.
ΟΙ. τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων;
ΞΕ. τὰς πάνθ' ὁρώσας Εὐμενίδας ὅ γ' ἐνθάδ' ἂν
εἴποι λεώς νιν· ἄλλα δ' ἀλλαχοῦ καλά.
ΟΙ. ἀλλ' ἵλεῳ μὲν τὸν ἱκέτην δεξαίατο·
ὥστ' οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.
ΞΕ. τί δ' ἐστὶ τοῦτο; ΟΙ. ξυμφορᾶς ξύνθημ' ἐμῆς.
ΞΕ. ἀλλ' οὐδ' ἐμοί τοι τοὐξανιστάναι πόλεως
δίχ' ἐστὶ θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ.
ΟΙ. πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ' ἀτιμάσῃς,
τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι.
ΞΕ. σήμαινε, κοὐκ ἄτιμος ἔκ γ' ἐμοῦ φανεῖ.
ΟΙ. τίς ἔσθ' ὁ χῶρος δῆτ' ἐν ᾧ βεβήκαμεν;
ΞΕ. ὅσ' οἶδα κἀγὼ πάντ' ἐπιστήσει κλύων.
χῶρος μὲν ἱερὸς πᾶς ὅδ' ἔστ'· ἔχει δέ νιν
σεμνὸς Ποσειδῶν· ἐν δ' ὁ πυρφόρος θεὸς

41. Interrogationis notam olim post *τίνων* positam post *κλύων* retraxit Brunckius. Sensum explicat Hermannus: *quodnam earum sanctum nomen audiam, invocemque illo?*

42. *ἂν* Vauvillersius. Libri *ὧν*.

43. *ἄλλα δ' ἀλλαχοῦ καλά*. *alii aliis nominibus eas appellare solent.*

44. *τὸν ἱκέτην* ed. Lond. 1747. Vulgo *τόνδ'*.

45. *ὡς* male Elmsl. Hermannus: *at propitiæ supplicem excipiant: itaque tutela earum fretus, quamvis tu me abire hinc jubeas, tamen manebo.* Idem: consulto non *ἕδρας τῆσδε*, sed *ἕδρας γῆς τῆσδε* dictum videtur, quia non simpliciter sedem qua sedet, sed sedem qua hoc in sacro loco sedet, intelligi vult.

46. *τί δ' ἐστὶ τοῦτο; quid tandem est cur surgere nolis?* cui respondet Œdipus: *ξυμφορᾶς ξύνθημ' ἐμῆς*, h. e. *hoc tanquam signum fati mihi constituti accipias.* Ibi enim fatale erat ut vitam ille finiret.

47. *ἀλλ' οὐδ' ἐμοί τοι*. Ita Seidlerus: *ἀλλ' οὐδ' ἐμόν τοι* La. Lb. Vulgo *ἀλλ' οὐδὲ μέντοι*.

48. *πρίν γ' ἂν ἐνδείξω τί δρῶ*. *priusquam re ad populares delata quid facto opus sit intelligam.* Quid sit *ἐνδεικνύναι* et *ἔνδειξις* norunt omnes.

49. *ἀτιμάσῃς* genitivum regit: similiter Œd. T. 788. *ὁ Φοῖβος ὧν μὲν ἱκόμην ἄτιμον ἐξέπεμψεν.*

50. *τοιόνδε* dicit, quod et senex, et cæcus et egenus est. Hermann. *προστρέπω παρὰ Σοφοκλεῖ, ἀντὶ τοῦ ἱκετεύω.* Suidas.

52. *δ'* post *τίς* recte omissum videtur in V.: defendit tamen Hermannus.

55. *ἐν δ'*. Vid. ad Œd. T. v. 27.

Τιτὰν Προμηθεύς· ὃν δ' ἐπιστείβεις τόπον,
χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδός,
ἔρεισμ' Ἀθηνῶν· οἱ δὲ πλησίοι γύαι
τόνδ' ἱππότην Κολωνὸν εὔχονται σφίσιν
ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα
τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
τοιαῦτά σοι ταῦτ' ἐστίν, ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.
ΟΙ. ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
ΞΕ. καὶ κάρτα, τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.
ΟΙ. ἄρχει τις αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος;
ΞΕ. ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.
ΟΙ. οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
ΞΕ. Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.
ΟΙ. ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
ΞΕ. ὡς πρὸς τί; λέξων ἢ καταρτύσων μολεῖν;
ΟΙ. ὡς ἂν προσαρκῶν σμικρὰ κερδάνῃ μέγα.
ΞΕ. καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
ΟΙ. ὅσ' ἂν λέγωμεν πάνθ' ὁρῶντα λέξομεν.
ΞΕ. οἶσθ', ὦ ξέν', ὡς νῦν μὴ σφαλῇς; ἐπείπερ εἶ
γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος·

57. ὀδὸς Brunckius. Libri ὁδός. Schol. Χαλκόπους ὀδός. ὡς οὕτω τινὸς καλουμένου τόπου ἐν τῷ ἱερῷ, χαλκόποδος ὀδοῦ. Φησὶ δὲ Ἀπολλόδωρος δι' αὐτοῦ κατάβασιν εἶναι εἰς Ἅιδου. Καὶ Ἴστρος δὲ μνημονεύει τοῦ χαλκοῦ ὀδοῦ, καὶ Ἀστυδάμας. Καί τις τῶν χρησμοποιῶν φησί· Βοιωτοὶ δ' ἵπποιο ποτιστείχουσι Κολωνόν, ἔνθα λίθος τρικάρανος ἔχει καὶ χάλκεος οὐδός. οὕτω δὲ ἐκαλεῖτο, διὰ τὸ εἶναι μέταλλα χαλκοῦ ἐν τῷ Κολωνῷ.

58. οἱ δὲ πλησίοι γύαι. Cf. Elmsl. ad Heracl. 839. αἱ δὲ πλησίον γύαι nonnulli libri, forma minus Attica.

59. τόνδ' bene tuetur Hermannus, locum monstrari docens, quem tenere vel tenuisse olim Colonus iste credatur. Statuam ipsius herois monstrari minus probabiliter putant Doederlinus et Reisigius.

62. τῇ ξυνουσίᾳ πλέον. Videtur hæc eo fine scripsisse Sophocles, ut obscuritatem istius herois apud alios illo honore compensaret, quo sui eum populares colerent. HERMANN.

66. ἢ 'πὶ τῷ πλήθει λόγος; *an penes populum potestas est?* HERMANN.

71. Ante λέξων distinxi. Sensus videtur: *quemnam in finem? ut hæc illi narret, an effecturus ut veniat et ipse coram audiat?*

72. σμικρὰ Elmsl. Vulgo μικρά.

αὐτοῦ μέν', οὗπερ κἀφάνης, ἕως ἐγὼ
τοῖσδ' ἐνθάδ' αὐτοῦ, μὴ κατ' ἄστυ, δημόταις
λέξω τάδ' ἐλθών. οἵδε γὰρ κρινοῦσί γε
ἢ χρή σε μίμνειν, ἢ πορεύεσθαι πάλιν.
ΟΙ. ὦ τέκνον, ἦ βέβηκεν ἡμὶν ὁ ξένος;
ΑΝ. βέβηκεν, ὥστε πᾶν ἐν ἡσύχῳ, πάτερ,
ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
ΟΙ. ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγώ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες,
ὅς μοι, τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακά,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ,
ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν
σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον,
κέρδη μὲν οἰκήσαντα τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ' ἀπήλασαν·
σημεῖα δ' ἥξειν τῶνδέ μοι παρηγγύα,
ἢ σεισμόν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας.

78. τοῖσδ'. Sophocles, ut declararetur qui essent οἵδε δημόται, adjecit ἐνθάδ' αὐτοῦ, μὴ κατ' ἄστυ. HERMANN. τοῖς pro τοῖσδ' correxit Brunckius.

79. οἵδε γὰρ κρινοῦσί γε. *Nam ad hos hujus quidem rei judicium pertinebit.* Nolui κρινοῦσί σοι quod in La. et codice uno Parisino, altero tamen in utroque suprascripto, legitur, cum Dindorfio admittere.

80. ἢ χρή. εἰ χρῆ Brunckius, Hermannus, cum edd. Turn. Steph. quæ itidem εἰ νικῶμεν in Æsch. Choeph. 890. exhibent. Vide super hac quæstione Elmsl. ad Med. 480. et Hermannum contra in annotationibus ad locum disputantem: cujus tamen rationes non adeo mihi satisfaciunt, ut a veterum librorum scriptura discedendum putem.

92. οἰκήσαντα. Ita Ald. et codd. plerique omnes; quæ lectio unice mihi vera videtur: nec οἰκήσοντα ex cod. Paris. cum Dindorfio, nec οἰκίσαντα ex Doederlini conjectura cum Hermanno et Elmsleio admittendum. Frequens aoristi usus: Angl. *having taken up my abode.* Thucyd. vi. 2. παλαιότατοι μὲν λέγονται ἐν μέρει τινὶ τῆς χώρας Κύκλωπες καὶ Λαιστρύγονες οἰκῆσαι, et paullo post; τὰ κράτιστα τῆς γῆς ᾤκησαν. Major aliquanto in verbo κέρδη difficultas; quod si genuinum est, necessario cum ἄτην de Œdipo intelligendum. Numerus singularis facilior videretur: sed pluralis ad *multas* quas ex sua præsentia orituras innuit Œdipus, utilitates referendum erit. Cf. v. 578. τὰ δὲ κέρδη παρ' αὐτοῦ κρείσσον' ἢ μορφὴ καλή.

ἔγνωκα μέν νυν ὥς με τήνδε τὴν ὁδὸν
οὐκ ἔσθ᾽ ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ᾽ εἰς τόδ᾽ ἄλσος. οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ᾽ ὁδοιπορῶν,
νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
βάθρον τόδ᾽ ἀσκέπαρνον· ἀλλά μοι, θεαί,
βίου κατ᾽ ὀμφὰς τὰς Ἀπόλλωνος δότε
πέρασιν ἤδη καὶ καταστροφήν τινα,
εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.
ἴτ᾽, ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
ἴτ᾽, ὦ μεγίστης Παλλάδος καλούμεναι
πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
οἰκτείρατ᾽ ἀνδρὸς Οἰδίπου τόδ᾽ ἄθλιον
εἴδωλον· οὐ γὰρ δὴ τόδ᾽ ἀρχαῖον δέμας.

ΑΝ. σίγα. πορεύονται γὰρ οἵδε δή τινες
χρόνῳ παλαιοί, σῆς ἕδρας ἐπίσκοποι.

ΟΙ. σιγήσομαί τε καὶ σύ μ᾽ ἐξ ὁδοῦ πόδα
κρύψον κατ᾽ ἄλσος, τῶνδ᾽ ἕως ἂν ἐκμάθω
τίνας λόγους ἐροῦσιν. ἐν γὰρ τῷ μαθεῖν
ενεστιν ηὑλάβεια τῶν ποιουμένων.

ΧΟΡΟΣ.

ὅρα. *στροφὴ α΄.*
τίς ἄρ᾽ ἦν; ποῦ ναίει;
ποῦ κυρεῖ ἐκτόπιος συθεὶς ὁ πάντων

96. *μέν νυν* Tricl. *μὲν νῦν* vulgo.

97. *πτερὸν* pro *omine* accipiendum esse monet Hermannus.

110. *τό γ᾽ ἀρχαῖον* Ald. nec male fortasse.

112. *χρόνῳ παλαιοί.* *grandævi senes.*

113. *μ᾽ ἐξ ὁδοῦ πόδα κρύψον.* Apte comparant *ποῖ μ᾽ ὑπεξάγεις πόδα* in Eurip. Hec. 800. ubi vid. Pors. Audacius tamen hoc Sophoclis est, quia magis recondita est *ducendi* notio in verbo *κρύψον*. Explicatius dicas, *κρύψον με κατ᾽ ἄλσος, ἄγουσα πόδα ἐμον ἐξ ὁδοῦ.* Hermann.

118. *ποῦ ναίει*] *ναίειν* sæpe sic usurpatur a poetis, ut *versari* significet. Infra v. 137. Trach. 99. Eodem modo *οἰκεῖν* usurpatur. Vide hujus fabulæ 1336. et cf. Seidler. ad Eur. Electr. 302. Wunder.

ὁ πάντων ἀκορέστατος;
(?) λεῦσσ᾽ αὐτόν, προσδέρκου,
προσπεύθου πανταχῇ.
πλανάτας πλανάτας τις ὁ πρέσβυς, οὐδ᾽
ἔγχωρος· προσέβα γὰρ οὐκ
ἄν ποτ᾽ ἀστιβὲς ἄλσος ἐς
τᾶνδ᾽ ἀμαιμακετᾶν κορᾶν,
ἃς τρέμομεν λέγειν,
καὶ παραμειβόμεσθ᾽ ἀδέρκτως,
ἀφώνως, ἀλόγως τὸ τᾶς
εὐφήμου στόμα φροντίδος
ἱέντες, τὰ δὲ νῦν τιν᾽ ἥκειν
λόγος οὐδὲν ἅζονθ᾽,
ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω
δύναμαι τέμενος
γνῶναι ποῦ μοί ποτε ναίει.

ΟΙ. ὅδ᾽ ἐκεῖνος ἐγώ· φωνῇ γὰρ ὁρῶ,
τὸ φατιζόμενον.

ΧΟ. ἰὼ ἰώ,
δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.

121. *λεῦσσ᾽ αὐτόν.* Ita olim Hermannus. *λεύσατ᾽ αὐτὸν* La. Lb. F. *λεύσσετ᾽ αὐτὸν* B. T. V. *λεύσσατ᾽ αὐτὸν* A. R. Ald. Codices omnes magno consensu *αὐτὸν* habent, quod tamen hodie expulit Hermannus, *προσπεύθου, λεῦσσέ νιν, προσδέρκου πανταχῇ* scribens. Certe versus melius ita cum antistrophico congruit, *ἀλλ᾽ οὐ μὰν ἔν γ᾽ ἐμοί*, ubi *ἡμῖν* pro *ἐμοὶ* cum Triclinio imperite intulit Brunckius: quod autem in pronomine *αὐτὸν* offendit Hermannus, collatis quæ Bentleius ad Hor. Carm. III. xi. 18. de usu vocis *ejus* apud Latinos dixit, hoc parum apte observatum esse jam monuit Ellendtius. Mox *προσδέρκου, προσπεύθου* La. Lb. R. B. T. V., *προσφθέγγου* pro *προσπεύθου* A. Ald.

125. *ἐγχώριος* vulgo. Correxit Bothius.

126. *ἄλσος ἐς.* Vid. ad Œd. T. 177.

127. *ἀμαιμακετᾶν* Hermannus. Vulgo *ἀμαιμακέταν*.

131. *εὐφήμου στόμα φροντίδος.* Preces dicit quæ ore sed suppressa voce emittuntur. Dindorf.

132. Rectissime Hermannus *τὸ φατιζόμενον* dici vidit, quia *φωνῇ γὰρ ὁρῶ* tanquam proverbialem locutionem usurpaverat Œdipus. Quare recte commate post *ὁρῶ* interpunxit Bothius, *τὸ φατιζόμενον* est *quod dici solet.* Cf. Matth. Gr. Gr. 432. 5. *φωνῇ ὁρᾶν* se ait Œdipus, quia voce solum audita, nec oculorum aspectu, Chorum adesse sentit.

ΟΙ. μή μ', ἱκετεύω, προσίδητ' ἄνομον.
ΧΟ. Ζεῦ ἀλεξῆτορ, τίς ποθ' ὁ πρέσβυς;
ΟΙ. οὐ πάνυ μοίρας εὐδαιμονίσαι
πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας.
δηλῶ δ'· οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις
ὄμμασιν εἷρπον,
κἀπὶ σμικροῖς μέγας ὥρμουν.

ἀντιστροφὴ α'.

ΧΟ. ἒ ἔ.
ἀλαῶν ὀμμάτων
ἆρα καὶ ἦσθα φυτάλμιος; δυσαίων
(?) μακραίων τ' ἔθ', ὅσ' εἰκάσαι.
ἀλλ' οὐ μὰν ἔν γ' ἐμοὶ
προσθήσεις τάσδ' ἀράς.
περᾷς γάρ, περᾷς· ἀλλ' ἵνα τῷδ' ἐν ἀ-
φθέγκτῳ μὴ προπέσῃς νάπει
ποιάεντι, κάθυδρος οὗ

142. *προσίδητ' ἄνομον.* Schol. *λείπει τὸ ὡς· ὡς ἄνομον.* Doederlinus confert Thucyd. ii. 72. *δέχεσθε δὲ ἀμφοτέρους φίλους.*

144. *μοίρας εὐδαιμονίσαι πρώτης.* Schol. *πρώτης εἰς τὸ εὐδαιμονίσαι*, h. e. *quæ primum felicitatis gradum obtinet.*

148. *κἀπὶ σμικροῖς μέγας ὥρμουν.* *et exigui muneris caussa, qui magnus atque insignis vir sum, hoc in portu constitissem.* Hermann. *ἐπὶ σμικροῖς* Schol. explicat *ἐπ' εὐτέλεσιν αἰτήμασι*, cf. v. 5. *ὁρμεῖν* autem se dicit utpote qui ad erroris terminum pervenisset, cf. v. 89. Fateor tamen mihi non displicere Reisigii conjecturam *κἀπὶ σμικρᾶς*, sc. *ἀγκύρας*, ellipsi Græcis usitata. Cf. L. Bos. s. v. *ἄγκυρα.* Hoc firmare conatur ille coll. infra v. 746. *κἀπὶ προσπόλου μιᾶς βιοστερῆ χωροῦντα.*

149. *ἀλαῶν ὀμμάτων* cum *ἒ ἔ* conjungit Coraius, apud Larch. Herod. t. iii. p. 443. Hoc si recte factum, *φυτάλμιος* cum *δυσαίων* hoc sensu construendum erit, *inde ab origine infelix, infelix natus.* Omnino locus est ex impeditissimis. Rectius puto Hermannum *ἀλαῶν ὀμμάτων φυτάλμιος* conjunxisse, h. e. *ἆρα ἔφυσας ἀλαὰ ὄμματα; num cæcus fuisti natus: num cæcos oculos nascens habuisti?*

150. *δυσαίων μακραίων τ' ἔθ' ὅσ' εἰκάσαι.* *infelix immo longum infelix.* Libri *μακραίων τέ θ'*, vel *τε θ'*. *τ' ἔθ'* T. et mox *ὡς ἐπεικάσαι.* *ὅσ'* pro *ὡς* conjecit Bothius. *ὡς* abesse voluit Canterus, sed *θ'* verbum sequens aspero notatum spiritu indicat. *ὡς εἰκάσαι* conj. Heathius. Dedi quod optimum mihi in re dubia visum est.

154. *προσθήσεις.* sc. malis quibus nunc teneris. '*τάσδ' ἀράς.* quas tibi contrahes, ubi nemus intraveris.' Dindorf.

157. *προσπέσῃς* vulgo. Correxit Hermannus. Recte Scholiasta monuit *ἵνα κ. τ. λ.* ad *μετάσταθι* in v. 162. esse referendum.

κρατὴρ μειλιχίων ποτῶν
ῥεύματι συντρέχει,
τῷ, ξένε πάμμορ', εὖ φύλαξαι,
μετάσταθ', ἀπόβαθι. πολ-
λὰ κέλευθος ἐρατύει·
κλύεις, ὦ πολύμοχθ' ἀλᾶτα;
λόγον εἴ τιν' οἴσεις
πρὸς ἐμὰν λέσχαν, ἀβάτων ἀποβάς,
ἵνα πᾶσι νόμος,
φώνει· πρόσθεν δ' ἀπερύκου.
ΟΙ. θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;
ΑΝ. ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν,
εἴκοντας ἃ δεῖ κἀκούοντας.
ΟΙ. πρόσθιγέ νύν μου. ΑΝ. ψαύω καὶ δή.
ΟΙ. ὦ ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ
σοὶ πιστεύσας [καὶ] μεταναστάς.

στροφὴ β'.

ΧΟ. οὔ τοι μήποτέ σ' ἐκ τῶνδ' ἑδράνων,
ὦ γέρον, ἄκοντά τις ἄξει.
ΟΙ. ἔτ' οὖν; ΧΟ. ἐπίβαινε πόρσω.

160. Verte ad mentem Scholiastæ, *ubi crater aqua plenus simul dulcis potus fluento* (h. e. *melle*) *miscetur.* Heathius.

161. *τῷ* Brunckius, qui *quocirca* vertit. Debebat, *idcirco.* Vulgo *τῶν.* Hæc parenthetice sumenda sunt.

162. *πολλὰ κέλευθος ἐρατύει.* Recte Scholiasta monet, tam longe a choro abesse Œdipum, ut vereantur senes, ne ab illo non exaudiantur.

166. *οἴσεις* v. l. in La. Olim *ἔχεις.* Verte: *si quid nobiscum communicare velis.*

168. *ἀποβὰς ἵνα.* i. e. *ἐκεῖσε ἵνα.* Vid. ad Eur. Bacch. 1380. Elmsl.

172. *κοὐκ ἀκούοντας* libri veteres. *κἀκούοντας* Musgravius: h. e. *dicto obedientes.* *κοὐκ ἄκοντας* B. T. V. Farn.

174. *μὴ δῆτ' ἀδικηθῶ.* Elmsleius hujus usus attulit exempla Hom. Il. A. 26. *μή σε, γέρον, κοίλῃσιν ἐγὼ παρὰ νηυσὶ κιχείω.* Trach. 802. *μηδ' αὐτοῦ θάνω.* Eurip. Herc. F. 1399. *ἀλλ' αἷμα μὴ σοῖς ἐξομόρξωμαι πέπλοις.* Usus autem hujus ea est ratio, ut *prima conjunctivi persona sic usurpetur, ut admonitio ad secundam spectet.* Verba sunt Hermanni apud Schaef. ad Greg. p. 867.

175. *καὶ* recte fortasse delevit Hermannus, ut versus sit parœmiacus. Sensus tum erit, *ὅτι σοι ἐπίστευσα μεταναστάς.*

179. *ἔτι προβῶ*, quod olim post *ἔτ' οὖν* legebatur, delendum vidit Bothius. Mox idem *πόρσω* pro

ΟΙ. ἔτι; ΧΟ. προβίβαζε, κούρα,
πόρσω· σὺ γὰρ ἀΐεις.
ΑΝ. ἕπεο μάν, ἕπε' ὧδ' ἀμαυρῷ
κώλῳ, πάτερ, ᾇ σ' ἄγω.
ΟΙ. * * * *
ΑΝ. * * * * * * * * *
* * * * * * * *
ΟΙ. * * * * * * *
ΧΟ. τόλμα ξεῖνος ἐπὶ ξένης,
ὦ τλάμων, ὅ τι καὶ πόλις
τέτροφεν ἄφιλον ἀποστυγεῖν,
καὶ τὸ φίλον σέβεσθαι.
ΟΙ. ἄγε νυν σύ με, παῖ,
ἵν' ἂν εὐσεβίας ἐπιβαίνοντες
τὸ μὲν εἴποιμεν, τὸ δ' ἀκούσαιμεν,
καὶ μὴ χρείᾳ πολεμῶμεν.
ΧΟ. αὐτοῦ· μηκέτι τοῦδ' ἀντιπέτρου ἀντιστρ. β'.
βήματος ἔξω πόδα κλίνῃς.
ΟΙ. οὕτως; ΧΟ. ἅλις, ὡς ἀκούεις.
ΟΙ. ἦ στῶ; ΧΟ. λέχριός γ' ἐπ' ἄκρου
λάου βραχὺς ὀκλάσας.
ΑΝ. πάτερ, ἐμὸν τόδ'· ἐν ἀσυχαίᾳ

πρόσω correxit: quod et in v. 181. restituit Dindorfius.

183. Post h. v. quatuor versus excidisse, qui responderint versibus 199—202. monet Hermannus.

184. Choro assignavit hæc Hermannus. Vulgo Antigonæ continuantur. *ξένης* Bothius. *ξείνης* vulgo. Idem *τλάμων* v. seq. pro *τλᾶμον* correxit.

188. *ἄγε νυν.* Cohærent hæc cum verbis *καὶ μὴ χρείᾳ πολεμῶμεν* v. 191. *ἵνα* sicubi cum *ἂν* conjungitur, nunquam *ut* sed *ubi* significare, Doederlini est observatio. Male ergo *εἴπωμεν* et *ἀκούσωμεν* cum A. B. Ald. revocavit Brunckius. Optativi sunt in La. Lb. T. altero tamen suprascripto in La. T.

παῖς Porsonus.

189. *εὐσεβίας ἐπιβαίνοντες.* *pietate illæsa.* Phil. 1463. qu. v. *δόξης οὔποτε τῆσδ' ἐπιβάντες.*

195. *ἦ στῶ* v. l. in La. suprascr. in T. *ἦ 'σθῶ*, h. e. *ἐσθῶ* vulgo, forma a veteribus non usitata.

196. *βραχὺς ὀκλάσας.* *flexis genibus*, ut cui in sede humili sedendum esset.

197. *ἀσυχαίᾳ* Hermannus. *ἡσυχίᾳ* vulgo. Mox legebatur *ἁρμόσαι*, sed recte, ut videtur, Elmsleius *ἅρμοσαι* correxit. Ordo est *ἐνάρμοσαι βάσιν ἀσυχαίᾳ βάσει.*

βάσει βάσιν ἅρμοσαι,
ΟΙ. ἰώ μοί μοι.
ΑΝ. γεραὸν ἐς χέρα σῶμα σὸν
προκλίνας φιλίαν ἐμάν.
ΟΙ. ὤμοι δύσφρονος ἄτας.
ΧΟ. ὦ τλάμων, ὅτε νῦν χαλᾷς,
αὔδασον, τίς ἔφυς βροτῶν;
τίς ὁ πολύπονος ἄγει; τίν' ἂν
σοῦ πατρίδ' ἐκπυθοίμαν;
ΟΙ. ὦ ξένοι,
ἀπόπτολις· ἀλλὰ μὴ
ΧΟ. τί τόδ' ἀπεννέπεις, γέρον;
ΟΙ. μὴ μὴ μή μ' ἀνέρῃ τίς εἰμι,
μηδ' ἐξετάσῃς πέρα ματεύων.
ΧΟ. τί τόδ'; ΟΙ. αἰνὰ φύσις. ΧΟ. αὔδα.
ΟΙ. τέκνον, ὤμοι, τί γεγώνω;
ΧΟ. τίνος εἶ σπέρματος, ὦ ξένε, φώνει, πατρόθεν;
ΟΙ. ὤμοι ἐγώ, τί πάθω, τέκνον ἐμόν;

199. *ἰώ μοί μοι.* Has interjectiones, vulgo post v. 197. insertas, huc transtulit et Œdipo assignavit Hermannus.

200. *γεραὸν* Dindorfius. *γεραιὸν* vulgo. Recte scriptum infra v. 238.

203. *χαλᾷς.* *obtemperas.*

205. *τίς ὁ.* Sic v. l. in La.: vulgo *ὤν.* Mox *ἂν* Vauvillersio debetur. Vulgo *τίνα.*

207—254. Qui sequuntur versus non una metrica a parte difficultate laborant, et correctoris manum adhuc desiderant. Verisimile quidem est vv. 207—211. antistrophicam responsionem habere vv. 236. 240. quod cum ex ipsorum verborum, tum ex metri, quamvis non ad amussim exæquati, similitudine colligere licet. Post v. 215. sequuntur octo versus invicem sibi respondentes, sed illos in strophas et antistrophas distribuere vix tanti est. De metro vid. infra. De omni hac carminis hujus parte subtiliter, ut solet, disputavit Hermannus; quem vide in nota ad hunc locum.

211. *τί τόδ'; αἰνὰ φύσις.* Vulgo *τί τόδε; δεινὰ φύσις.* Correxit Wunderus. Schol. *ἡ ἐμὴ γέννα δεινή ἐστι καὶ ἀθλία.*

215. *ὦ ξένε*] *ξεῖνε* vulgo. *ὦ* addidit Heathius: *ξένε* cum T. Hermannus, qui tamen non sine caussa versuum horum scripturam valde incertam esse fatetur.

φώνει πατρόθεν. Wunderus comparat Iliad. K. 68. *πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον.*

216. *ὤ μοι ἐγώ, τί πάθω, τέκνον ἐμόν.* De hujus versus et 218. 220. 222. metro vide Dindorfium in Annotationibus ad h. l. exponentem. Est autem ex trimetro dactylico catalectico in syllabam et paeone quarto compositum: quale ex Boe-

ΑΝ. λέγ', ἐπείπερ ἐπ' ἔσχατα βαίνεις.
ΟΙ. ἀλλ' ἐρῶ· οὐ γὰρ ἔχω κατακρυφάν.
ΧΟ. μακρὰ μέλλετον, ἀλλὰ τάχυνε.
ΟΙ. Λαΐου ἴστε τιν' [ἀπόγονον]; ΧΟ. ὤ, ἰοὺ ἰού.
ΟΙ. τό τε Λαβδακιδᾶν γένος; ΧΟ. ὦ Ζεῦ.
ΟΙ. ἄθλιον Οἰδιπόδαν; ΧΟ. σὺ γὰρ ὅδ' εἶ;
ΟΙ. δέος ἴσχετε μηδὲν ὅσ' αὐδῶ.
ΧΟ. ἰώ, ὢ ὤ. ΟΙ. δύσμορος. ΧΟ. ὢ ὤ.
ΟΙ. θύγατερ, τί ποτ' αὐτίκα κύρσει;
ΧΟ. ἔξω πόρσω βαίνετε χώρας.
ΟΙ. ἃ δ' ὑπέσχεο ποῖ καταθήσεις;
ΧΟ. οὐδενὶ μοιριδία τίσις ἔρχεται
ὧν προπάθῃ τὸ τίνειν. ἀπάτα δ' ἀπά-
ταις ἑτέραις ἑτέρα παραβαλλομέ-

thii carminibus exemplum idem attulit.

217. *Dic quoniam in extremis versaris.* Quum enim jam illud ei exciderit, infandam esse originem suam, eo est adductus, ut detrectare confessionem sceleris nequeat. HERMANN.

219. μέλλετον Hermannus. Vulgo μέλλετ'. Mox τάχυνε Elmsleius. Vulgo ταχύνατε.

220. Λαΐου ἴστε τιν'. Post hæc ἀπόγονον legebatur, quod delendum vidit Reisigius. Aliquid corrigendum esse suspicatur Dindorfius, ne Œdipi verba ante dactyli syllabam catalecticam finiantur. Conjecit ille Λαΐου ἴστε τιν' ἔξ; ὢ ὢ ὢ ὤ.

227. ποῖ καταθήσεις; *quomodo exsolves.* Dicitur ut καταθεῖναι ἀργύριον. MUSGR.

228. Sensus est: *nemini fato constitutum est ut si quis injuriam prius acceptam rependerit, pœnas idcirco persolvat.* Constructio: τίσις ὧν προπάθῃ, τὸ τίνειν αὐτά, ἔρχεται οὐδενὶ μοιριδία. τίσις ὧν προπάθῃ *pœnæ sunt ob injuriarum ultionem* persolvendæ: quales ut persolvant, nemini fatale esse dicit. Hujus explicandi caussa τὸ τίνειν adjectum est, h. e. εἴ τις τίσει αὐτά: ne ambiguum esset quo sensu priora, sc. ὧν προπάθῃ, intelligi voluerit. τίνειν autem non minus bene quam τίνεσθαι convenire monuit Hermannus, est enim *persolvere alicui, quod nobis ille male fecerit.*

229. Systema dactylicum ex tetrametris sex et dimetro uno compositum cum clausula iambica. Tetrametri autem illi ita decurrunt ut usitata post quartum dactylum pausa ter sit neglecta v. 230—232. quo numeri vehementia augetur. Idem in dochmiis interdum sibi permisisse poetas ostendimus ad Æschyli Sept. c. T. 203. 204. DINDORF. Simili modo clauditur systema quod sequitur v. 241.

230. ἀπάτα—ἔχειν. Fraus alia, inquit, pro fraudibus repensa laborem, non gratiam habere dat. Magis perspicue sic dicas: qui deceptus ab alio hunc vicissim decipit, non ei sane quod gratum sed quod ingratum sit, reddit. HERMANN.

να πόνον, οὐ χάριν, ἀντιδίδωσιν ἔ-
χειν. σὺ δὲ τῶνδ' ἑδράνων πάλιν ἔκτοπος
αὖθις ἄφορμος ἐμᾶς χθονὸς ἔκθορε,
μή τι πέρα χρέος
ἐμᾷ πόλει προσάψῃς.
ΑΝ. ὦ ξένοι
αἰδόφρονες, ἀλλ' ἐπεὶ
γεραὸν πατέρα τόνδ' ἐμὸν
οὐκ ἀνέτλατ' ἔργων
ἀκόντων ἀΐοντες αὐδάν,
ἀλλ' ἐμὲ τὰν μελέαν, ἱκετεύομεν,
ὦ ξένοι, οἰκτείραθ', ἃ
πατρὸς ὑπὲρ τοὐμοῦ μόνου ἄντομαι,
ἄντομαι οὐκ ἀλαοῖς προσορωμένα
ὄμμα σὸν ὄμμασιν, ὥς τις ἀφ' αἵματος
ὑμετέρου προφανεῖσα, τὸν ἄθλιον
αἰδοῦς κῦρσαι. ἐν ὑμῖν ὡς θεῷ
κείμεθα τλάμονες. ἀλλ' ἴτε, νεύσατε
τὰν ἀδόκητον χάριν,
πρὸς σ' ὅ τι σοι φίλον ἐκ σέθεν ἄντομαι,
ἢ τέκνον, ἢ λέχος, ἢ χρέος, ἢ θεός.
οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν * * *
ὅστις ἄν, εἰ θεὸς
ἄγοι, φυγεῖν δύναιτο.
ΧΟ. ἀλλ' ἴσθι, τέκνον Οἰδίπου, σέ τ' ἐξ ἴσου
οἰκτείρομεν καὶ τόνδε συμφορᾶς χάριν·
τὰ δ' ἐκ θεῶν τρέμοντες οὐ σθένοιμεν ἂν
φωνεῖν πέρα τῶν πρὸς σὲ νῦν εἰρημένων.

238. γεραὸν ἀλαὸν Hermannus. In La. ἀλαὸν suprascr.

243. τοὐμοῦ μόνου Hermannus. τοῦ μόνου libri veteres.

247. κῦρσαι idem. Vulgo κύρσαι. Mox γὰρ post ὑμῖν delevit Brunck.

249. ἀδόκητον. Ideoque pluris, si concedatur, faciendam.

251. λέχος Reiskius. λόγος vulgo.

252. Tres syllabas post βροτόν, sc. οὐδέν' ἂν vel tale aliquid, deesse vidit Hermannus.

253. ἄγοι, φυγεῖν Dindorfius. ἄγοι ἐκφυγεῖν vulgo. ἄγοι 'κφυγεῖν Hermannus.

ΟΙ. τί δῆτα δόξης, ἢ τί κληδόνος καλῆς
μάτην ῥεούσης ὠφέλημα γίγνεται,
εἰ τάς γ' Ἀθήνας φασὶ θεοσεβεστάτας
εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
σῴζειν οἵας τε καὶ μόνας ἀρκεῖν ἔχειν,
κἄμοιγε ποῦ ταῦτ' ἐστίν, οἵτινες βάθρων
ἐκ τῶνδέ μ' ἐξάραντες εἶτ' ἐλαύνετε,
ὄνομα μόνον δείσαντες; οὐ γὰρ δὴ τό γε
σῶμ' οὐδὲ τἄργα τἄμ'· ἐπεὶ τά γ' ἔργα μου
πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα,
εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρείη λέγειν,
ὧν οὕνεκ' ἐκφοβεῖ με. τοῦτ' ἐγὼ καλῶς
ἔξοιδα. καίτοι πῶς ἐγὼ κακὸς φύσιν,
ὅστις παθὼν μὲν ἀντέδρων, ὥστ' εἰ φρονῶν
ἔπρασσον, οὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός;
νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην,
ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην.
ἀνθ' ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς, ξένοι,
ὥσπερ με κἀνεστήσαθ', ὧδε σώσατε.
καὶ μὴ θεοὺς τιμῶντες εἶτα τοὺς θεοὺς
μοῖραν ποιεῖσθε μηδαμῶς· ἡγεῖσθε δὲ
βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν,
βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς· φυγὴν δέ του
μήπω γενέσθαι φωτὸς ἀνοσίου βροτῶν.
ξὺν οἷς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας

263. κἄμοιγε ποῦ ταῦτ' ἐστίν, κ.τ.λ. *quid juvat existimatio temere dilabens, si Athenas pias esse dicunt miserisque opem ferre, et mihi illorum nihil obtingit?* Id sic exprimit Œdipus, ut alteram partem enunciationis, non, ut expectabatur, per negationem proferat, κἀμοί γε ταῦτ' οὐκ ἔστι, sed nova interrogatione utatur. HERMANN.

267. h. e. πεπονθότος ἐστὶ μᾶλλον ἢ δεδρακότος. Cf. Œd. T. v. 1376.

278. θεοὺς μοῖραν ποιεῖσθαι μηδαμῶς locutio mixta videtur ex μοῖραν ποιεῖσθαί τινος, et ἐν μοίρᾳ τινὰ ποιεῖσθαι. Simile est ἐν οὐδεμιῇ μοίρῃ μεγάλῃ ἦγον, Herod. ii. c. 172. Hic significat *Deos nihili facere, spernere, non curare.* μοίρᾳ legit Dindorfius: sed ἐν vix abesse potest. μοίραις libri veteres. μοῖραν B.T.V.

281, 282. βροτῶν. ξὺν οἷς. Hæc spuria censens Dindorfius, τάδ' οὖν ξυνεὶς nimis audacter conjecit. Certe in βροτῶν repetito non est quod displiceat. ξὺν οἷς autem Scholiasta ad deos refert: *quibus*, sc. *faventibus.* Nescio an rectius ad ἀνοσίοις Heathius. Mox κάλυπτε vix aliud esse potest quam, ut vertit Camerarius: *noli scelere tuo obscurare Athenas.*

ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν.
ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
ῥύου με κἀκφύλασσε· μηδέ μου κάρα
τὸ δυσπρόσοπτον εἰσορῶν ἀτιμάσῃς.
ἥκω γὰρ ἱερὸς εὐσεβής τε καὶ φέρων
ὄνησιν ἀστοῖς τοῖσδ'· ὅταν δ' ὁ κύριος
παρῇ τις, ὑμῶν ὅστις ἐστὶν ἡγεμών,
τότ' εἰσακούων πάντ' ἐπιστήσει· τὰ δὲ
μεταξὺ τούτου μηδαμῶς γίγνου κακός.
ΧΟ. ταρβεῖν μέν, ὦ γεραιέ, τἀνθυμήματα
πολλή 'στ' ἀνάγκη τἀπὸ σοῦ· λόγοισι γὰρ
οὐκ ὠνόμασται βραχέσι. τοὺς δὲ τῆσδε γῆς
ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι.
ΟΙ. καὶ ποῦ 'σθ' ὁ κραίνων τῆσδε τῆς χώρας, ξένοι;
ΧΟ. πατρῷον ἄστυ γῆς ἔχει· σκοπὸς δέ νιν,
ὃς κἀμὲ δεῦρ' ἔπεμπεν, οἴχεται στελῶν.
ΟΙ. ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν' ἐντροπὴν
ἢ φροντίδ' ἕξειν, αὐτὸν ὥστ' ἐλθεῖν πέλας;
ΧΟ. καὶ κάρθ', ὅταν περ τοὔνομ' αἴσθηται τὸ σόν.
ΟΙ. τίς δ' ἔσθ' ὁ κείνῳ τοῦτο τοὔπος ἀγγελῶν;
ΧΟ. μακρὰ κέλευθος· πολλὰ δ' ἐμπόρων ἔπη
φιλεῖ πλανᾶσθαι, τῶν ἐκεῖνος ἀΐων,
θάρσει, παρέσται. πολὺ γάρ, ὦ γέρον, τὸ σὸν
ὄνομα διήκει πάντας, ὥστε κεἰ βραδὺς
εὕδει, κλύων σου δεῦρ' ἀφίξεται ταχύς.

284. ἐχέγγυος, quod sponsorem promissis stantem ac fide dignum significat, hic de eo dictum videtur, qui alius sponsione fretus est. HERMANN.

288. Recte dictum ὁ κύριός τις, quod est, *is aliquis, quem penes potestas est.* HERMANN. Cf. Œd. T. 107.

294. οὐ βραχέσι. *non negligendis, non levibus.*

298. ἔπεμψεν La. Imperfectum, ut de re paullo ante acta, præferunt Elmsl. Herm. Dind. De στελῶν cf. ad Ant. 165.

300. αὐτὸν ὥστ' Porsonus. ἀπόνως τ' codd. plerique.

307. βραδὺς εὕδει. Metaphorice

ΟΙ. ἀλλ' εὐτυχὴς ἵκοιτο τῇ θ' αὑτοῦ πόλει
ἐμοί τε. τίς γαρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;
ΑΝ. ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω, πάτερ;
ΟΙ. τί δ' ἔστι, τέκνον Ἀντιγόνη; ΑΝ. γυναῖχ' ὁρῶ
στείχουσαν ἡμῶν ἆσσον, Αἰτναίας ἐπὶ
πώλου βεβῶσαν· κρατὶ δ' ἡλιοστερὴς
κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει.
τί φῶ;
ἆρ' ἔστιν; ἆρ' οὐκ ἔστιν; ἢ γνώμη πλανᾷ;
καὶ φημὶ κἀπόφημι κοὐκ ἔχω τί φῶ.
τάλαινα.
οὐκ ἔστιν ἄλλη. φαιδρὰ γοῦν ἀπ' ὀμμάτων
σαίνει με προσστείχουσα· σημαίνει δ' ὅτι
μόνης τόδ' ἐστὶ δῆλον Ἰσμήνης κάρα.
ΟΙ. πῶς εἶπας, ὦ παῖ; ΑΝ. παῖδα σήν, ἐμὴν δ' ὁρᾶν
ὅμαιμον· αὐδῇ δ' αὐτίκ' ἐξέσται μαθεῖν.

ΙΣΜΗΝΗ.

ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ
ἥδιστα προσφωνήμαθ', ὡς ὑμᾶς μόλις
εὑροῦσα λύπῃ δεύτερον μόλις βλέπω.
ΟΙ. ὦ τέκνον, ἥκεις; ΙΣ. ὦ πάτερ δύσμοιρ' ὁρᾶν.
ΟΙ. τέκνον, πέφηνας; ΙΣ. οὐκ ἄνευ μόχθου γέ μοι.
ΟΙ. πρόσψαυσον, ὦ παῖ. ΙΣ. θιγγάνω δυοῖν ὁμοῦ.
ΟΙ. ὦ σπέρμ' ὅμαιμον. ΙΣ. ὦ δυσάθλιαι τροφαί.

intelligendum de homine *otioso* (βραδὺς) qui animum *habet ab omnibus curis laxatum* (εὕδει). Cf. Œd. T. v. 65. SCHAEFER.

312. Αἰτναίας. μεγάλη exponunt grammatici. Rectius de equorum *celeritate* hic agi docuit Reisigius: quas explicationes ita conciliari posse monet Hermannus, si eximiam proceritatem ad cursum illis adjumento fuisse existimetur.

314. Θεσσαλίς. Amplitudine videntur Thessalici pilei præstitisse, ob eamque caussam usu commodissimi fuisse. REISIG.

316. γνώμη πλανῶ (sic) La. (αι superscr.) γνώμῃ πλανῶ Hermannus: recte fortasse.

320. Vid. ad v. 30. Œd. T. 79.

323. ἐξέσται Dobræus. ἔξεστιν vulgo.

327—331. Horum versuum ordinem ex Musgravii sententia cum Hermanno mutavi. Vulgo leguntur ὦ τέκνον — ὦ σπέρμ' — τέκνον πέφ. — πρόσψαυσον — ἦ τῆσδε — τέκνον, τί δ'.

332. τ' Marklandus. δ' vulgo.

333. λόγων αὐτάγγελος ex T. Brunckius. Sed eodem redit vulgata: *ut quæ dicenda haberem ipsa ad te referrem.* λόγων suprascr. in La.

335. ποῖ νεανίαι πονεῖν; *quo illi abierunt, quos hunc laborem suscipere oportuit?* Eur. Orest. 1473. ποῦ δῆτ' ἀμύνειν οἱ κατὰ στέγην Φρύγες; quod comparavit Vauvillersius.

336. δ' ἐν κείνοις Lb. R. Ald. et La. ν addito a correctore, quod servavi: quanquam τἀκείνοις ex B. T. V. certe elegantius videtur.

352. ἔχει B. T. sed ἔχοι suprascr. Vid. ad Œd. T. 917.

355. De genitivo vid. Matth. Gr. Gr. 342. 2. Cf. infr. 661. Trach. 1122. Aj. 1236.

ΟΙ. ἦ τῆσδε κἀμοῦ; ΙΣ. δυσμόρου τ' ἐμοῦ τρίτης.
ΟΙ. τέκνον, τί δ' ἦλθες; ΙΣ. σῇ, πάτερ, προμηθίᾳ.
ΟΙ. πότερα πόθοισι; ΙΣ. καὶ λόγοις γ' αὐτάγγελος,
ξὺν ᾧπερ εἶχον οἰκετῶν πιστῷ μόνῳ.
ΟΙ. οἱ δ' αὐθόμαιμοι ποῖ νεανίαι πονεῖν;
ΙΣ. εἴσ' οὗπέρ εἰσι. δεινὰ δ' ἐν κείνοις τανῦν.
ΟΙ. ὦ πάντ' ἐκείνω τοῖς ἐν Αἰγύπτῳ νόμοις
φύσιν κατεικασθέντε καὶ βίου τροφάς.
ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
θακοῦσιν ἱστουργοῦντες, αἱ δὲ σύννομοι
τἄξω βίου τροφεῖα πορσύνουσ' ἀεί.
σφῷν δ', ὦ τέκν', οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
κατ' οἶκον οἰκουροῦσιν ὥστε παρθένοι,
σφὼ δ' ἀντ' ἐκείνων τἀμὰ δυστήνου κακὰ
ὑπερπονεῖτον. ἡ μὲν ἐξ ὅτου νέας
τροφῆς ἔληξε καὶ κατίσχυσεν δέμας,
ἀεὶ μεθ' ἡμῶν δύσμορος πλανωμένη
γερονταγωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν
ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη,
πολλοῖσι δ' ὄμβροις ἡλίου τε καύμασιν
μοχθοῦσα τλήμων, δεύτερ' ἡγεῖται τὰ τῆς
οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι.
σὺ δ', ὦ τέκνον, πρόσθεν μὲν ἐξίκου πατρὶ
μαντεῖ' ἄγουσα πάντα, Καδμείων λάθρα,
ἃ τοῦδ' ἐχρήσθη σώματος· φύλαξ δέ μου
πιστὴ κατέστης, γῆς ὅτ' ἐξηλαυνόμην·

νῦν δ' αὖ τίν' ἥκεις μῦθον, Ἰσμήνη, πατρὶ
φέρουσα; τίς σ' ἐξῆρεν οἴκοθεν στόλος;
ἥκεις γὰρ οὐ κενή γε, τοῦτ' ἐγὼ σαφῶς
ἔξοιδα, μὴ οὐχὶ δεῖμ' ἐμοὶ φέρουσά τι.
ΙΣ. ἐγὼ τὰ μὲν παθήμαθ' ἅπαθον, πάτερ,
ζητοῦσα τὴν σὴν ποῦ κατοικοίης τροφήν,
παρεῖσ' ἐάσω. δὶς γὰρ οὐχὶ βούλομαι
πονοῦσά τ' ἀλγεῖν καὶ λέγουσ' αὖθις πάλιν.
ἃ δ' ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
νῦν ἐστι, ταῦτα σημανοῦσ' ἐλήλυθα.
πρὶν μὲν γὰρ αὐτοῖς ἦν ἔρως Κρέοντί τε
θρόνους ἐᾶσθαι μηδὲ χραίνεσθαι πόλιν,
λόγῳ σκοποῦσι τὴν πάλαι γένους φθοράν,
οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον·
νῦν δ' ἐκ θεῶν του (?) κἀλιτηρίου φρενὸς
εἰσῆλθε τοῖν τρισαθλίοιν ἔρις κακή,
ἀρχῆς λαβέσθαι καὶ κράτους τυραννικοῦ.
χὠ μὲν νεάζων καὶ χρόνῳ μείων γεγὼς
τὸν πρόσθε γεννηθέντα Πολυνείκη θρόνων
ἀποστερίσκει, κἀξελήλακεν πάτρας.
ὁ δ', ὡς καθ' ἡμᾶς ἔσθ' ὁ πληθύων λόγος,
τὸ κοῖλον Ἄργος βὰς φυγάς, προσλαμβάνει

360. *μὴ οὐχί.* Particulas istas ita cum prægressa oratione constructas esse monet Hermannus, ut non tam ad verba præcedentia, quam ad sententiam, quæ in eis inest, referantur, quam patet talem esse ut etiam requirat eas particulas: *οὐ γὰρ ἂν ἦλθες, μὴ οὐχὶ δεῖμά τι φέρουσα.*

362. *τὴν σὴν ποῦ κατοικοίης τροφήν.* Obscurius dicto *τὴν σὴν τροφὴν* poeta explicandi caussa addidit *ποῦ κατοικοίης.* Dindorf.

366. *σημαίνουσ'* La. F. R. Junt. 2. unde fides accedere possit futurum in eis locis contra libros reponentibus ubi præsens et per metrum et per linguæ leges, si modo recte explicetur, stare potest. Vid. ad Ant. 242. Trach. 870.

367. *ἔρως* Tyrwhittus. Olim *ἔρις.*

368. Particulæ *τε* respondet *δὲ* in *μηδέ*, quia e disjunctione *Κρέοντί τε θρόνους ἐᾶσθαι, αὐτούς τε μὴ ἐρίζειν* in oppositionem transit. Hermann. Cf. v. 421. 422.

371. *κἀλιτηρίου φρενός.* Toupii conjecturam ut aliis meliorem admisi: *κἀξ ἀλιτήρου* vel *ἀλητήρου* codd. plerique: *κἀξ ἀλοιτηροῦ* suspicatur Hermannus.

372. *τρὶς ἀθλίοιν* Porson. ad Hec. præf. p. xxx. Sed cf. Hermanni notam.

κῆδός τε καινὸν καὶ ξυνασπιστὰς φίλους,
ὡς αὐτίκ' Ἄργος ἢ τὸ Καδμείων πέδον
τιμῇ καθέξον, ἢ πρὸς οὐρανὸν βιβῶν.
ταῦτ' οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ, λόγων,
ἀλλ' ἔργα δεινά· τοὺς δὲ σοὺς ὅποι θεοὶ
πόνους κατοικτιοῦσιν οὐκ ἔχω μαθεῖν.
ΟΙ. ἤδη γὰρ ἔσχες ἐλπίδ' ὡς ἐμοῦ θεοὺς
ὤραν τιν' ἕξειν, ὥστε σωθῆναί ποτε;
ΙΣ. ἔγωγε τοῖς νῦν γ', ὦ πάτερ, μαντεύμασιν.
ΟΙ. ποίοισι τούτοις; τί δὲ τεθέσπισται, τέκνον;
ΙΣ. σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις ποτὲ
θανόντ' ἔσεσθαι ζῶντά τ', εὐσοίας χάριν.
ΟΙ. τίς δ' ἄν τι τοιοῦδ' ἀνδρὸς εὖ πράξειεν ἄν;
ΙΣ. ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.
ΟΙ. ὅτ' οὐκ ἔτ' εἰμί, τηνικαῦτ' ἄρ' εἴμ' ἀνήρ.
ΙΣ. νῦν γὰρ θεοί σ' ὀρθοῦσι, πρόσθε δ' ὤλλυσαν.
ΟΙ. γέροντα δ' ὀρθοῦν φλαῦρον ὃς νέος πέσῃ.
ΙΣ. καὶ μὴν Κρέοντά γ' ἴσθι σοι τούτων χάριν
ἥξοντα βαιοῦ κοὐχὶ μυρίου χρόνου.
ΟΙ. ὅπως τί δράσῃ, θύγατερ; ἑρμήνευέ μοι.
ΙΣ. ὥς σ' ἄγχι γῆς στήσωσι Καδμείας, ὅπως
κρατῶσι μέν σου, γῆς δὲ μὴ 'μβαίνῃς ὅρων.

381. *καθέξον* ex A. Brunckius. Reliqui *καθέξων.* Sensum bene reddidit Hellerus: *tanquam confestim Argivi ultione suscepta* (hoc quidem minus bene, nam *τιμῇ cum honore* significat), *aut potituri sint Cadmeo solo, aut (victi scilicet) illud ad cœlum sublaturi.* De accusativo absoluto vid. Elms. ad Heracl. 693. qui hæc verba ipse optime interpretatus est: *ὡς τῶν Ἀργείων αὐτίκα ἢ νικησόντων τοὺς Θηβαίους, ἢ ἡττηθησομένων ὑπ' αὐτῶν.*

383. *ὅποι, quo ubi perduxerint.* Cf. Sept. c. Th. 157. *ποῖ δ' ἔτι τέλος ἐπάγει θεός;*

385. *ὡς — ἕξειν.* Constructio mixta ex *ὡς θεοὶ ἕξουσιν* et *θεοὺς ἕξειν.* Alia mixtæ constructionis exempla videas Ant. 490. 1090. Trach. 57. 1238. Aj. 378. Phil. 55. quæ tamen specie aliquatenus inter se differunt.

391. *τίς δ' ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς* vulgo, sed *ὑπ'* om. La. Lb. F. R. unde recte fortasse Hermannus correxit *τίς δ' ἄν τι τοιοῦδ' ἀνδρὸς* coll. Œd. T. 1005. *ὅπως σοῦ πρὸς δόμους ἐλθόντος εὖ πράξαιμί τι,* cujus tamen constructio diversa videtur: ibi enim *σοῦ ἐλθόντος* genitivi absoluti sunt.

400. *ἐμβαίνῃς ὅρων.* *ἐμβατεύειν πατρίδος* Œd. T. 825. comparat Reisigius.

ΟΙ. ἡ δ' ὠφέλησις τίς θύρασι κειμένου ;
ΙΣ. κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρύς.
ΟΙ. κἄνευ θεοῦ τις τοῦτό γ' ἂν γνώμῃ μάθοι.
ΙΣ. τούτου χάριν τοίνυν σε προσθέσθαι πέλας
χώρας θέλουσι, μηδ' ἵν' ἂν σαυτοῦ κρατοῖς.
ΟΙ. ἦ καὶ κατασκιῶσι Θηβαίᾳ κόνει ;
ΙΣ. ἀλλ' οὐκ ἐᾷ τοὔμφυλον αἷμά σ', ὦ πάτερ.
ΟΙ. οὐκ ἆρ' ἐμοῦ γε μὴ (?) κρατήσωσιν ποτέ.
ΙΣ. ἔσται ποτ' ἆρα τοῦτο Καδμείοις βάρος.
ΟΙ. ποίας φανείσης, ὦ τέκνον, ξυναλλαγῆς ;
ΙΣ. τῆς σῆς ὑπ' ὀργῆς, σοῖς ὅταν στῶσιν τάφοις.
ΟΙ. ἃ δ' ἐννέπεις, κλύουσα τοῦ λέγεις, τέκνον ;
ΙΣ. ἀνδρῶν θεωρῶν Δελφικῆς ἀφ' ἑστίας.
ΟΙ. καὶ ταῦτ' ἐφ' ἡμῖν Φοῖβος εἰρηκὼς κυρεῖ;
ΙΣ. ὥς φασιν οἱ μολόντες εἰς Θήβης πέδον.
ΟΙ. παίδων τις οὖν ἤκουσε τῶν ἐμῶν τάδε ;
ΙΣ. ἄμφω γ' ὁμοίως, κἀξεπίστασθον καλῶς.
ΟΙ. κᾆθ' οἱ κάκιστοι τῶνδ' ἀκούσαντες πάρος
τοὐμοῦ πόθου προὔθεντο τὴν τυραννίδα ;
ΙΣ. ἀλγῶ κλύουσα ταῦτ' ἐγώ, φέρω δ' ὅμως.
ΟΙ. ἀλλ' οἱ θεοί σφι μήτε τὴν πεπρωμένην
ἔριν κατασβέσειαν, ἐν δ' ἐμοὶ τέλος

401. *θύρασι*, sc. *foras*, Elmsleius, cujus notam vide. Libri *θύραισι*.

402. *δυστυχῶν*. Recte sensum expedivit Scholiasta: *ἐπὶ ξένης σοῦ θαπτομένου δυστυχήσουσιν ἐκεῖνοι. τύμβος* sc. *δυστυχῶν* illius dicitur, qui in peregrina terra sepultus jacet. Totius autem loci rationem ita reddidit Hermannus: 'Quum oraculum, ut ait Scholiastes, Athenienses ab obsidione Thebanorum liberatum iri dixisset, si essent Œdipi sepulcro potiti, illud metuere Thebanos necesse erat, ne receptus Athenis Œdipus ibi et sepeliretur, et sacris, quæ ei a civibus suis fieri oportuisset, coleretur. Eam ob caussam operam dabant, ut quoniam patria cum tellure condi nefas esset, certe non longe a finibus agri Thebani tenerent.'

405. *κρατοῖς* Brunckius. *κρατῇς* vulgo. Recte Brunckius: *non vero te locare, ubi tui juris esse possis.*

406. *κατασκιῶσι*. gl. *θάψουσι*.

408. *κρατήσωσιν* libri omnes, præter T. qui *κρατήσουσιν* suprascriptum habet.

422. *ἐν δ' ἐμοὶ τέλος κ. τ. λ.*] *δὲ* respondet præcedenti *μήτε* sicut in v. 368. Sensum bene reddidit Scholiasta: *μηδεὶς ἄλλος κύριος γένοιτο, ὥστε διαλῦσαι τὴν ἔριν αὐτῶν, ἢ ἐγώ.*

αὐτοῖν γένοιτο τῆσδε τῆς μάχης πέρι,
ἧς νῦν ἔχονται κἀπαναίρονται δόρυ·
ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει
μείνειεν, οὔτ' ἂν οὑξεληλυθὼς πάλιν
ἔλθοι ποτ' αὖθις· οἵ γε τὸν φύσαντ' ἐμὲ
οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον
οὐκ ἔσχον οὐδ' ἤμυναν· ἀλλ' ἀνάστατος
αὐτοῖν ἐπέμφθην κἀξεκηρύχθην φυγάς.
εἴποις ἂν ὡς θέλοντι τοῦτ' ἐμοὶ τότε
πόλις τὸ δῶρον εἰκότως κατήνυσεν.
οὐ δῆτ', ἐπεί τοι τὴν μὲν αὐτίχ' ἡμέραν,
ὁπηνίκ' ἔζει θυμός, ἥδιστον δέ μοι
τὸ κατθανεῖν ἦν καὶ τὸ λευσθῆναι πέτροις,
οὐδεὶς ἔρωτος τοῦδ' ἐφαίνετ' ὠφελῶν·
χρόνῳ δ', ὅτ' ἤδη πᾶς ὁ μόχθος ἦν πέπων,
κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι
μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,
τὸ τηνίκ' ἤδη τοῦτο μὲν πόλις βίᾳ
ἤλαυνέ μ' ἐκ γῆς χρόνιον, οἱ δ' ἐπωφελεῖν,
οἱ τοῦ πατρός, τῷ πατρὶ δυνάμενοι, τὸ δρᾶν
οὐκ ἠθέλησαν, ἀλλ' ἔπους σμικροῦ χάριν
φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἐγώ.
ἐκ ταῖνδε δ', οὔσαιν παρθένοιν, ὅσον φύσις

424. *κἀπαναιροῦνται* vulgo. Correxit Hermannus. De confusione inter *αἱρεῖσθαι* et *αἴρεσθαι* vid. Elmsl. ad Heracl. 505. "Notanda mediæ vocis significatio: *κατ' ἀλλήλων ἐπαίρουσιν.*

432. *καθήνυσεν* correxit Dindorfius ex Phrynichi præcepto in Bekkeri Anecd. p. 14. 17. *ἀνύειν· δασύνουσιν οἱ Ἀττικοί. καὶ δῆλον ἐκ τῆς συναλοιφῆς· καθήνυσαν γάρ.* Cf. Porson. ad Phœn. 463. Dobræum ad Arist. Plut. v. 607. Elmsl. ad Bacch. 1098. qui in eadem sunt sententia. Verum cum Atticismi hujus vestigia apud tragicos nulla reperiantur, credibile est illos potius Homericum usum secutos esse: asperam autem formam posteriori Atticæ dialecti ævo relinquendam.

434. *ἥδιστόν τε* corrigendum suspicatur Hermannus.

436. *ὠφελῶν* substantivi vicem gerit, et ita recte cum genitivo construitur.

438. 439. Cæcitatem dicit quam sua sibi manu intulit. DINDORF.

442. *οἱ τοῦ πατρός*. Peracerbe addidit illud *οἱ τοῦ πατρός*, i. e. vere patris filii, nec degeneres, sed ut ego in meum patrem, ita in me impii. HERMANN.

443. *ἔπους σμικροῦ χάριν. potius quam verbulo defenderent.* BRUNCK.

δίδωσιν αὐταῖν, καὶ τροφὰς ἔχω βίου
καὶ γῆς ἄδειαν καὶ γένους ἐπάρκεσιν·
τὼ δ' ἀντὶ τοῦ φύσαντος εἱλέσθην θρόνους
καὶ σκῆπτρα κραίνειν καὶ τυραννεύειν χθονός.
ἀλλ' οὔ τι μὴ λάχωσι τοῦδε συμμάχου,
οὔτε σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
ὄνησις ἥξει. τοῦτ' ἐγᾦδα, τῆσδέ τε
μαντεῖ' ἀκούων, συννοῶν τε τάξ ἐμοῦ,
παλαίφαθ' ἁμοὶ Φοῖβος ἤνυσέν ποτε.
πρὸς ταῦτα καὶ Κρέοντα πεμπόντων ἐμοῦ
μαστῆρα, κεἴ τις ἄλλος ἐν πόλει σθένει.
ἐὰν γὰρ ὑμεῖς, ὦ ξένοι, θέλητέ μου
(?) σὺν ταῖσδε ταῖς σεμναῖσι δημούχοις θεαῖς
ἀλκὴν ποιεῖσθαι, τῇδε τῇ πόλει μέγαν
σωτῆρ' ἀρεῖσθε, τοῖς δ' ἐμοῖς ἐχθροῖς πόνους.
ΧΟ. ἐπάξιος μέν, Οἰδίπους, κατοικτίσαι,
αὐτός τε παῖδές θ' αἵδ'· ἐπεὶ δὲ τῆσδε γῆς
σωτῆρα σαυτὸν τῷδ' ἐπεμβάλλεις λόγῳ,
παραινέσαι σοι βούλομαι τὰ σύμφορα.
ΟΙ. ὦ φίλταθ', ὡς νῦν πᾶν τελοῦντι προξένει.

447. γένους ἐπάρκεσιν. Ab hisce effici dicit ut liberos se habere sentiat. HERMANN.

450. οὔτε Elmsleius, propter οὔτε sequens. De hac quæstione videant, si quibus otium est ad rem diligenter considerandam, Hermann. Annot ad Elmsl. Med. v. 4. 5. qui regulam istam, qua οὔτε post οὐ poni non posse defenditur, non satis accurate traditam esse pluribus exposuit. Quæstio longior est quam ut notulæ in spatio tractari possit.

τοῦδε συμμάχου. τοῦδε a συμμάχου disjunctum pro ἐμοῦ accipiendum, sicut τῆσδέ γε ζώσης ἔτι Trach. 305. ἐπὶ τῷδε νοσοῦντι ibid. 1012.

453. τε τάξ ἐμοῦ Heathius. τά τ' ἐξ ἐμοῦ vulgo. Horum verborum sensus valde impeditus: fortasse sic reddendus: *et cum mecum mea reputo, quæ scilicet olim prædicta mihi dedit Phœbus.* τὰ ἐξ ἐμοῦ videtur dictum ut τὰ γὰρ ἐξ ἡμῶν καθαρῶς ἔσται βασιλεῦσιν Eur. Heracl. 1054. ubi recte Barnesius, *quod ad nos attinet.* Hoc autem, τὰ ἐξ ἐμοῦ, deinde versu sequenti explicatius traditur.

454. ἁμοὶ Heathius. ἅ μοι libri.

458. σὺν ταῖσδε ταῖς ex conjectura Canteri reliqui. Quæ vera sit scriptura non liquet. πρὸς ταῖσι ταῖς (σὺν suprascr.) La. unde σὺν προστάταις Hermannus. θέληθ' ὁμοῦ προστατίσι valde ineleganter Dind. Scribendum fortasse πρὸς ταῖσδε ταῖς, *i. e. una cum illis*, σὺν enim, quod suprascriptum in cod. legitur, alterius interpretatio fuisse potest.

463. ἐπεμβάλλεις. *quum præterea verbis tuis significes te servatorem hujus civitatis fore.*

ΧΟ. θοῦ νῦν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ' ἃς
τὸ πρῶτον ἵκου καὶ κατέστειψας πέδον.
ΟΙ. τρόποισι ποίοις; ὦ ξένοι, διδάσκετε.
ΧΟ. πρῶτον μὲν ἱερὰς ἐξ ἀειρύτου χοὰς
κρήνης ἐνεγκοῦ, δι' ὁσίων χειρῶν θιγών.
ΟΙ. ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω;
ΧΟ. κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη,
ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.
ΟΙ. θαλλοῖσιν, ἢ κρόκαισιν, ἢ ποίῳ τρόπῳ;
ΧΟ. οἰός γε νεαρᾶς νεοπόκῳ μαλλῷ λαβών.
ΟΙ. εἶεν· τὸ δ' ἔνθεν ποῖ τελευτῆσαί με χρή;
ΧΟ. χοὰς χέασθαι στάντα πρὸς πρώτην ἕω.
ΟΙ. ἦ τοῖσδε κρωσσοῖς οἷς λέγεις χέω τάδε;
ΧΟ. τρισσάς γε πηγάς. τὸν τελευταῖον δ' ὅλον.
ΟΙ. τοῦ τόνδε πλήσας θῶ; δίδασκε καὶ τόδε.
ΧΟ. ὕδατος, μελίσσης· μηδὲ προσφέρειν μέθυ.
ΟΙ. ὅταν δὲ τούτων γῆ μελάμφυλλος τύχῃ;
ΧΟ. τρὶς ἐννέ' αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν
τιθεὶς ἐλάας, τάσδ' ἐπεύχεσθαι λιτάς.
ΟΙ. τούτων ἀκοῦσαι βούλομαι. μέγιστα γάρ.
ΧΟ. ὥς σφας καλοῦμεν Εὐμενίδας, ἐξ εὐμενῶν
στέρνων δέχεσθαι τὸν ἱκέτην σωτήριον,

469. ἀειρύτου Brunckius. ἀειρρύτου vulgo.

470. ἐνέγκου vulgo. Accentum mutavit Elmsleius.

475. οἰός γε νεαρᾶς] γε addidit Heathius. Alii aliter correxerunt. Bene monet Hermannus usurpari γε in respondendo, quum quis id, quod alter dixit, confirmet, sed simul amplius definiat. Hic quia Œdipus dixit ἢ κρόκαισιν, responderi potuit, οἰός γε νεαρᾶς μαλλῷ. Mox νεοπόκῳ ex depravata librorum scriptura correxit Canterus.

481. μελίσσης. Insolentius μέλισσαν pro *melle* dixit. HERMANN.

484. ἐλάας. Vid. ad v. 17. Œd. T. 401.

486. ὥς σφας. Vid. ad Œd. T. 1470.

487. σωτήριον. Passive dictum videtur pro σῶν, nam activo sensu ad beneficium quod se telluri allaturum supra dixerat Œdipus referri certe alienum foret. Quæ exempla affert Hermannus Æsch. Ag. 646. Choeph. 236. nihil ad rem faciunt. Rectius contuleris πέδον ῥαντήριον Ag. 1092. modo vera sit lectio. Forte legendum σωτηρίᾳ, quocum comparari posset Œd. T. 51. ἀλλ' ἀσφαλείᾳ τήνδ' ἀνόρθωσον πόλιν.

αἰτοῦ σύ τ' αὐτός, κεἴ τις ἄλλος ἀντὶ σοῦ,
ἄπυστα φωνῶν μηδὲ μηκύνων βοήν.
ἔπειτ' ἀφέρπειν ἄστροφος. καὶ ταῦτά σοι
δράσαντι θαρσῶν ἂν παρασταίην ἐγώ·
ἄλλως δὲ δειμαίνοιμ' ἄν, ὦ ξέν', ἀμφὶ σοί.
ΟΙ. ὦ παῖδε, κλύετον τῶνδε προσχώρων ξένων;
ΑΝ. ἠκούσαμέν τε χὤ τι δεῖ πρόστασσε δρᾶν.
ΟΙ. ἐμοὶ μὲν οὐχ ὁδωτά. λείπομαι γὰρ ἐν
τῷ μὴ δύνασθαι μήθ' ὁρᾶν, δυοῖν κακοῖν.
σφῷν δ' ἁτέρα μολοῦσα πραξάτω τάδε.
ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
ψυχὴν τάδ' ἐκτίνουσαν, ἣν εὔνους παρῇ.
ἀλλ' ἐν τάχει τι πράσσετον· μόνον δέ με
μὴ λείπετ'. οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας
ἔρημον ἕρπειν οὐδ' ὑφηγητῶν ἄνευ.
ΙΣ. ἀλλ' εἶμ' ἐγὼ τελοῦσα· τὸν τόπον δ' ἵνα
χρῆσται μ' ἐφευρεῖν, τοῦτο βούλομαι μαθεῖν.
ΧΟ. τοὐκεῖθεν ἄλσους, ὦ ξένη, τοῦδ'. ἢν δέ του
σπάνιν τιν' ἴσχῃς, ἔστ' ἔποικος, ὃς φράσει.
ΙΣ. χωροῖμ' ἂν εἰς τόδ'· Ἀντιγόνη, σὺ δ' ἐνθάδε
φύλασσε πατέρα τόνδε· τοῖς τεκοῦσι γὰρ
οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.
ΧΟ. δεινὸν μὲν τὸ πάλαι κείμενον ἤ- *στροφὴ α΄.*
δη κακόν, ὦ ξεῖν', ἐπεγείρειν·
ὅμως δ' ἔραμαι πυθέσθαι.

488. *τ'* duo codd. *γ'* reliqui.

491. *θαρρῶν* libri. Correxit Brunckius, ut alibi.

496. *μηδ' ὁρᾶν* Elmsleius. Vulgatam defendit Hermannus supra ad v. 450. citatus.

497. *ἁτέρα* Elmsleius: *ἡτέρα* vulgo.

499. *ἐκτείνουσαν* libri. Correxit Canterus.

502. *ὑφηγητῶν* Hermannus. *ὑφηγητοῦ γ'* T. V. et vulgo; ubi alienum certe est *γ'*. Idem et *ὑφηγητοῦ δίχα* conjecit. *ὑφηγητοῦ δ'* habent codices plerique.

504. *χρῆσται* vulgo ex *χρεία ἔσται*, quod *δεήσει* valeat, coaluisse putatur; et sic Scholiasta. Magnopere autem verendum ut id ita esse possit. Digna quæ expendantur ad h. l. attulit Dindorfius; non tamen adeo explorata, ut tironibus commendare ausim.

505. *ἄλσος—τόδ'* Elmsleius, Porsoni regulæ de quinto senarii pede obsecutus. Vide quæ de hac re dixit Hermannus in nota ad hunc locum.

506. Forte leg. *σπάνιν τινὰ σχῇς*, coll. Œd. T. 1461.

ΟΙ. τί τοῦτο;
ΧΟ. τᾶς δειλαίας ἀπόρου φανείσας
ἀλγηδόνος, ᾇ ξυνέστας.
ΟΙ. μὴ πρὸς ξενίας ἀνοίξῃς
τᾶς σᾶς, πέπον, ἔργ' ἀναιδῆ.
ΧΟ. τό τοι πολὺ καὶ μηδαμὰ λῆγον
χρῄζω, ξέν', ὀρθὸν ἄκουσμ' ἀκοῦσαι.
ΟΙ. ὤμοι.
ΧΟ. στέρξον, ἱκετεύω.
ΟΙ. φεῦ φεῦ.
ΧΟ. πείθου· κἀγὼ γὰρ ὅσον σὺ προσχρῄζεις.
ΟΙ. ἤνεγκον κακότατ', ὦ ξένοι, ἤ- *ἀντιστρ. α΄.*
νεγκον, ἑκὼν μέν, θεὸς ἴστω,
τούτων δ' †αὐθαίρετον οὐδέν.
ΧΟ. ἀλλ' ἐς τί;
ΟΙ. κακᾷ μ' εὐνᾷ πόλις οὐδὲν ἴδριν
γάμων ἐνέδησεν ἄτᾳ.
ΧΟ. ἦ ματρόθεν, ὡς ἀκούω,
δυσώνυμα λέκτρ' ἐπλήσω;
ΟΙ. ὤμοι, θάνατος μὲν τάδ' ἀκούειν,

513. *ἀπόρου φανείσας* dictum sicut *ἀρχαῖος φανεὶς* Trach. v. 1.

516. *πέπον* Bothius. *πέπονθ'* vulgo.

517. *μηδαμὰ* Brunck. *μηδαμᾶ* libri.

519. Vulgo *ἰώ μοι*. Correxit Hermannus.

520. *κἀγὼ γάρ*, sc. *πείθομαι*.

522. *ἄκων μὲν* vulgo: *ἑκὼν* correxit Bothius. Quomodo quis *ἑκὼν* aliquid fecisse dici possit, quod tamen *αὐθαίρετον* non fuerit, facile intelliget qui contulerit decantatum illud *ἑκὼν ἀέκοντί γε θυμῷ* Iliad. Δ. 43. cui simile ab aliis laudatum est, *οὐχ ἑκὼν ἑκών* Eur. Iph. T. 512.

523. *τούτων δ' αὐθαίρετον οὐδέν.* Hoc si scripsit Sophocles, diversas sibi respondere glyconei versus formas fecit: quod aliquoties sibi indulsit Euripides, nusquam alibi Sophocles. Itaque non improbabilis est Hermanni conjectura *αὐθαίρετον* alius vocabuli [e. g. *ἐθελητὸν*] esse interpretationem. Dindorf.

524. *ἀλλ' ἐς τί;* Intelligendum ex præcedentibus tale quid, *ἐς τί δυστυχὴς γέγονας*; *quamnam in partem miser fuisti?* i. e. quod dicunt, *quonam respectu*. Hermann.

525. *κακᾷ μ'* Lb. solus. Vulgo *κακᾷ μέν*. Mox *ἴδριν* Mudgius. Vulgo *ἴδρις*.

527. *ματρόθεν* Elmsleius. *μητρόθεν* vulgo. *ματρόθεν δυσώνυμα λέκτρ' ἐπλήσω*, idem est ac si dixisset *ματρόθεν ἐπλήσω λέκτρα* (*in torum matrem recepisti*) *ὥστε δυσώνυμα γενέσθαι*.

ὦ ξεῖν᾽· αὗται δὲ δύ᾽ ἐξ ἐμοῦ *
ΧΟ. πῶς φής;
ΟΙ. παῖδε, δύο δ᾽ ἄτα
ΧΟ. ὦ Ζεῦ.
ΟΙ. ματρὸς κοινᾶς ἀπέβλαστον ὠδῖνος.
ΧΟ. αὗται γὰρ ἀπόγονοι τεαί; στροφὴ β΄.
ΟΙ. κοιναί γε πατρὸς ἀδελφεαί.
ΧΟ. ἰώ. ΟΙ. ἰὼ δῆτα μυ-
ρίων γ᾽ ἐπιστροφαὶ κακῶν.
ΧΟ. ἔπαθες ΟΙ. ἔπαθον ἄλαστ᾽ ἔχειν.
ΧΟ. ἔρεξας ΟΙ. οὐκ ἔρεξα. ΧΟ. τί γάρ;
ΟΙ. ἐδεξάμην
δῶρον, ὃ μήποτ᾽ ἐγὼ ταλακάρδιος
ἐπωφέλησα πόλεος ἐξελέσθαι.
ΧΟ. δύστανε, τί γάρ; ἔθου φόνον ἀντιστρ. β΄.
ΟΙ. τί τοῦτο; τί δ᾽ ἐθέλεις μαθεῖν;
ΧΟ. πατρός; ΟΙ. παπαῖ, δευτέραν
ἔπαισας ἐπὶ νόσῳ νόσον.
ΧΟ. ἔκανες ΟΙ. ἔκανον. ἔχει δέ μοι

530. ἐξ ἐμοῦ *. Deest syllaba. μὲν addidit Elmsleius. ἐμεῖο conjecit Bothius.

531. παῖδε Elmsleius. παῖδες vulgo. 'ἄτα filias vocat propter incestum cum matre connubium.' Dindorf.

534. αὗται γὰρ ἀπόγονοι τεαὶ Hermannus, qui præeunte Solgero versum sequentem Œdipo tribuit. σαί τ᾽ ἄρ᾽ εἰσὶν La. σαί τ᾽ ἄρ᾽ εἴσ᾽ A. Ald. αὐτ᾽ ἆρ εἰσὶν B. αὖτ᾽ ἄρ᾽ εἰσὶν V. αὐτὰρ εἰσὶν T. Mox τε καὶ libri omnes.

537. ἐπιστροφαί. *impetus* vertit Doederlinus: coll. v. 1045. Hoc verum esse potest: nescio tamen an simplicius *malorum præsentiam* vertere possis: quodcunque enim in loco versatur vel est, id ibi ἐπιστρέφεσθαι, vel ἐπιστροφὰς ἔχειν, dicitur.

541. ἐπωφέλησα pro ὤφελον, sc. *utinam*, insolentius dictum videtur. Nimis contorta est Hermanni explicatio ad Viger. 190. quam tamen ut in re dubia apponere non gravabor: 'ἐπωφέλησα τὴν πόλιν ὥστε μήποτε αὐτῆς ἐξελέσθαι τοῦτο τὸ δῶρον. *Accepi*, inquit Œdipus, *donum*, uxorem dicit, *quod ego ut nunquam a civitate debuerim accipere, ei profui*, i. e. quod ut mihi non unquam daret civitas merui, quum eam a Sphinge liberavi.'

πόλεος Hermannus. Vulgo πόλεως.

543. δευτέραν ἔπαισας ἐπὶ νόσῳ νόσον. Cum παίειν πληγὴν recte dicatur, παίειν νόσον huic structuræ accommodate dicit, quod aliter ἔπαισας νόσῳ dicere potuisset.

545. ἔχει δέ μοι πρὸς δίκας τι. *habet ea res mihi aliquid veniæ a facti justitia.* Hermann. Ang. *there is somewhat to be said for it on the score of justice.*

ΧΟ. τί τοῦτο; ΟΙ. πρὸς δίκας τι. ΧΟ. τί γάρ;
ΟΙ. ἐγὼ φράσω.
καὶ γὰρ ἁλοὺς ἐφόνευσα καὶ ὤλεσα·
νόμῳ δὲ καθαρός, ἄϊδρις εἰς τόδ᾽ ἦλθον.
ΧΟ. καὶ μὴν ἄναξ ὅδ᾽ ἡμὶν Αἰγέως γόνος
Θησεὺς κατ᾽ ὀμφὴν σὴν ἐφ᾽ ἀστάλη πάρα.

ΘΗΣΕΥΣ.

πολλῶν ἀκούων ἔν τε τῷ πάρος χρόνῳ
τὰς αἱματηρὰς ὀμμάτων διαφθορὰς
ἔγνωκά σ᾽, ὦ παῖ Λαΐου, τανῦν θ᾽ ὁδοῖς
ἐν ταῖσδ᾽ ἀκούων μᾶλλον ἐξεπίσταμαι.
σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα
δηλοῦτον ἡμῖν ὄνθ᾽ ὃς εἶ, καί σ᾽ οἰκτίσας
θέλω ᾽περέσθαι, δύσμορ᾽ Οἰδίπου, τίνα
πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ᾽ ἔχων,
αὐτός τε χἠ σὴ δύσμορος παραστάτις.
δίδασκε. δεινὴν γάρ τιν᾽ ἂν πρᾶξιν τύχοις
λέξας ὁποίας ἐξαφισταίμην ἐγώ.
ὡς οἶδά γ᾽ αὐτὸς ὡς ἐπαιδεύθην ξένος,
ὥσπερ σύ, χὤς τις πλεῖστ᾽ ἀνὴρ ἐπὶ ξένης

547. ἄλλους vulgo. ἁλοὺς correxit Hermannus. Mox καὶ ὤλεσα Bothius. Vulgo καὶ ἀπώλεσα. Nexus est: ἑάλων μὲν φονεύσας καὶ ὀλέσας, quod paullo insolentius effert ἁλοὺς ἐφόνευσα. Post ἁλοὺς cogitatione μὲν supplendum monuit Hermannus: respondet enim νόμῳ δὲ καθαρός, κ. τ. λ.

550. ἐφ᾽ ἀστάλη, h. e. ἐπὶ ταῦτα ἐφ᾽ ἃ ἐστάλη, ex Dindorfii conjectura scripsi: coll. Eurip. Bacch. 454. ἐφ᾽ ὅπερ ἐς Θήβας πάρει. ἀπεστάλη πάρα codices, unde ἀποσταλεὶς πάρα minus bene Turnebus. σταλῆναι enim, non ἀποσταλῆναι, dicendum fuit. κατ᾽ ὀμφὴν σὴν recte Hermannus ad arcana illa refert, quæ Œdipus soli se regi indicaturum supra v. 288. dixerat, et ad quæ cognoscenda Theseum venisse nunc ait poeta.

552. τάς. Forte leg. σάς.

557. ᾽περέσθαι Reisigius. Libri τί ἔρεσθαι. Οἰδίπους Elmsleius. Vid. ad Œd. T. 405.

562. Elegans nec tamen necessaria mutatio esset ὃς οἶδα καὐτὸς quorum illud Dindorfius, hoc conjecit Doederlinus.

563. χὤς τις. Constructio est: ἤθλησα κινδυνεύματα ὥς τις πλεῖστα ἀνὴρ ἀθλήσας. Hermann.

ἤθλησα κινδυνεύματ' ἐν τὠμῷ κάρᾳ,
ὥστε ξένον γ' ἂν οὐδέν' ὄνθ', ὥσπερ σὺ νῦν,
ὑπεκτραποίμην μὴ οὐ συνεκσῴζειν· ἐπεὶ
ἔξοιδ' ἀνὴρ ὢν χὤτι τῆς ἐς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.

ΟΙ. Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
παρῆκεν, ὥστε βραχέα μοι δεῖσθαι φράσαι.
σὺ γάρ μ' ὅς εἰμι, κἀφ' ὅτου πατρὸς γεγὼς
καὶ γῆς ὁποίας ἦλθον, εἰρηκὼς κυρεῖς·
ὥστ' ἐστί μοι τὸ λοιπὸν οὐδὲν ἄλλο πλὴν
εἰπεῖν ἃ χρῄζω, χὠ λόγος διοίχεται.

ΘΗ. τοῦτ' αὐτὸ νῦν δίδασχ', ὅπως ἂν ἐκμάθω.

ΟΙ. δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
σοὶ δῶρον, οὐ σπουδαῖον εἰς ὄψιν· τὰ δὲ
κέρδη παρ' αὐτοῦ κρείσσον' ἢ μορφὴ καλή.

ΘΗ. ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;

ΟΙ. χρόνῳ μάθοις ἄν, οὐχὶ τῷ παρόντι που.

ΘΗ. ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;

ΟΙ. ὅταν θάνω 'γὼ καὶ σύ μου ταφεὺς γένῃ.

ΘΗ. τὰ λοίσθι' αἰτεῖ τοῦ βίου, τὰ δ' ἐν μέσῳ
ἢ λῆστιν ἴσχεις ἢ δι' οὐδενὸς ποιεῖ.

ΟΙ. ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.

564. *ἐν τὠμῷ κάρᾳ.* Angl. *in my own person.*

565. *γ' ἂν* Vauvillersius. *γὰρ* vulgo.

567. *εἰς αὔριον* V.

570. *παρῆκεν* a *παριέναι* deductum. Hermannus: *tua humanitas paucis verbis permisit, ut mea res brevi oratione indigeat.* Mox *βραχέα· μοι* pro *βραχέ' ἐμοὶ* correxit Brunckius. Ad *δεῖσθαι* autem aliquid esse supplendum, veluti *τὸ πρᾶγμα*, monet Hermannus.

574. *διέρχεται* La. et alii. *διοίχεται* ex Lb. Ricc. A. amplexi sunt Elmsl. Hermann.

278. *τὰ κέρδη παρ' αὐτοῦ μᾶλλον ἀγαθά ἐστιν ἢ καλὴ ἡ μορφή.* Doederlin.

580. *παρόντι που*] *πω* male Schaeferus. Hermannus: Neque enim affirmat Œdipus, olim Theseum, non nunc, cogniturum esse, quid illud lucri sit, sed dubitat præsentine tempore, an non statim id sit eventurum.

581. *προσφορά.* *utilitas quam affers.*

584. *τὰ δ' ἐν μέσῳ ἢ λῆστιν ἴσχεις.* *λῆστιν ἴσχεις* constructum ut *ἐπιλέλησαι*, cujus vice ista formula fungitur. Recte Schaeferus comparat *δέος ἴσχετε μηδὲν ὅσ' αὐδῶ.* Hermann.

585. *προσδοκῶν γὰρ σὺ ὠφεληθή-*

ΘΗ. ἀλλ' ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαιτεῖ χάριν.

ΟΙ. ὅρα γε μήν. οὐ σμικρός, οὔκ, ἀγὼν ὅδε.

ΘΗ. πότερα τὰ τῶν σῶν ἐκγόνων, ἢ 'μοῦ λέγεις;

ΟΙ. κεῖνοι κομίζειν κεῖσ' ἀναγκάζουσί με.

ΘΗ. ἀλλ' εἰ θέλοντάς γ' οὐδὲ σοὶ φεύγειν καλόν;

ΟΙ. ἀλλ' οὐδ', ὅτ' αὐτὸς ἤθελον, παρίεσαν.

ΘΗ. ὦ μῶρε, θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορον.

ΟΙ. ὅταν μάθῃς μου, νουθέτει, τανῦν δ' ἔα.

ΘΗ. δίδασκ'. ἄνευ γνώμης γὰρ οὔ με χρὴ λέγειν.

ΟΙ. πέπονθα, Θησεῦ, δεινὰ πρὸς κακοῖς κακά.

ΘΗ. ἢ τὴν παλαιὰν ξυμφορὰν γένους ἐρεῖς;

ΟΙ. οὐ δῆτ'· ἐπεὶ πᾶς τοῦτό γ' Ἑλλήνων θροεῖ.

ΘΗ. τί γὰρ τὸ μεῖζον ἢ κατ' ἄνθρωπον νοσεῖς;

ΟΙ. οὕτως ἔχει μοι. γῆς ἐμῆς ἀπηλάθην
πρὸς τῶν ἐμαυτοῦ σπερμάτων· ἔστιν δέ μοι
πάλιν κατελθεῖν μήποθ', ὡς πατροκτόνῳ.

ΘΗ. πῶς δῆτά σ' ἂν πεμψαίαθ', ὥστ' οἰκεῖν δίχα;

ΟΙ. τὸ θεῖον αὐτοὺς ἐξαναγκάζει στόμα.

ΘΗ. ποῖον πάθος δείσαντας ἐκ χρηστηρίων;

ΟΙ. ὅτι σφ' ἀνάγκη τῇδε πληγῆναι χθονί.

σεσθαι παρ' ἐμοῦ, ὅταν ἀποθάνω, ζῶντά με γηροβοσκήσεις. Schol.

587. Ordo est: *ὅδε (ὁ ἀγὼν) οὐ σμικρὸς ἀγών ἐστι.*

588. Interrogat, utrum quod ille dicat periculum in iis quæ filii Œdipi sint suscepturi, an in malo aliquo, quod sibi immineat, positum sit. Hermann.

589. *κομίζειν κεῖσ' ἀναγκάζουσι.* Præsenti recte usus est, qui non quid illi post aliquando, sed nunc agant, dicere velit. Eo enim fine venerat Ismene, ut quæ illi de reducendo Œdipo molirentur nunciaret: vide v. 396. seqq. Quod si addit poeta huic verbo infinitivum *κομίζειν*, non Theseum, sed universe eos intelligit, qui tradendi Œdipi potestatem habeant. Eo factum ut accusativum omittere potuerit. Hermann.

590. *θέλοντάς γ'* Reisigius. *θέλοντ' ἄν γ'* La. A. Ald. Hermannus: *quid autem si, quum te volunt recipere, ne tibi quidem decorum est exsulem esse?* Æschyl. Suppl. 510. 511. ab Elmsleio citatus, *οὔτοι πτερωτῶν ἁρπαγαῖς ἐκδώσομεν.* Χορ. *ἀλλ' εἰ δρακόντων δυσφρόνων ἐχθίοσιν;*

592. *θυμὸς δ'.* Cf. El. 934. *ὦ δυστυχής. ἐγὼ δὲ σὺν χαρᾷ κ. τ. λ.* Hermann.

602. *ὥστ' οἰκεῖν δίχα.* Quum sciat parricidam esse Œdipum, ideoque intra patriæ fines non recipiendum, miratur Theseus quo pacto tali conditione, sc. ne fines ingrediatur, eum revocare possint Thebani.

ΘΗ. *καὶ πῶς γένοιτ' ἂν τἀμὰ κἀκείνων πικρά;*
ΟΙ. *ὦ φίλτατ' Αἰγέως παῖ, μόνοις οὐ γίγνεται*
θεοῖσι γῆρας οὐδὲ κατθανεῖν ποτε,
τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος.
φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος,
θνῄσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία,
καὶ πνεῦμα ταυτὸν οὔποτ' οὔτ' ἐν ἀνδράσιν
φίλοις βέβηκεν οὔτε πρὸς πόλιν πόλει.
τοῖς μὲν γὰρ ἤδη, τοῖς δ' ἐν ὑστέρῳ χρόνῳ
τὰ τερπνὰ πικρὰ γίγνεται καὖθις φίλα.
καὶ ταῖσι Θήβαις εἰ τανῦν εὐημερεῖ
καλῶς τὰ πρὸς σέ, μυρίας ὁ μυρίος
χρόνος τεκνοῦται νύκτας ἡμέρας τ' ἰών,
ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα
δόρει διασκεδῶσιν ἐκ σμικροῦ λόγου·
ἵν' οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς
ψυχρός ποτ' αὐτῶν θερμὸν αἷμα πίεται,
εἰ Ζεὺς ἔτι Ζεύς, χὠ Διὸς Φοῖβος σαφής.
ἀλλ' οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη,
ἔα μ' ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
πιστὸν φυλάσσων· κοὔποτ' Οἰδίπουν ἐρεῖς
ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
τῶν ἐνθάδ', εἴπερ μὴ θεοὶ ψεύσουσί με.
ΧΟ. *ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ' ἔπη*
γῇ τῇδ' ὅδ' ἁνὴρ ὡς τελῶν ἐφαίνετο.
ΘΗ. *τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι*
τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορύξενος

617. τὰ ed. Lond. a 1722. τε vulgo.
620. δορὶ vulgo. δόρει Hermannus, idem recte facturus infra v. 1314. 1386. ubi altera forma in metrum peccat. Cf. Dindorf. ad Aj. 1056. qui vereor tamen ut recte δόρει Sophocli ubïque restituendum putet.
621. ἵνα. *ubi, quo loco.* Hermannus: Illo in loco ubi sepultus esset Œdipus, cladem accepturi erant Thebani.
625. ἔα μ' ἐν οἷσιν ἠρξάμην. *sufficiat dixisse quæ exponere cœpi.* Wunder.
630. ἁνὴρ Reisigius. ἀνὴρ vulgo.
632. ὅτῳ Suid. s. δορύξενος. vulg. ὅτου.

κοινὴ παρ' ἡμῖν αἰέν ἐστιν ἑστία;
ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος
γῇ τῇδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει.
ἁγὼ σεβισθεὶς οὔποτ' ἐκβαλῶ χάριν
τὴν τοῦδε, χώρᾳ δ' ἔμπαλιν κατοικιῶ.
εἰ δ' ἐνθάδ' ἡδὺ τῷ ξένῳ μίμνειν, σέ νιν
τάξω φυλάσσειν· εἰ δ' ἐμοῦ στείχειν μέτα
τόδ' ἡδύ, τούτων, Οἰδίπου, δίδωμί σοι
κρίναντι χρῆσθαι. τῇδε γὰρ ξυνοίσομαι.
ΟΙ. *ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ.*
ΘΗ. *τί δῆτα χρῄζεις; ἦ δόμους στείχειν ἐμούς;*
ΟΙ. *εἴ μοι θέμις γ' ἦν. ἀλλ' ὁ χῶρός ἐσθ' ὅδε,*
ΘΗ. *ἐν ᾧ τί πράξεις; οὐ γὰρ ἀντιστήσομαι.*
ΟΙ. *ἐν ᾧ κρατήσω τῶν ἔμ' ἐκβεβληκότων.*
ΘΗ. *μέγ' ἂν λέγοις δώρημα τῆς συνουσίας.*
ΟΙ. *εἰ σοί γ' ἅπερ φῂς ἐμμενεῖ τελοῦντί μοι.*
ΘΗ. *θάρσει τὸ τοῦδέ γ' ἀνδρός· οὔ σε μὴ προδῶ.*
ΟΙ. *οὔτοι σ' ὑφ' ὅρκου γ' ὡς κακὸν πιστώσομαι.*
ΘΗ. *οὔκουν πέρα γ' ἂν οὐδὲν ἢ λόγῳ φέροις.*
ΟΙ. *πῶς οὖν ποιήσεις;* ΘΗ. *τοῦ μάλιστ' ὄκνος σ' ἔχει;*
ΟΙ. *ἥξουσιν ἄνδρες* ΘΗ. *ἀλλὰ τοῖσδ' ἔσται μέλον.*
ΟΙ. *ὅρα με λείπων* ΘΗ. *μὴ δίδασχ' ἃ χρή με δρᾶν.*
ΟΙ. *ὀκνοῦντ' ἀνάγκη.* ΘΗ. *τοὐμὸν οὐκ ὀκνεῖ κέαρ.*
ΟΙ. *οὐκ οἶσθ' ἀπειλὰς* ΘΗ. *οἶδ' ἐγώ σε μή τινα*
ἐνθένδ' ἀπάξοντ' ἄνδρα πρὸς βίαν ἐμοῦ.
πολλαὶ δ' ἀπειλαὶ πολλὰ δὴ μάτην ἔπη

633. Nihil aliud dicere voluit, quam semper apud se paratum esse Œdipo hospitium pro mutua quadam vel inter ipsos vel inter majores eorum necessitudine. Hermann.
637. ἔμπαλιν, *e contrario.* Vid. Valck. ad Hipp. 388. Idem. ἔμπολιν Musgravius, ut infra v. 1156. quod probat Dindorfius.
640. τὸ δ' ἡδὺ τούτων codd. aliquot minus bene. Oratio liberius conformatur, ut apodosis, quæ post ἡδὺ deesse videtur, compensetur paullo post adjecto τῇδε γὰρ ξυνοίσομαι. Mox Οἰδίπου La. Lb. Οἰδίπους vulgo.
653. ἅνδρες recte pro ἄνδρες scripsisse videtur Hermann.
658. *Multæ minæ multa jam inania dicta jactarunt per iram.* Reisig. Minas hominum pro minantibus dixit, ut notavit Scholiasta.

θυμῷ κατηπείλησαν, ἀλλ' ὁ νοῦς ὅταν
αὑτοῦ γένηται, φροῦδα τἀπειλήματα.
κείνοις δ' ἴσως κεὶ δείν' ἐπερρώσθη λέγειν
τῆς σῆς ἀγωγῆς, οἶδ' ἐγώ, φανήσεται
μακρὸν τὸ δεῦρο πέλαγος οὐδὲ πλώσιμον.
θαρσεῖν μὲν οὖν ἔγωγε κἄνευ τῆς ἐμῆς
γνώμης ἐπαινῶ, Φοῖβος εἰ προὔπεμψέ σε·
ὅμως δὲ κἀμοῦ μὴ παρόντος οἶδ' ὅτι
τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς.

ΧΟ. εὐίππου, ξένε, τᾶσδε χώρας στροφὴ α΄.
ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα,
τὸν ἀργῆτα Κολωνόν, ἔνθ'
ἁ λίγεια μινύρεται
θαμίζουσα μάλιστ' ἀηδὼν
χλωραῖς ὑπὸ βάσσαις,
τὸν οἰνῶπ' ἀνέχουσα κισσὸν
καὶ τὰν ἄβατον θεοῦ
φυλλάδα μυριόκαρπον ἀνάλιον
ἀνήνεμόν τε πάντων
χειμώνων· ἵν' ὁ βακχιώτας

660. *αὑτοῦ. sui compos.*

661. ἐπερρώσθη sc. ὁ νοῦς. κείνοις et cum ἐπερρώσθη et cum φανήσεται construendum monuit Hermannus. Mox τῆς σῆς ἀγωγῆς *de te reducendo.* Vid. supr. v. 355. De ἴσως cum asseverandi vi dicto Schaeferum ad Long. p. 357. citat Reisigius. Cf. autem Hermanni notam.

665. κἄνευ γε τῆς ἐμῆς ἐγὼ Porsonus. Nihil mutandum docet Hermannus. Cf. ad v. 505.

669. γᾶς ἔπαυλα unius instar substantivi est, a quo pendet alter genitivus χώρας. DINDORF. Hermannus confert Æsch. Pr. V. 434. κελαινὸς δ' Ἄϊδος ὑποβρέμει μυχὸς γᾶς. Cf. Ant. 1205. Phil. 489.

670. ἀργῆτα. λευκόγεων Schol. Mox ἔνθ' ἁ Porsonus. Libri ἔνθα.

674. οἴνωπ' vulgo. Correxit Brunckius. De ἀνέχουσα ita Hermannus: 'Luscinia *hederam sustinere* quomodo dicatur non video, nisi forte, quoniam in sustinendo perferendoque diuturnitatis notio inest, ita eo verbo usum putabimus Sophoclem, ut *constanter teneri* arbores istas ab lusciniis indicaret.' Dindorfius οἰνῶπα νέμουσα conjecit, quod nescio quid habet quod minus placet.

675. θεοῦ. Bacchi.

676. φυλλάδα μυριόκαρπον. Videtur omnino arboribus densum nemus describi Baccho sacrum. HERMANN. Minus bene *laurum* intelligit Elmsleius.

ἀνάλιον T. pr. vulgo ἀνήλιον.

678. Ita Lb. vulgo βακχειώτας.

ἀεὶ Διόνυσος ἐμβατεύει
θείαις ἀμφιπολῶν τιθήναις.
θάλλει δ' οὐρανίας ὑπ' ἄχνας ἀντιστρ. α΄.
ὁ καλλίβοτρυς κατ' ἦμαρ ἀεὶ
νάρκισσος, μεγάλαιν θεαῖν
ἀρχαῖον στεφάνωμ', ὅ τε
χρυσαυγὴς κρόκος· οὐδ' ἄυπνοι
κρῆναι μινύθουσιν
Κηφισοῦ νομάδες ῥεέθρων,
ἀλλ' αἰὲν ἐπ' ἤματι
ὠκυτόκος πεδίων ἐπινίσσεται
ἀκηράτῳ ξὺν ὄμβρῳ
στερνούχου χθονός· οὐδὲ Μουσᾶν
χοροί νιν ἀπεστύγησαν, οὐδ' *
ἁ χρυσάνιος Ἀφροδίτα.
ἔστιν δ' οἷον ἐγὼ γᾶς Ἀσίας οὐκ ἐπακούω, στροφὴ β΄.
οὐδ' ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ Πέλοπος πώποτε βλαστὸν
φύτευμ' ἀχείρωτον αὐτόποιον

680. θεαῖς Elmsleius, ut versus cum antistrophico congrueret. Displicet θεαῖς, et vitium in v. antistroph. 692. quærendum videtur. ἀμφιπολῶν τιθήναις autem est *inter nutrices oberrans.*

683. μεγάλαιν θεαῖν. Cererem dicit et Proserpinam, quarum hanc potissime respicere videtur, cui narcissum præcipue in deliciis fuisse poetæ tradunt. Ita Pamphos ap. Pausan. ix. 31. 6. Hom. Hymn. Cer. quos auctores citavit Hermannus.

687. νομάδες. *agros pererrantes.*

689. πεδίων ἐπινίσσεται jungenda.

692. νιν. Colonum respicit. Mox pro οὐδ' ἁ quod habent Lb. B. V. Hermannus οὐδὲ μὰν conjecit. Similis hujus particulæ collocatio Œd. T. 870. οὐδὲ μήν ποτε λάθα κατακοιμάσει.

694. γᾶς Ἀσίας male pro genitivis loci accipit Wunderus. Immo cum οἷον οὐκ ἐπακούω conjungenda: *quale tellurem Asiæ non habere audio.* Hermannus confert Herod. v. 82. λέγεται δὲ καὶ ὡς ἐλαῖαι ἔσαν ἄλλοθι γῆς οὐδαμοῦ κατ' ἐκεῖνον τὸν χρόνον ἢ Ἀθήνῃσι. Idem annotat: 'ut ab Sophocle hic Asia et Peloponnesus pro orientis et occidentis oris nominantur, ita Scythæ et Peloponnesus ab Æschylo Eum. 703. οὔτ' ἐν Σκύθαισιν, οὔτε Πέλοπος ἐν τόποις.'

698. ἀχείρητον La. F. Certe ἀχείρωτον in hoc sensu, sc. ἀχειρούργητον, non alibi reperitur. Hunc usum notavit Pollux ii. 154. 'Plantatio non manu cujusdam, sed per se ipsam facta intelligitur, quod est αὐτόποιον.' HERMANN.

ἐγχέων φόβημα δαΐων,
ὃ τᾷδε θάλλει μέγιστα χώρᾳ,
γλαυκᾶς παιδοτρόφου φύλλον ἐλαίας·
τὸ μέν τις οὔτε † νεαρὸς οὔτε γήρᾳ
σημαίνων ἁλιώσει χερὶ πέρ-
σας· ὁ γὰρ αἰὲν ὁρῶν κύκλος
λεύσσει νιν Μορίου Διός,
χἀ γλαυκῶπις Ἀθάνα.
ἄλλον δ' αἶνον ἔχω ματροπόλει τᾷδε κράτιστον, ἀντ. β'.
δῶρον τοῦ μεγάλου δαίμονος, εἰ-

699. *ἐγχέων φόβημα δαΐων.* Spectant hæc, ut ex Philochoro et Androtione annotavit Scholiasta, ad Lacedæmoniorum religionem, qui quamvis terram Atticam incursionibus suis sæpe popularentur, tamen ab Academia et olivis ibi positis manus abstinere solebant. DINDORF.

702. *οὔτε νεαρὸς* libri veteres, pro quo *οὐ νεαρὸς* Porsonus, *οὐ νέος* conjecit Hermannus. Dindorfius: 'Excidit vocabulum quod a vocali incepit et trochæi mensuram habuit, cui grammaticus aliquis *νεαρὸς* substituit.' Vereor autem ut ille recte *ἁβὸς* reposuerit. De re exscribenda est Reisigii annotatio: *Non juvenis neque senex imperator delebit.* Vaticinatur ex eventis Chorus. Xerxes enim prior est, alter Archidamus. Nam Lacedæmonii hoc duce *διὰ τὰς ἀρὰς* quidem *ἀπέσχοντο τῶν λεγομένων μορίων*, ut secundum Androtionem narrat Scholiasta. Xerxes autem, teste Herodoto lib. viii. c. 55. eversa Acropoli et Minervæ olea combusta, jussit altero die Athenienses sacra facere Minervæ. Qui quum in templum ascendissent, viderunt e trunco oleæ denuo effloruisse ramum in cubiti longitudinem, *ὥρων βλαστὸν ἐκ τοῦ στελέχους ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα.* Pausaniæ atque Libanii sententias Herodoteis contulit Valckenaerius. Juvenem autem fuisse Xerxem eo tempore confirmat Æschyl. Pers. 782. *Ξέρξης δ' ἐμὸς παῖς ὢν νέος νεοφρονεῖ.* Porro Archidamum ætate jam provectum colligimus ex ipsius oratione apud Thucydidem i. 80. *καὶ αὐτὸς πολλῶν ἤδη πολέμων ἔμπειρός εἰμι, ὦ Λακεδαιμόνιοι, καὶ ὑμῶν τοὺς ἐν τῇ αὐτῇ ἡλικίᾳ ὁρῶ.* Hæc ille.

703. *χερὶ* Heathius. *χειρὶ* libri.

704. *αἰὲν ὁρῶν* Porsonus. *εἰς αἰὲν ὁρῶν* La. Lb. B. T. V. *κύκλος* *oculus* est, ut sæpe.

705. *Μορίου Διός.* Hoc cognomen a sacris olivis ductum quæ in Academia florebant, et in Jovis tutela erant. *Μορίαι* quamobrem olivæ hæ dictæ fuerint mythicam rationem affert Schol. Ar. Nub. 1005. *ἡττηθεὶς τῆς Ἀθηνᾶς ὁ Ποσειδῶν ἐπὶ τῇ τῆς ἐλαίας ἐπιδείξει, ἔπεμψε τὸν υἱὸν αὐτοῦ Ἁλιρρόθιον ταύτην τεμοῦντα. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν ταύτης μὲν ἠστόχησε, τὸν δὲ πόδα αὐτοῦ πλήξας ἐτελεύτησε, καὶ οὕτω μορία ἡ ἐλαία ἐκλήθη ὡς μόρου παρεκτική.* Aliam rationem vide in Wordsworth's *Athens and Attica*, p. 136. not.

709. *τοῦ μεγάλου δαίμονος.* *Neptuni.*

πεῖν, * * αὔχημα μέγιστον,
εὔιππον, εὔπωλον, εὐθάλασσον.
ὦ παῖ Κρόνου, σὺ γάρ νιν εἰς
τόδ' εἷσας αὔχημ', ἄναξ Ποσειδάν,
ἵπποισιν τὸν ἀκεστῆρα χαλινὸν
πρώταισι ταῖσδε κτίσας ἀγυιαῖς.
ἁ δ' εὐήρετμος ἔκπαγλ' ἁλία
χερσὶ παραπτομένα πλάτα
θρώσκει, τῶν ἑκατομπόδων
Νηρῄδων ἀκόλουθος.

ΑΝ. ὦ πλεῖστ' ἐπαίνοις εὐλογούμενον πέδον,
νῦν σοι τὰ λαμπρὰ ταῦτα δεῖ φαίνειν ἔπη.
ΟΙ. τί δ' ἔστιν, ὦ παῖ, καινόν; ΑΝ. ἆσσον ἔρχεται
Κρέων ὅδ' ἡμῖν οὐκ ἄνευ πομπῶν, πάτερ.
ΟΙ. ὦ φίλτατοι γέροντες, ἐξ ὑμῶν ἐμοὶ
φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας.
ΧΟ. θάρσει, παρέσται. καὶ γὰρ εἰ γέρων κυρῶ,
τὸ τῆσδε χώρας οὐ γεγήρακε σθένος.

ΚΡΕΩΝ.

ἄνδρες χθονὸς τῆσδ' εὐγενεῖς οἰκήτορες,
ὁρῶ τιν' ὑμᾶς ὀμμάτων εἰληφότας
φόβον νεωρῆ τῆς ἐμῆς ἐπεισόδου,
ὃν μήτ' ὀκνεῖτε μήτ' ἀφῆτ' ἔπος κακόν.
ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθείς, ἐπεὶ

710. *χθονὸς* metri explendi gratia addidit Porsonus.

714. *ἀκεστῆρα χαλινὸν* dicit, qui medeatur ferociæ equorum. Pindar. Ol. xiii. 95. *φίλτρον ἵππειον* vocat. HERMANN.

717. *παραπτομένα* ex *παραπετομένα* contractum videtur. Nec tamen inde sequitur *πτέσθαι* in Œd. T. 17. præsens esse, quod voluit Hermannus.

718. *ἑκατομπόδων.* Quinquaginta scilicet erant Nereides.

725. *φαίνειν.* *Nunc comprobare te veritatem oportet harum splendidarum laudum.* Cf. Trach. 239. HERMANN.

729. *ὀμμάτων εἰληφότας φόβον.* Nam oculi metus indicio esse solent. Cf. Ajac. 140. *πτηνῆς ὡς ὄμμα πελείας.*

731. *ὃν μήτ' ὀκνεῖτε.* Pronomen ex *ἐμῆς* repetendum, quod monuit Vauvillersius. *μήποτ' ὀκνεῖν* suspicari videtur Hermannus annot. ad Elmsl. Med. v. 4. 5.

γέρων μέν εἰμι, πρὸς πόλιν δ' ἐπίσταμαι
σθένουσαν ἥκων, εἴ τιν' Ἑλλάδος, μέγα.
ἀλλ' ἄνδρα τόνδε τηλικόσδ' ἀπεστάλην
πείσων ἕπεσθαι πρὸς τὸ Καδμείων πέδον,
οὐκ ἐξ ἑνὸς στείλαντος, ἀλλ' ἀνδρῶν ὕπο
πάντων κελευσθείς, οὕνεχ' ἧκέ μοι γένει
τὰ τοῦδε πενθεῖν πήματ' εἰς πλεῖστον πόλεως.
ἀλλ', ὦ ταλαίπωρ' Οἰδίπους, κλύων ἐμοῦ
ἱκοῦ πρὸς οἴκους. πᾶς σε Καδμείων λεὼς
καλεῖ δικαίως· ἐκ δὲ τῶν μάλιστ' ἐγώ,
ὅσῳπερ, εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν
κάκιστος, ἀλγῶ τοῖσι σοῖς κακοῖς, γέρον,
ὁρῶν σε τὸν δύστηνον, ὄντα μὲν ξένον,
ἀεὶ δ' ἀλήτην κἀπὶ προσπόλου μιᾶς
βιοστερῆ χωροῦντα, τὴν ἐγὼ τάλας
οὐκ ἄν ποτ' ἐς τοσοῦτον αἰκίας πεσεῖν
ἔδοξ', ὅσον πέπτωκεν ἥδε δύσμορος,

734. *εἴ τιν'.* Cf. Aj. 487. *ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρός, εἴπερ τινος σθένοντος ἐν πλούτῳ Φρυγῶν.* Elmsl.

735. *τηλικόσδ'* recte correxisse videtur Brunckius. *τηλικόνδ'* veteres. Propter senectutem id sibi munus demandatum ait ut Œdipum reduceret.

737. Pro eo quod in mente habuerat Creon dicere, *οὐκ ἐξ ἑνὸς ἀνδρὸς ἀλλ' ὑπὸ πάντων*, ita locutus est, ut *ἀνδρῶν* in altera parte sententiæ poneret. Hermann.

741. *ἴκου* vulgo. Correxit Elmsleius.

743. *πλεῖστον κάκιστος.* Cf. Matth. Gr. Gr. 461. s. fin.

744. *ἀλγῶ τοῖσι σοῖς κακοῖς, γέρον.* Brunckius ex conjectura *πλέον.* Id ipsum s. *μᾶλλον*, ad *ὅσῳπερ*, si placet, subaudi. Plat. Euthyphr. c. 12. p. 41. Fisch. *Κινδυνεύω ἄρα, ὦ ἑταῖρε, ἐκείνου τοῦ ἀνδρὸς δεινότερος γεγονέναι τὴν τέχνην τοσούτῳ, ὅσῳ ὁ μὲν τὰ αὑτοῦ μόνον ἐποίει οὐ μένοντα, ἐγὼ δέ, πρὸς τοῖς ἐμαυτοῦ, ὡς ἔοικε, καὶ τὰ ἀλλότρια.* Similiora etiam hæc Luciani t. i. p. 735. *καὶ μάλιστα τοῖς ἄρχουσι καὶ πολλὰ πράττουσιν ὑμῖν, ὅσῳ καὶ πρὸς πολλὰ δεῖσθε τοῦ σώματος.* t. ii. p. 187. *μάλιστα δὲ παρ' ὑμῖν, ὅσῳ ἱεροί τέ ἐστε καὶ πάρεδροι τοῦ Πυθίου.* t. iii. p. 419. *καὶ μάλιστα, ὅσῳ νήφοντες ἐν εἰρήνῃ καὶ ἀναιμωτὶ ἔξω βέλους ἑστιασόμεθα.* Schaefer. Immo repetendum *μάλιστα*, nam constructio est; *εἰ μὴ ἔφυν πλεῖστον ἀνθρώπων κάκιστος, μάλιστα ἀλγῶ τοῖς σοῖς κακοῖς.* Dissimilis est Trach. v. 312. quem comparavit Schaeferus: nam ibi verbo *πλεῖστον* respondet *μόνη* quod ipsum superlativi notionem continet.

746. *κἀπὶ προσπόλου μιᾶς.* *una fultum comite.*

749. Ad *ὅσον* repete *ἐς*, de qua ellipsi jam diximus ad Dionys. Hal. de Comp. Verb. p. 325. Plato T. vii. p. 139. *ἐν πόλει ᾗ ἥκιστα πρόθυμοι ἄρχειν οἱ μέλλοντες ἄρξειν.* Xenoph. Hier. ii. 1. *ἔρχονται καὶ εἰς πόλεις ἃς ἂν βούλωνται.* Chandleri Inscr. 108. citata Schneidero Lex. Gr. v. *τριακάς: κατανεῖμαι αὐτὸν εἰς τριακάδα ἣν ἂν αὐτὸς βούληται.* Schaeferus, qui similia ex Latinis etiam scriptoribus comparavit.

ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα
πτωχῷ διαίτῃ, τηλικοῦτος, οὐ γάμων
ἔμπειρος, ἀλλὰ τοὐπιόντος ἁρπάσαι.
ἆρ' ἄθλιον τοὔνειδος, ὦ τάλας ἐγώ,
ὠνείδισ' εἰς σὲ κἀμὲ καὶ τὸ πᾶν γένος;
ἀλλ' οὐ γὰρ ἔστι τἀμφανῆ κρύπτειν, σύ νιν
πρὸς θεῶν πατρῴων, Οἰδίπους, πεισθεὶς ἐμοὶ
κρύψον, θελήσας ἄστυ καὶ δόμους μολεῖν
τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
εἰπών. ἐπαξία γάρ. ἡ δ' οἴκοι πλέον
δίκῃ σέβοιτ' ἄν, οὖσα σὴ πάλαι τροφός.
ΟΙ. ὦ πάντα τολμῶν κἀπὸ παντὸς ἂν φέρων
λόγου δικαίου μηχάνημα ποικίλον,
τί ταῦτα πειρᾷ καί με δεύτερον θέλεις
ἑλεῖν, ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλούς;
πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονός,
οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν,
ἀλλ' ἡνίκ' ἤδη μεστὸς ἦν θυμούμενος,
καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκύ,
τότ' ἐξεώθεις κἀξέβαλλες, οὐδέ σοι
τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον·
νῦν τ' αὖθις, ἡνίκ' εἰσορᾷς πόλιν τέ μοι

751. *πτωχῶι* La. quod restituit Hermannus. Legebatur *πτωχῇ.*

τηλικοῦτος pro *τηλικαύτη* dictum notavit Schaef. collato El. 614. ubi Clytæmnestra de filia sua, *καὶ ταῦτα τηλικοῦτος.*

755. Correxi *σύ νιν*, quod ad *τἀμφανῆ* s. *τοὔνειδος* referatur. Vix convenit *σύ νυν.* *σὺ* autem recte vidit Hermannus ad *ἐμὲ* non expressum referri; sensum enim esse: *sed quum aperta ego celare nequeam, tu ea cela redeundo.*

759. *ἡ οἴκοι πόλις.* *patria.* Brunck.

763. *καί με* Hermannus. *κἀμὲ* vulgo. *ταῦτα* autem *οὕτως* valet.

768. *ᾗ* Elmsleius. Vid. ad Œd. T. 1123.

ξυνοῦσαν εὔνουν τήνδε καὶ γένος τὸ πᾶν,
πειρᾷ μετασπᾶν, σκληρὰ μαλθακῶς λέγων.
καίτοι τοσαύτη τέρψις ἄκοντας φιλεῖν,
ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν
μηδὲν διδοίη μηδ' ἐπαρκέσαι θέλοι,
πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζοις, τότε
δωροῖθ', ὅτ' οὐδὲν ἡ χάρις χάριν φέρει·
ἆρ' ἂν ματαίου τῆσδ' ἂν ἡδονῆς τύχοις;
τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοί,
λόγῳ μὲν ἐσθλά, τοῖσι δ' ἔργοισιν κακά.
φράσω δὲ καὶ τοῖσδ', ὥς σε δηλώσω κακόν.
ἥκεις ἔμ' ἄξων, οὐχ ἵν' εἰς δόμους ἄγῃς,
ἀλλ' ὡς πάραυλον οἰκίσῃς, πόλις δέ σοι
κακῶν ἄνατος τῶνδ' ἀπαλλαχθῇ χθονός.
οὐκ ἔστι σοι ταῦτ', ἀλλά σοι τάδ' ἔστ', ἐκεῖ
χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί·
ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
χθονὸς λαχεῖν τοσοῦτον ἐνθανεῖν μόνον.
ἆρ' οὐκ ἄμεινον ἢ σὺ τἀν Θήβαις φρονῶ;
πολλῷ γ', ὅσῳπερ καὶ σαφεστέρων κλύω
Φοίβου τε καὐτοῦ Ζηνός, ὃς κείνου πατήρ.
τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα,
πολλὴν ἔχον στόμωσιν· ἐν δὲ τῷ λέγειν
κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
ἀλλ' οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι·
ἡμᾶς δ' ἔα ζῆν ἐνθάδ'. οὐ γὰρ ἂν κακῶς

775. *τοσαύτη*, sc. *μόνον*, ellipsi et alibi obvia. Cf. Œd. T. 1191.

779. *φέρει* La. pr. Lb. A. et hoc verius forte quam *φέροι* quod habent B. T. F. V. et La. suprascr. Nam *τότε* non ad sequentia, sed ad antecedentia *πλήρη δ' ἔχοντι κ. τ. λ.* refertur, cui deinde *ὅτ' οὐδὲν ἡ χάρις χάριν φέρει* explicandi caussa subjiciuntur.

786. Interpretandum videtur: *πόλις δὲ ἀπαλλαχθῇ ἄνατος κακῶν τῶνδε χθονός*, *ut civitas immunis evaderet eorum malorum, quæ patriæ imminere prædixerat oraculum.* GAISFORD. *τῆσδ'* pro *τῶνδ'* conjecit Scaliger.

790. *τοσοῦτον ἐνθανεῖν μόνον.* Æsch. Sept. c. Th. 731. contulit Hermannus.

795. *στόμωσις. δείνωσις. πανουργία.* SUIDAS.

οὐδ' ὧδ' ἔχοντες ζῶμεν, εἰ τερποίμεθα.
ΚΡ. πότερα νομίζεις δυστυχεῖν ἔμ' εἰς τὰ σὰ
ἢ σ' εἰς τὰ σαυτοῦ μᾶλλον ἐν τῷ νῦν λόγῳ;
ΟΙ. ἐμοὶ μέν ἐσθ' ἥδιστον, εἰ σὺ μήτ' ἐμὲ
πείθειν οἷός τ' εἶ μήτε τούσδε τοὺς πέλας.
ΚΡ. ὦ δύσμορ', οὐδὲ τῷ χρόνῳ φύσας φανεῖ
φρένας ποτ', ἀλλὰ λῦμα τῷ γήρᾳ τρέφει;
ΟΙ. γλώσσῃ σὺ δεινός· ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
δίκαιον ὅστις ἐξ ἅπαντος εὖ λέγει.
ΚΡ. χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια.
ΟΙ. ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις.
ΚΡ. οὐ δῆθ', ὅτῳ γε νοῦς ἴσος καὶ σοὶ πάρα.
ΟΙ. ἄπελθ', ἐρῶ γὰρ καὶ πρὸ τῶνδε, μηδέ με
φύλασσ' ἐφορμῶν ἔνθα χρὴ ναίειν ἐμέ.
ΚΡ. μαρτύρομαι τούσδ', οὐ σέ. πρὸς δὲ τοὺς φίλους
οἷ' ἀνταμείβει ῥήματ', ἤν σ' ἕλω ποτέ—
ΟΙ. τίς δ' ἄν με τῶνδε συμμάχων ἕλοι βίᾳ;
ΚΡ. ἦ μὴν σὺ κἄνευ τῶνδε λυπηθεὶς ἔσει.
ΟΙ. ποίῳ σὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις;
ΚΡ. παίδοιν δυοῖν σοι τὴν μὲν ἀρτίως ἐγὼ
ξυναρπάσας ἔπεμψα, τὴν δ' ἄξω τάχα.
ΟΙ. οἴμοι. ΚΡ. τάχ' ἕξεις μᾶλλον οἰμώζειν τάδε.
ΟΙ. τὴν παῖδ' ἔχεις μου; ΚΡ. τήνδε τ' οὐ μακροῦ
χρόνου.

800. *εἰς τά σά.* *quod attinet ad te.* ELMSL.

805. *λῦμα τῷ γήρᾳ τρέφει.* *dedecus vel in senectute vivis.*

807. *ἐξ ἅπαντος εὖ λέγει.* *ex omni caussa probabiliter dicendi materiam petit.* HERMANN.

809. *ὡς δή.* *quasi vero.* Æsch. Ag. 1633. *ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσει.*

810. *οὐ δῆθ' ὅτῳ γε κ. τ. λ.* sc. *καίρια λέγω.* *non ejus quidem judicio opportuna dico*, etc.

812. *ἐφορμῶν* ab *ἐφορμεῖν.* *Instare, adesse* significat, cum *custodiendi* et *præscribendi* molestia. ELLENDT. Angl. *controlling me as to where I must reside.*

814. *ἤν σ' ἕλω ποτέ.* Aposiopesis: *horum mihi pœnas dabis.*

816. *κἄνευ τῶνδε.* *etiamsi te non abstulero.* Schol. *καὶ χωρὶς τοῦ λαβεῖν σε εἰς Θήβας.* *τοῦδε* correxit Musgravius, sed eodem redit vulgata.

820. *οἴμοι* Brunckius. *ὤμοι* libri.

821. *τ'* Bothius. *γ'* libri.

ΟΙ. ἰὼ ξένοι, τί δράσετ᾽; ἦ προδώσετε,
κοὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;
ΧΟ. χώρει, ξέν᾽, ἔξω θᾶσσον· οὔτε γὰρ τὰ νῦν
δίκαια πράσσεις οὔθ᾽ ἃ πρόσθεν εἴργασαι.
ΚΡ. ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν
ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται.
ΑΝ. οἴμοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
θεῶν ἄρηξιν ἢ βροτῶν; ΧΟ. τί δρᾷς, ξένε;
ΚΡ. οὐχ ἅψομαι τοῦδ᾽ ἀνδρός, ἀλλὰ τῆς ἐμῆς.
ΟΙ. ὦ γῆς ἄνακτες. ΧΟ. ὦ ξέν᾽, οὐ δίκαια δρᾷς.
ΚΡ. δίκαια. ΧΟ. πῶς δίκαια; ΚΡ. τοὺς ἐμοὺς ἄγω.
ΟΙ. ἰὼ πόλις. στροφή.
ΧΟ. τί δρᾷς, ὦ ξέν᾽; οὐκ ἀφήσεις; τάχ᾽ εἰς
βάσανον εἶ χερῶν.
ΚΡ. εἴργου. ΧΟ. σοῦ μὲν οὔ, τάδε γε μωμένου.
ΚΡ. πόλει μάχει γάρ, εἴ τι πημαίνεις ἐμέ.
ΟΙ. οὐκ ἠγόρευον ταῦτ᾽ ἐγώ; ΧΟ. μέθες χεροῖν
τὴν παῖδα θᾶσσον. ΚΡ. μὴ ᾽πίτασσ᾽ ἃ μὴ κρατεῖς.
ΧΟ. χαλᾶν λέγω σοι. ΚΡ. σοὶ δ᾽ ἔγωγ᾽ ὁδοιπορεῖν.
ΧΟ. προβᾶθ᾽ ὧδε, βᾶτε βᾶτ᾽, ἔντοποι.
πόλις ἐναίρεται, πόλις ἐμά, σθένει.
προβᾶθ᾽ ὧδέ μοι.
ΑΝ. ἀφέλκομαι δύστηνος, ὦ ξένοι ξένοι.
ΟΙ. ποῦ, τέκνον, εἶ μοι; ΑΝ. πρὸς βίαν πορεύομαι.
ΟΙ. ὄρεξον, ὦ παῖ, χεῖρας. ΑΝ. ἀλλ᾽ οὐδὲν σθένω.
ΚΡ. οὐκ ἄξεθ᾽ ὑμεῖς; ΟΙ. ὦ τάλας ἐγώ, τάλας.
ΚΡ. οὔκουν ποτ᾽ ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι

826. ὑμῖν. Comites suos alloquitur.

830. τῆς ἐμῆς. sc. ut sororis filiæ.

833. ἰὼ πόλις. Vulgo Antigonæ tribuuntur. Correxit Wunderus.

837. μαχεῖ et mox πημανεις Porsonus. Mutatio vix necessaria. πόλει per ταῖς Θήβαις interpretatur Schol. unde correcti libri veteres qui hæc verba Œdipo assignant.

838. οὐκ ἠγόρευον ταῦτ᾽ ἐγώ; Œdipo recte assignat Mudgius. Choro libri omnes. Mox vulgo Κρ. μέθες — Χορ. μὴ — Κρ. χαλᾶν. Χορ. σοὶ δ᾽ ἔγωγ᾽ ὁδοιπορεῖν. προβᾶθ᾽ κ. τ. λ. Correxit Wunderus.

841. ἔντοποι Brunckius. ἐντόπιοι vulgo.

848. Schol. ἐκ τῶν θυγατέρων, αἷς ὡς σκήπτροις ἐχρῆτο καὶ βακτηρίᾳ.

ὁδοιπορήσεις· ἀλλ᾽ ἐπεὶ νικᾶν θέλεις
πατρίδα τε τὴν σὴν καὶ φίλους, ὑφ᾽ ὧν ἐγὼ
ταχθεὶς τάδ᾽ ἔρδω, καὶ τύραννος ὢν ὅμως,
νίκα. χρόνῳ γάρ, οἶδ᾽ ἐγώ, γνώσει τάδε,
ὁθούνεκ᾽ αὐτὸς αὑτὸν οὔτε νῦν καλὰ
δρᾷς οὔτε πρόσθεν εἰργάσω βίᾳ φίλων,
ὀργῇ χάριν δούς, ἥ σ᾽ ἀεὶ λυμαίνεται.
ΧΟ. ἐπίσχες αὐτοῦ, ξεῖνε. ΚΡ. μὴ ψαύειν λέγω.
ΧΟ. οὔτοι σ᾽ ἀφήσω, τῶνδέ γ᾽ ἐστερημένος.
ΚΡ. καὶ μεῖζον ἆρα ῥύσιον πόλει τάχα
θήσεις. ἐφάψομαι γὰρ οὐ ταύταιν μόναιν.
ΧΟ. ἀλλ᾽ ἐς τί τρέψει; ΚΡ. τόνδ᾽ ἀπάξομαι λαβών.
ΧΟ. δεινὸν λέγεις. ΚΡ. ὡς τοῦτο νῦν πεπράξεται,
ἢν μή μ᾽ ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ.
ΟΙ. ὦ φθέγμ᾽ ἀναιδές, ἦ σὺ γὰρ ψαύσεις ἐμοῦ;
ΚΡ. αὐδῶ σιωπᾶν. ΟΙ. μὴ γὰρ αἵδε δαίμονες
θεῖέν μ᾽ ἄφωνον τῆσδε τῆς ἀρᾶς ἔτι,
ὅς μ᾽, ὦ κάκιστε, ψιλὸν ὄμμ᾽ ἀποσπάσας
πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχει βίᾳ.
τοιγὰρ σὲ καὐτὸν καὶ γένος τὸ σὸν θεῶν
ὁ πάντα λεύσσων Ἥλιος δοίη βίον
τοιοῦτον οἷον κἀμὲ γηρᾶναι ποτέ.
ΚΡ. ὁρᾶτε ταῦτα, τῆσδε γῆς ἐγχώριοι;
ΟΙ. ὁρῶσι κἀμὲ καὶ σέ, καὶ φρονοῦσ᾽ ὅτι
ἔργοις πεπονθὼς ῥήμασίν σ᾽ ἀμύνομαι.
ΚΡ. οὔτοι καθέξω θυμόν, ἀλλ᾽ ἄξω βίᾳ

849. ὁδοιπορήσεις codd. plerique. ὁδοιπορήσῃς A. Ald.

858. ῥύσιον] πόλει Scholiasta ταῖς Θήβαις interpretatur: quod ita esse non potest. πόλις enim sic positum non potest non referri ad eam civitatem ubi hæc gerebantur. ῥύσιον *pignus* est, *quod ob prædam abactam capitur.* Sensus est: *facies ut etiam major sit præda, ob quam abactam civitati tuæ ultio sumenda erit:* non enim puellas tantum, sed Œdipum ipsum auferam. Ita fere Brunckius.

863. ψαύσεις B. T. ψαύεις plerique.

865. τῆς ed. Lond. 1747. Libri γῆς.

866. ψιλὸν ὄμμα Antigonam dicit.

868. σέ τ᾽ αὐτὸν Brunckius. σε χ᾽ αὐτὸν La.

870. γηρᾶναι olim. γηράναι Dindorfius.

κεὶ μοῦνός εἰμι τόνδε καὶ χρόνῳ βραδύς.
ΟΙ. ἰὼ τάλας. *ἀντιστροφή.*
ΧΟ. ὅσον λῆμ' ἔχων ἀφίκου, ξέν', εἰ
τάδε δοκεῖς τελεῖν.
ΚΡ. δοκῶ. ΧΟ. τάνδ' ἄρ' οὐκ ἔτι νέμω πόλιν.
ΚΡ. τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν.
ΟΙ. ἀκούεθ' οἷα φθέγγεται; ΧΟ. τά γ' οὐ τελεῖ.
* * * * * ΚΡ. Ζεὺς ταῦτ' ἂν εἰδείη, σὺ δ' οὔ.
ΧΟ. ἆρ' οὐχ ὕβρις τάδ'; ΚΡ. ὕβρις, ἀλλ' ἀνεκτέα.
ΧΟ. ἰὼ πᾶς λεώς, ἰὼ γᾶς πρόμοι,
μόλετε σὺν τάχει, μόλετ'· ἐπεὶ πέραν
περῶσι * * δή.
ΘΗ. τίς ποθ' ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
βουθυτοῦντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίῳ θεῷ
τοῦδ' ἐπιστάτῃ Κολωνοῦ; λέξαθ', ὡς εἰδῶ τὸ πᾶν
οὗ χάριν δεῦρ' ᾖξα θᾶσσον ἢ καθ' ἡδονὴν ποδός.
ΟΙ. ὦ φίλτατ', ἔγνων γὰρ τὸ προσφώνημά σου,
πέπονθα δεινὰ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως.
ΘΗ. τὰ ποῖα ταῦτα, τίς δ' ὁ πημήνας; λέγε.
ΟΙ. Κρέων ὅδ', ὃν δέδορκας, οἴχεται τέκνων
ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα.
ΘΗ. πῶς εἶπας; ΟΙ. οἷά περ πέπονθ' ἀκήκοας.
ΘΗ. οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν
πρὸς τούσδε βωμοὺς πάντ' ἀναγκάσει λεὼν
ἄνιππον ἱππότην τε θυμάτων ἄπο
σπεύδειν ἄπο ῥυτῆρος, ἔνθα δίστομοι

μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοί,
ὡς μὴ παρέλθωσ' αἱ κόραι, γέλως δ' ἐγὼ
ξένῳ γένωμαι τῷδε, χειρωθεὶς βίᾳ;
ἴθ', ὡς ἄνωγα, σὺν τάχει. τοῦτον δ' ἐγώ,
εἰ μὲν δι' ὀργῆς ἧκον, ἧς ὅδ' ἄξιος,
ἄτρωτον οὐ μεθῆκ' ἂν ἐξ ἐμῆς χερός·
νῦν δ' ὥσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων,
τούτοισι κοὐκ ἄλλοισιν ἁρμοσθήσεται.
οὐ γάρ ποτ' ἔξει τῆσδε τῆς χώρας, πρὶν ἂν
κείνας ἐναργεῖς δεῦρό μοι στήσῃς ἄγων.
ἐπεὶ δέδρακας οὔτ' ἐμοῦ καταξίως
οὔθ' ὧν πέφυκας αὐτὸς οὔτε σῆς χθονός,
ὅστις δίκαι' ἀσκοῦσαν εἰσελθὼν πόλιν
κἄνευ νόμου κραίνουσαν οὐδὲν εἶτ' ἀφεὶς
τὰ τῆσδε τῆς γῆς κύρι' ὧδ' ἐπεισπεσὼν
ἄγεις θ' ἃ χρῄζεις καὶ παρίστασαι βίᾳ.
καί μοι πόλιν κένανδρον ἢ δούλην τινὰ
ἔδοξας εἶναι, κἄμ' ἴσον τῷ μηδενί.
καίτοι σε Θῆβαί γ' οὐκ ἐπαίδευσαν κακόν·
οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν,
οὐδ' ἄν σ' ἐπαινέσειαν, εἰ πυθοίατο
συλῶντα τἀμὰ καὶ τὰ τῶν θεῶν, βίᾳ
ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
οὔκουν ἔγωγ' ἂν σῆς ἐπεμβαίνων χθονός,
οὐδ' εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
ἄνευ γε τοῦ κραίνοντος, ὅστις ἦν, χθονός,
οὔθ' εἷλκον οὔτ' ἂν ἦγον, ἀλλ' ἠπιστάμην

879. νεμῶ ex Scholiasta et Suida, qui νομιῶ interpretantur, correxerunt quidam. Sed longe fortius est præsens. Musgravius: *ergo hanc non amplius censeo civitatem esse*, h. e. sui juris.

882. Deest aliquid, quod in versus initio potius quam in fine supplendum videtur. Ingeniose Dindorfius: τά γ' οὐ τελεῖ εἰ Ζεύς. Κρ. Ζεὺς ἂν εἰδείη, σὺ δ' οὔ.

886. περῶσι δὴ libri veteres. περῶσ' οἵδε δὴ conjecit Elmsleius.

890. Phil. 206. στίβου κατ' ἀνάγκαν ἕρποντος comparat Nevius. Suidas: ἀντὶ τοῦ, ταχύτερον ἢ ὡς ἔδει βαδίζειν.

900. ἄπο ῥυτῆρος. Ita Reisigius, præeunte Bast. Epist. Crit. p. 132. Vulgo ἀπὸ ῥυτῆρος. ἀπαὶ Triclinius. Bene *detractis frenis* vertit Hermannus. Angl. *at full gallop*. Phrynichus Bekkeri, p. 24. ἀπὸ ῥυτῆρος τρέχειν ἵππον· οἷον ἀπὸ χαλινοῦ ἢ ἄνευ χαλινοῦ.

907. ὥσπερ] οὕσπερ Reiskius: sed constructionem recte expedivit Hermannus: ὥσπερ αὐτὸς εἰσῆλθ' ἔχων τοὺς νόμους, (οὕτω) τούτοισι καὶ οὐκ ἄλλοισιν ἁρμοσθήσεται.

923. φωτῶν ἀθλίων ἱκτήρια. Vid. ad Œd. T. v. 261.

927. ἠπιστάμην. sc. ἄν, quod ex præcedentibus repetendum. Cf. infra 996. Œd. T. 937. Ant. 1157

ξένον παρ' ἀστοῖς ὡς διαιτᾶσθαι χρεών.
σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν
τὴν αὐτὸς αὑτοῦ, καί σ' ὁ πληθύων χρόνος
γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.
εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
τὰς παῖδας ὡς τάχιστα δεῦρ' ἄγειν τινά,
εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις
εἶναι βίᾳ τε κοὐχ ἑκών· καὶ ταῦτά σοι
τῷ νῷ θ' ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.

ΧΟ. ὁρᾷς ἵν' ἥκεις, ὦ ξέν'; ὡς ἀφ' ὧν μὲν εἶ
φαίνει δίκαιος, δρῶν δ' ἐφευρίσκει κακά.

ΚΡ. ἐγὼ οὔτ' ἄνανδρον τήνδε τὴν πόλιν λέγων,
ὦ τέκνον Αἰγέως, οὔτ' ἄβουλον, ὡς σὺ φῄς,
τοὔργον τόδ' ἐξέπραξα, γιγνώσκων δ' ὅτι
οὐδείς ποτ' αὐτοὺς τῶν ἐμῶν ἂν ἐμπέσοι
ζῆλος ξυναίμων, ὥστ' ἐμοῦ τρέφειν βίᾳ.
ᾔδη δ' ὁθούνεκ' ἄνδρα καὶ πατροκτόνον
κἄναγνον οὐ δεξοίατ', οὐδ' ὅτῳ γάμοι
ξυνόντες εὑρέθησαν ἀνόσιοι τέκνων.
τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
ἐγὼ ξυνῄδη χθόνιον ὄνθ', ὃς οὐκ ἐᾷ
τοιούσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει·
ᾧ πίστιν ἴσχων τήνδ' ἐχειρούμην ἄγραν.
καὶ ταῦτ' ἂν οὐκ ἔπρασσον, εἰ μή μοι πικρὰς
αὐτῷ τ' ἀρὰς ἠρᾶτο καὶ τὠμῷ γένει·
ἀνθ' ὧν πεπονθὼς ἠξίουν τάδ' ἀντιδρᾶν.

928. ξένον solus V. ξεῖνον reliqui.

938. δρῶν δ', i. e. τοῖς ἔργμασιν, ἐφευρίσκει κακός. Verba ἀφ' ὧν μὲν εἶ non de majoribus Creontis, sed de civibus ejus, Thebanis, qui etiam alibi hac in fabula laudantur, dicta sunt. HERMANN.

942. αὐτοὺς—ἐμπέσοι. Accusativum defendit Elmsleius comparans Iph. A. 809. recte, si ibi Ἑλλάδ' accusativus est, quod verum videtur. Cf. Matth. Gr. Gr. 426. αὐτοὺς autem Athenienses dicit. αὐτοῖς cum Lb. scripsit Brunckius.

945. δεξοίατ' Elmsleius. δεξαίατ' libri. Mox γάμοι τέκνων sunt matris cum filio connubium.

948. ξυνῄδη Brunckius. ξυνῄδειν libri. Mox χθόνιον recte Scholiasta ἐγχώριον sive αὐτόχθονα interpretatur.

θυμοῦ γὰρ οὐδὲν γῆράς ἐστιν ἄλλο πλὴν
θανεῖν· θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.
πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς· ἐπεὶ
ἐρημία με, κεἰ δίκαι' ὅμως λέγω,
σμικρὸν τίθησι· πρὸς δὲ τὰς πράξεις ὅμως,
καὶ τηλικόσδ' ὤν, ἀντιδρᾶν πειράσομαι.

ΟΙ. ὦ λῆμ' ἀναιδές, τοῦ καθυβρίζειν δοκεῖς,
πότερον ἐμοῦ γέροντος, ἢ σαυτοῦ, τόδε;
ὅστις φόνους σοι καὶ γάμους καὶ ξυμφορὰς
τοῦ σοῦ διῆκας στόματος, ἃς ἐγὼ τάλας
ἤνεγκον ἄκων. θεοῖς γὰρ ἦν οὕτω φίλον,
τάχ' ἄν τι μηνίουσιν εἰς γένος πάλαι.
ἐπεὶ καθ' αὑτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ
ἁμαρτίας ὄνειδος οὐδὲν ἀνθ' ὅτου
τάδ' εἰς ἐμαυτὸν τοὺς ἐμούς θ' ἡμάρτανον.
ἐπεὶ δίδαξον, εἴ τι θέσφατον πατρὶ
χρησμοῖσιν ἱκνεῖθ' ὥστε πρὸς παίδων θανεῖν,
πῶς ἂν δικαίως τοῦτ' ὀνειδίζοις ἐμοί,
ὃς οὔτε βλάστας πω γενεθλίους πατρός,
οὐ μητρὸς εἶχον, ἀλλ' ἀγέννητος τότ' ἦν;
εἰ δ' αὖ φανεὶς δύστηνος, ὡς ἐγὼ 'φάνην,
εἰς χεῖρας ἦλθον πατρὶ καὶ κατέκτανον,
μηδὲν ξυνιεὶς ὧν ἔδρων εἰς οὕς τ' ἔδρων,
πῶς ἂν τό γ' ἆκον πρᾶγμ' ἂν εἰκότως ψέγοις;

962. ξυμφορὰς] συμφορὰς ut videtur, codd. omnes.

965. τάχ' ἄν τι μηνίουσι] ἂν male ad participium refert Hermannus, quod cum solo τάχα jungendum erat. Similiter prorsus Œd. T. 523. qu. v.

966. καθ' αὑτόν γ'. *ad meipsum quod attinet.* Deinde ἐμοὶ in dativo ab ὄνειδος regitur: sicut ὀνειδίζειν ἁμαρτίαν τινὶ dicitur. Similiter dicta sunt τῶν σῶν Ἡρακλεῖ δωρημάτων Trach. 668. θεοῖσιν ὡς καταλλαχθῇ χόλου Aj. 744. infra v. 1026. τὰ γὰρ δόλῳ τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται. Vid. Hermann. App. ad Vig. vi.

967. ἀνθ' ὅτου—ἡμάρτανον. *propter quod peccavi.*

972. *Qui necdum a patre satus essem, nec a matre conceptus.* BRUNCK. De οὔτε sequenti οὐ, videndus omnino Schaeferus ad L. Bos. Ellips. s. v. κόλπος, not. οὔ τι male Brunckius.

973. ἢ scriptum est in marg. La. Vulgatam tamen retinui. Vid. ad Œd. T. 1123.

μητρὸς δέ, τλῆμον, οὐκ ἐπαισχύνει γάμους
οὔσης ὁμαίμου σῆς μ' ἀναγκάζων λέγειν,
οἵους ἐρῶ τάχ'. οὐ γὰρ οὖν σιγήσομαι,
σοῦ γ' εἰς τόδ' ἐξελθόντος ἀνόσιον στόμα.
ἔτικτε γάρ μ' ἔτικτεν, ὤμοι μοι κακῶν,
οὐκ εἰδότ' οὐκ εἰδυῖα· καὶ τεκοῦσά με
αὑτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
ἀλλ' ἓν γὰρ οὖν ἔξοιδα, σὲ μὲν ἑκόντ' ἐμὲ
κείνην τε ταῦτα δυστομεῖν· ἐγὼ δέ νιν
ἄκων ἔγημα, φθέγγομαί τ' ἄκων τάδε.
ἀλλ' οὐ γὰρ οὔτ' ἐν τοῖσδ' ἀκούσομαι κακὸς
γάμοισιν, οὔθ' οὓς αἰὲν ἐμφέρεις σύ μοι
φόνους πατρῴους ἐξονειδίζων πικρῶς.
ἓν γάρ μ' ἄμειψαι μοῦνον ὧν σ' ἀνιστορῶ.
εἴ τίς σε τὸν δίκαιον αὐτίκ' ἐνθάδε
κτείνοι παραστάς, πότερα πυνθάνοι' ἄν, εἰ
πατήρ σ' ὁ καίνων, ἢ τίνοι' ἂν εὐθέως;
δοκῶ μέν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
τίνοι' ἄν, οὐδὲ τοὔνδικον περιβλέποις.
τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακά,
θεῶν ἀγόντων· οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἐμοί.
σὺ δ', εἶ γὰρ οὐ δίκαιος, ἀλλ' ἅπαν καλὸν
λέγειν νομίζων, ῥητὸν ἄρρητόν τ' ἔπος,
τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον.
καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλόν,
καὶ τὰς Ἀθήνας, ὡς κατῴκηνται καλῶς·

986. *δυστομεῖν*] *δυσστομεῖν* male Brunckius. Gaisfordius; 'Recte MSS. plerique cum Junt. 2. *δυστομεῖν*. In talibus euphoniæ potius quam etymologiæ rationem habuerunt veteres.' Vid. ad Œd. T. v. 79.

993. *κτείνοι*. *occidere vellet*. Aj. v. 1126. *δίκαια γὰρ τόνδ' εὐτυχεῖν, κτείναντά με*; SCHAEF. Cf. Trach. 363.

996. *περιβλέποις*. Cf. v. 927.

999. *οἷς ἀντειπεῖν ἐμοί*. Duplicem dativum regit *ἀντειπεῖν*.

1001. *κατῴκηνται καλῶς*. *legibus bene temperatæ sunt.* Cf. 1535. *κἂν εὖ τις οἰκῇ*. WUNDER.

1002. Cf. ad Œd. T. 412.

κᾆθ' ὧδ' ἐπαινῶν πολλὰ τοῦδ' ἐκλανθάνει,
ὁθούνεκ' εἴ τις γῆ θεοὺς ἐπίσταται
τιμαῖς σεβίζειν, ἥδε τοῦθ' ὑπερφέρει,
ἀφ' ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ' ἐμὲ
αὐτόν τ' ἐχειροῦ τὰς κόρας τ' οἴχει λαβών.
ἀνθ' ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ
καλῶν ἱκνοῦμαι καὶ κατασκήπτω λιταῖς
ἐλθεῖν ἀρωγοὺς ξυμμάχους θ', ἵν' ἐκμάθῃς
οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις.
ΧΟ. ὁ ξεῖνος, ὦναξ, χρηστός· αἱ δὲ συμφοραὶ
αὐτοῦ πανώλεις, ἄξιαι δ' ἀμυναθεῖν.
ΘΗ. ἅλις λόγων· ὡς οἱ μὲν ἐξηρπασμένοι
σπεύδουσιν, ἡμεῖς δ' οἱ παθόντες ἕσταμεν.
ΚΡ. τί δῆτ' ἀμαυρῷ φωτὶ προστάσσεις ποιεῖν;
ΘΗ. ὁδοῦ κατάρχειν τῆς ἐκεῖ, πομπὸν δ' ἐμὲ
χωρεῖν, ἵν', εἰ μὲν ἐν τόποισι τοῖσδ' ἔχεις
τὰς παῖδας ἡμῖν, αὐτὸς ἐκδείξῃς ἐμοί·
εἰ δ' ἐγκρατεῖς φεύγουσιν, οὐδὲν δεῖ πονεῖν.
ἄλλοι γὰρ οἱ σπεύδοντες, οὓς οὐ μή ποτε

1009. *ἐχειροῦ* recte scriptum in cod. Paris. 2886. qui mox v. 1012. θ' suprascriptum habet, quod et Reisigius conjecit.

1015. *ἀμυνάθειν* vulgo. *ἀμυναθεῖν* hic et in similibus correxit Elmsleius, quem vide ad Med. 186. not. cujus mutationis quas rationes protulit, quanquam eæ sunt quas negligendas esse haud putaverim, tamen cum Hermanno ad Antig. 1096. hanc quæstionem diligentius adhuc tractatam videre desidero, quum tot loci ad regulam istam corrigendi veniant.

1016. *οἱ μὲν ἐξηρπασμένοι*. Antigone et Ismene. De masculino recte confert Elmsleius quæ dixit Hermannus ad Viger. not. 50.

1018. *ἀφαυρῷ* marg. Turn. Gaisfordius: vulgatam satis, opinor, tuetur locus ab Hermanno citatus, Eurip. Herc. F. 231. *γήρᾳ δὲ τρομερὰ γυῖα κἀμαυρὸν σθένος*.

1019. *τῆς ἐκεῖ*. *ἐκεῖ* pro *ἐκεῖσε* positum. Doederlinus confert Herod. vii. 147. *καὶ ἡμεῖς ἐκεῖ πλέομεν*. Thuc. iii. 71. *τοὺς ἐκεῖ καταπεφευγότας*, quorum tamen posterioris ratio paullo diversa est. Mox *πομπὸν δ' ἐμὲ* Hermannus pro vulgata *πομπὸν δέ με*: nam sensus est, ut vertit Schaeferus: *ut viam, qua puellæ abductæ sunt, præeundo monstres: ego vero tibi comes esse volo.*

1021. *ἡμῖν* recte correxisse videtur Elmsleius ad Bacch. 217. vulgata enim *ἡμῶν* ferri non potest. *ἥκων* conjecit Hermannus, quod cum sequentibus conjungit.

1022. *ἐγκρατεῖς*, sc. *τῶν παίδων*. *puellis jam potiti.*

χώρας φυγόντες τῆσδ' ἐπεύξονται θεοῖς.
ἀλλ' ἐξυφηγοῦ· γνῶθι δ' ὡς ἔχων ἔχει,
καί σ' εἷλε θηρῶνθ' ἡ τύχη· τὰ γὰρ δόλῳ
τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται.
κοὐκ ἄλλον ἕξεις εἰς τόδ'· ὡς ἔξοιδά σε
οὐ ψιλὸν οὐδ' ἄσκευον ἐς τοσήνδ' ὕβριν
ἥκοντα τόλμης τῆς παρεστώσης τανῦν,
ἀλλ' ἔσθ' ὅτῳ σὺ πιστὸς ὢν ἔδρας τάδε.
ἃ δεῖ μ' ἀθρῆσαι, μηδὲ τήνδε τὴν πόλιν
ἑνὸς ποιῆσαι φωτὸς ἀσθενεστέραν.
νοεῖς τι τούτων, ἢ μάτην τανῦν τέ σοι
δοκεῖ λελέχθαι χὤτε ταῦτ' ἐμηχανῶ;
ΚΡ. οὐδὲν σὺ μεμπτὸν ἐνθάδ' ὢν ἐρεῖς ἐμοί·
οἴκοι δὲ χἠμεῖς εἰσόμεσθ' ἃ χρὴ ποιεῖν.
ΘΗ. χωρῶν ἀπείλει νῦν· σὺ δ' ἡμίν, Οἰδίπους,
ἕκηλος αὐτοῦ μίμνε, πιστωθεὶς ὅτι,
ἢν μὴ θάνω 'γὼ πρόσθεν, οὐχὶ παύσομαι
πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.
ΟΙ. ὄναιο, Θησεῦ, τοῦ τε γενναίου χάριν
καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας.
ΧΟ. εἴην ὅθι δαΐων — στροφὴ α΄.
ἀνδρῶν τάχ' ἐπιστροφαὶ
τὸν χαλκοβόαν Ἄρη

1024. *ἐπεύξονται*, quod Brunckius textui intulit, verum puto. *ἐπεύχονται* La. Lb. A. pr. Paris. 2886. Ricc. Junt. 2. *ἐπεύχωνται* B. T. Vulgatam *ἐπεύχωνται*, quæ legitur in codd. quibusdam, non tueri videntur quæ hanc in partem a quibusdam disputata sunt. Jungenda autem *οὓς χώρας φυγόντες τῆσδε*, *quos cum effugerint et ex hac regione excesserint.* Herod. vii. 104. *οὐκ ἐῶν φεύγειν οὐδὲν πλῆθος ἀνθρώπων ἐκ μάχης.* *ἐπεύξονται* autem est *diis tanquam servati gratias agent.*

1026. *τὰ γὰρ δόλῳ τῷ μὴ δικαίῳ κτήματα*] *κτήματα* constructum quasi esset participium passivi, *acquisita injusto dolo.* Vid supra ad v. 966.

1028. *Non habebis ad id alium quo adjutore has puellas in tua potestate retineas.* Hermann. *τόδε* cum Ald. an *τάδε* cum La. Lb. B. T. V. legeris, idem sensus erit.

1045. *ἐπιστροφαὶ*] *ἐπιστροφὴ* in re bellica dicitur quoties exercitus vel cohors conversione facta versus hostem fertur. Plut. Tim. vol. i. p. 249. D. *πυκνὰς ἐξ ἐπιστροφῆς ποιεῖσθαι τὰς ἐπελάσεις.* Musgrav.

μίξουσιν, ἢ πρὸς Πυθίαις,
ἢ λαμπάσιν ἀκταῖς,
οὗ Πότνιαι σεμνὰ τιθηνοῦνται τέλη
θνατοῖσιν, ὧν καὶ χρυσέα
κλῂς ἐπὶ γλώσσᾳ βέβακεν
προσπόλων Εὐμολπιδᾶν·
ἔνθ' οἶμαι τὸν ἐγρεμάχαν
Θησέα καὶ τὰς διστόλους
ἀδμῆτας ἀδελφὰς
αὐταρκεῖ τάχ' ἐμμίξειν βοᾷ
τούσδ' ἀνὰ χώρους.
ἤ που τὸν ἐφέσπερον — ἀντιστροφὴ α΄.
πέτρας νιφάδος πελῶσ'

1048. *ἢ πρὸς Πυθίαις, ἢ λαμπάσιν ἀκταῖς*] *Πυθίαις* quum dicit, aram Apollinis intelligit in Œnoa positam, de qua vid. Schol. a Wundero correctum. Œnoe sita erat in confinio Atticæ et Bœotiæ. Cf. Herod. v. 74. Thucyd. ii. 18. Notandum autem *ἀκταῖς*, quod cum utriusque loci nomine conjunxit poeta, cum posteriori solum convenire, nisi forte aram Apollinis eodem modo intelligi velis quo *ἀκτὰν παρὰ βώμιον* Œd. T. 184. Eleusis autem Athenis aliquanto propior fuit, et sub verbis *λαμπάσιν ἀκταῖς* describitur: ubi *λαμπάσιν* adjectivi vicem gerit. Schol. *λαμπαδευομέναις καὶ καταλαμπομέναις καὶ δᾳδουχουμέναις.* Cæterum bene monet Wunderus his verbis non duas a se longius dissitas vias, quarum utram ingressi sint Creontis satellites Chorus se ambigere dixerit, sed duos ejusdem viæ locos, propiorem alterum Athenis, alterum remotiorem significari, in quorum altero Theseum consecuturum Creontis manum et aggressurum suspicatur.

1050. *Πότνιαι.* *Ceres et Proserpina.* Mox *σεμνὰ* Valckenaerius. Libri *σεμναί.* Verba sequentia recte ordinavit Hermannus: *ὧν καὶ ἐπὶ γλώσσᾳ βέβακε χρυσέα κλῂς προσπόλων Εὐμολπιδᾶν*, *mortalibus, quorum linguam coercet aurea antistitum Eumolpidarum clavis*, h. e. quibus antistites Eumolpidæ taciturnitatem imponunt. *χρυσέα* honoris augendi caussa additum.

1054. *ἔνθ' οἶμαι.* *ibi prælia cientem Theseum geminasque innuptas sorores mox puto idonea pugna esse congressuros.* Idoneam pugnam dicit, satis virium esse Theseo indicans ad vindicandas puellas, quas hic cum nominat, illos simul intelligi vult, qui eas rapuerunt. Hermannus; qui v. l. in La. *ὀρειβάταν*, quod etiam in textu habent codd. quidam, una cum *ἐγρεμάχαν* servandam duxit.

1059. *ἤ που.* *vel forte.* *ἦ που* libri: quod correxit Hermannus. Aliam regionem, occidentalem scilicet, nunc indicat Chorus, qua raptores fugere possint. Ad *ἐφέσπερον* subaudiri *χῶρον* monuit Camerarius.

1060. *πέτρας νιφάδος.* Montem Ægialeum dicit. Mox *πελῶσι* futurum contractum est, a *πελάζειν*, quod intransitive dictum cum accusativo jungitur. Cf. Wunder. ad

Οἰάτιδος ἐκ νομοῦ,
πώλοισιν, ἢ ῥιμφαρμάτοις
φεύγοντες ἁμίλλαις.
ἁλώσεται. δεινὸς ὁ προσχώρων Ἄρης,
δεινὰ δὲ Θησειδᾶν ἀκμά.
πᾶς γὰρ ἀστράπτει χαλινός,
πᾶσα δ' ὁρμᾶται κατὰ
ἀμπυκτήρι' * * * *
ἄμβασις, οἳ τὰν ἱππίαν
τιμῶσιν Ἀθάναν,
καὶ τὸν πόντιον γαιάοχον
Ῥέας φίλον υἱόν.
ἔρδουσιν, ἢ μέλλουσ'; στροφὴ β'.
ὡς προμνᾶταί τί μοι
γνώμα, τάχ' ἐνδώσειν

Phil. 1150. qui tamen falsus est in eo quod Œd. T. 1134. 1136. hoc modo explicandum censet.

1061. *Οἰάτιδος ἐκ νομοῦ.* Œam dicit, quæ tribus fuit Œneidis, prope montem Ægialeum.

1062. *ῥιμφαρμάτοις — ἁμίλλαις*, i. e. *ἁμίλλαις ἁρμάτων ῥίμφα φευγόντων.* Wunder.

1065. *ἁλώσεται.* Creon. *προσχώρων.* Coloniatas dicit. *Θησειδᾶν.* Athenienses.

1068. *πᾶσα δ' ὁρμᾶται κατὰ* Bothius, prima vocis *ἀμπυκτήρια* syllaba in proximum versum translata. Similes hiatus indicavit Dind. Aj. 425. *Τροία στρατοῦ δέρχθη χθονὸς μολόντ' ἀπὸ | Ἑλλανίδος.* Trach. 510. *ὁ δὲ Βακχείας ἄπο | ἦλθε παλίντονα Θήβας.*

1069. *ἀμπυκτήρι'* * * * * Verba *φάλαρα πώλων* tanquam grammatici interpretamentum quantocyus delenda esse nemo non videt. Vix prosaicæ orationis scriptor ita fuisset locutus. *κατὰ* recte ait Hermannus ita usurpari ut quum *κατὰ κράτος* dicitur, h. e. *quantum frena valent*, remissa scilicet rursumque attracta motaque, quibus signis incenduntur animi equorum in citato cursu.

1070. *ἄμβασις.* Dictum pro *ἀμβάται*, unde sequitur *οἵ.*

Ἱππίαν Ἀθάναν. Cf. Pausan. viii. 47. l. a Wundero citatum Arg. p. 23.

1073. *Ῥέας* monosyllabum est.

1074. *μέλλουσ'* Hermannus, qui de metro docuit in nota. *μελλουσιν* vulgo.

1076. *ἂν δώσειν* vulgo. *ἐνδώσειν* correxit Elmsleius. Vulgatam defendit Hermannus. Mox *τᾶν—τλασᾶν—εὑρουσᾶν* emendavit Reisigius, quod recipiendum putavi. Legebatur *τὰν—τλᾶσαν—εὑροῦσαν.* Denique *αὐθαίμων* pro *αὐθομαίμων* correxit Bothius. *ἐνδιδόναι*, *remittere*, h. e. *sedari*, *cessare* significat. Sensum ergo bene dedit Elmsleius. *τάχα ἐνδώσει, ἢ ἀνήσει, ἢ παύσεται, τὰ πάθη τῶν παρθένων τῶν δεινὰ παθουσῶν.* Dindorfium nuper correxisse video *τάχ' ἐνδώσειν τὼ δεινὰ τλάσὰ δεινὰ δ' εὑρούσα κ. τ. λ.*

τᾶν δεινὰ τλασᾶν, δεινὰ δ' εὑρουσᾶν πρὸς αὐθαίμων πάθη.
τελεῖ τελεῖ Ζεύς τι κατ' ἆμαρ·
μάντις εἴμ' ἐσθλῶν ἀγώνων.
εἴθ' ἀελλαία ταχύρρωστος πελειὰς
αἰθερίας νεφέλας
κύρσαιμι τῶνδ' ἀγώνων
ἐωρήσασα τοὐμὸν ὄμμα.
ἰὼ πάνταρχε θεῶν, ἀντιστροφὴ β'.
παντόπτα Ζεῦ, πόροις
γᾶς τᾶσδε δαμούχοις
σθένει 'πινικείῳ τὸν εὔαγρον τελειῶσαι λόχον,
σεμνά τε παῖς Παλλὰς Ἀθάνα.
καὶ τὸν ἀγρευτὰν Ἀπόλλω,
καὶ κασιγνήταν πυκνοστίκτων ὀπαδὸν
ὠκυπόδων ἐλάφων
στέργω διπλᾶς ἀρωγὰς
μολεῖν γᾷ τᾷδε καὶ πολίταις.
ὦ ξεῖν' ἀλῆτα, τῷ σκοπῷ μὲν οὐκ ἐρεῖς
ὡς ψευδόμαντις. τὰς κόρας γὰρ εἰσορῶ
τάσδ' ἆσσον αὖθις ὧδε προσπολουμένας.
ΟΙ. ποῦ ποῦ; τί φῄς; πῶς εἶπας; ΑΝ. ὦ πάτερ πάτερ,

1082. *αἰθερίας νεφέλας. ex ætheria nube.* Vid. ad Œd. T. 808. El. 78.

1083. *κύρσαιμι τῶνδ' ἀγώνων* Wunderus. h. e. *assequar oculis has pugnas.* *κύρσαιμ', αὐτῶν δ' ἀγώνων* vulgo.

1084. *ἐωρήσασα. suspendens, in altum attollens.* Ita Dindorfius et Wunderus. *θεωρήσασα* vulgo, quod vix intelligi potest. *ἐωρεῖν* autem et *αἰωρεῖν* sicut *ἑώρα* et *αἰώρα* permutantur. Cf. Œd. T. 1264.

1085. Legebatur *ἰὼ Ζεῦ πάνταρχε θεῶν, παντόπτα, πόροις.* In ordinem reduxit Hermannus.

1088. *σθένει 'πινικείῳ* ex La. Dind. *ἐπινικίῳ σθένει* vulgo. *σθένει 'πὶ νικείῳ* Hermannus. *ἐπινύμφειος* in Ant. 814. a se restitutum comparat Dindorfius.

1094. *στέργω. rogo, oro, amanter precor.* Verbi *amo* usum apud Latinos contulit Brunckius. Plaut. Menæch. iii. 3. 1. *Menæchme, amare te ait multum Erotium, Ut hoc nunc una opera ad aurificem deferas.* Cf. Œd. T. v. 11. *δείσαντες, ἢ στέρξαντες;*

1098. *ὧδε προσπολουμένας.* *sub famulorum tutela huc accedentes.*

τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν
δοίη, τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
ΟΙ. ὦ τέκνον, ἦ πάρεστον; ΑΝ. αἵδε γὰρ χέρες
Θησέως ἔσωσαν φιλτάτων τ' ὀπαόνων.
ΟΙ. προσέλθετ', ὦ παῖ, πατρί, καὶ τὸ μηδαμὰ
ἐλπισθὲν ἥξειν σῶμα βαστάσαι δότε.
ΑΝ. αἰτεῖς ἃ τεύξει· σὺν πόθῳ γὰρ ἡ χάρις.
ΟΙ. ποῦ δῆτα, ποῦ 'στον; ΑΝ. αἵδ' ὁμοῦ πελάζομεν.
ΟΙ. ὦ φίλτατ' ἔρνη. ΑΝ. τῷ τεκόντι πᾶν φίλον.
ΟΙ. ὦ σκῆπτρα φωτός. ΑΝ. δυσμόρου γε δύσμορα.
ΟΙ. ἔχω τὰ φίλτατ', οὐδ' ἔτ' ἂν πανάθλιος
θανὼν ἂν εἴην σφῷν παρεστώσαιν ἐμοί.
ἐρείσατ', ὦ παῖ, πλευρὸν ἀμφιδέξιον,
ἐμφύντε τῷ φύσαντι, κἀναπαύσατον
τοῦ πρόσθ' ἐρήμου τοῦδε δυστήνου πλάνου.
καί μοι τὰ πραχθέντ' εἴπαθ' ὡς βράχιστ', ἐπεὶ
ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος.
ΑΝ. ὅδ' ἔσθ' ὁ σώσας· τοῦδε χρὴ κλύειν, πάτερ,
καὶ σοί τε τοὔργον τοῦτ' ἐμοί τ' ἔσται βραχύ.
ΟΙ. ὦ ξεῖνε, μὴ θαύμαζε, πρὸς τὸ λιπαρὲς
τέκν' εἰ φανέντ' ἄελπτα μηκύνω λόγον.
ἐπίσταμαι γὰρ τήνδε τὴν ἐς τάσδε μοι
τέρψιν παρ' ἄλλου μηδενὸς πεφασμένην.
σὺ γάρ νιν ἐξέσωσας, οὐκ ἄλλος βροτῶν.
καὶ σοὶ θεοὶ πόροιεν ὡς ἐγὼ θέλω,

1105. *βαστάσαι. tangere, manibus excipere.* Vid. Blomf. Gloss. ad Ag. 34.

1109. *δυσμόρου γε* Reiskius. Libri *τε*.

1112. *ἀμφιδέξιον* Mudgius. *ἀμφιδεξιὸν* vel *ἀμφὶ δεξιὸν* libri. De *ἀμφιδέξιον* vid. ad Œd. T. 1243.

1113. *ἐμφῦντε*, quod conjecit Mudgius, prætulerunt Elmsleius et Hermannus. *ἐμφῦτε* vulgo. Cf. Hom. Il. Z. 406. *ἔν τ' ἄρα οἱ φῦ χειρί.*

1118. *καὶ σοί τε τοὔργον τοὐμὸν ἔσται βραχὺ* codd. plerique. *ἔσται δὴ βραχὺ* interpolavit Triclinius. Correxit Hermannus.

1119. *πρὸς τὸ λιπαρὲς* cum *μηκύνω λόγον* construendum: *si sermonem nimium produxero.* Cf. Phil. 525. Similia dabit Matth. Gr. Gr. 591. *ε.* Mox de accusativo cf. eundem, 421. obs. 4. Sensum ita reddidit Hermannus: *εἰ μακροῖς λόγοις τὰ τέκνα ἀσπάζομαι.*

1121. *τήνδε τὴν* Musgravius. *τήνδε σὴν* vulgo.

αὐτῷ τε καὶ γῇ τῇδ'· ἐπεὶ τό γ' εὐσεβὲς
μόνοις παρ' ὑμῖν εὗρον ἀνθρώπων ἐγώ,
καὶ τοὐπιεικὲς καὶ τὸ μὴ ψευδοστομεῖν.
εἰδὼς δ' ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε.
ἔχω γὰρ ἅχω διὰ σὲ κοὐκ ἄλλον βροτῶν.
καί μοι χέρ', ὦναξ, δεξιὰν ὄρεξον, ὡς
ψαύσω φιλήσω τ', εἰ θέμις, τὸ σὸν κάρα.
καίτοι τί φωνῶ; πῶς σ' ἂν ἄθλιος γεγὼς
θιγεῖν θελήσαιμ' ἀνδρός, ᾧ τίς οὐκ ἔνι
κηλὶς κακῶν ξύνοικος; οὐκ ἔγωγέ σε,
οὐδ' οὖν ἐάσω. τοῖς γὰρ ἐμπείροις βροτῶν
μόνοις οἷόν τε συνταλαιπωρεῖν τάδε.
σὺ δ' αὐτόθεν μοι χαῖρε καὶ τὰ λοιπά μου
μέλου δικαίως, ὥσπερ εἰς τόδ' ἡμέρας.
ΘΗ. οὔτ' εἴ τι μῆκος τῶν λόγων ἔθου πλέον,
τέκνοισι τερφθεὶς τοῖσδε, θαυμάσας ἔχω,
οὔτ' εἰ πρὸ τοὐμοῦ προὔλαβες τὰ τῶνδ' ἔπη.
βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει.
οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
δείκνυμι δ'. ὧν γὰρ ὤμοσ' οὐκ ἐψευσάμην
οὐδέν σε, πρέσβυ. τάσδε γὰρ πάρειμ' ἄγων
ζώσας, ἀκραιφνεῖς τῶν κατηπειλημένων.
χὤπως μὲν ἁγὼν ἡρέθη τί δεῖ μάτην

1132. 1133. *πῶς δ' ἄν*, et mox *ᾧ τις οὐκ ἔνι* olim legebatur. Correxit Hermannus.

1134. *οὐκ ἔγωγέ σε.* Plene dicta sententia hæc est: *οὐκ ἔγωγέ σε θελήσαιμ' ἂν θιγεῖν ἐμοῦ, οὐδ' οὖν ἐάσω, εἰ αὐτὸς βούλοιο θιγεῖν.* HERMANN.

1137. *αὐτόθεν. ab isto loco, ubi tu stas.* REISIGIUS. Respicit quæ modo dixerat v. 1132. seqq.

1141. *οὔτ' εἰ* Elmsleius. *οὐδ' εἰ* tuetur Hermannus: qui non pauca hujusmodi nimis festinanter correcta esse et hic et alibi docuit. Verum hic quidem Elmsleium recte *οὔτ'* posuisse credo. Vix enim dubium est quin *θαυμάσας ἔχω* ad utrumque referatur, *οὔτ' εἰ — ἔθου, οὔτ' εἰ προὔλαβες, ἔχω θαυμάσας.* Primum dicit Creon sibi non mirum accidisse, quod longiorem orationem habuerit Œdipus: deinde, quod omnino illorum sermone defixus ad sese parum attenderit.

1148. *μὲν ἁγὼν ἡρέθη* correxit Heathius. Vulgo legebatur *μὲν ἀγὼν οὗτος ἡρέθη.*

κομπεῖν, ἅ γ' εἴσει καὐτὸς ἐκ ταύταιν ξυνών ;
λόγος δ' ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
στείχοντι δεῦρο, συμβαλοῦ γνώμην, ἐπεὶ
σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι.
πρᾶγος δ' ἀτίζειν οὐδὲν ἄνθρωπον χρεών.
ΟΙ. τί δ' ἔστι, τέκνον Αἰγέως ; δίδασκέ με,
ὡς μὴ εἰδότ' αὐτὸν μηδὲν ὧν σὺ πυνθάνει.
ΘΗ. φασίν τιν' ἡμῖν ἄνδρα, σοὶ μὲν ἔμπολιν
οὐκ ὄντα, συγγενῆ δέ, προσπεσόντα πως
βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ' ᾧ
θύων ἔκυρον, ἡνίχ' ὡρμώμην ἐγώ.
ΟΙ. ποδαπόν ; τί προσχρῄζοντα τῷ θακήματι ;
ΘΗ. οὐκ οἶδα πλὴν ἕν. σοῦ γάρ, ὡς λέγουσί μοι,
βραχύν τιν' αἰτεῖ μῦθον οὐκ ὄγκου πλέων.
ΟΙ. ποῖόν τιν' ; οὐ γὰρ ἥδ' ἕδρα σμικροῦ λόγου.
ΘΗ. σοὶ φασὶν αὐτὸν ἐς λόγους ἐλθεῖν μολόντ'
αἰτεῖν ἀπελθεῖν τ' ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ.
ΟΙ. τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακῶν ἕδραν ;
ΘΗ. ὅρα κατ' Ἄργος εἴ τις ὑμὶν ἐγγενὴς
ἔσθ', ὅστις ἄν σου τοῦτο προσχρῄζοι τυχεῖν.
ΟΙ. ὦ φίλτατε, σχὲς οὗπερ εἶ. ΘΗ. τί δ' ἔστι σοι ;
ΟΙ. μή μου δεηθῇς. ΘΗ. πράγματος ποίου ; λέγε.
ΟΙ. ἔξοιδ' ἀκούων τῶνδ' ὃς ἔσθ' ὁ προστάτης.
ΘΗ. καὶ τίς ποτ' ἐστίν, ὅν γ' ἐγὼ ψέξαιμί τι ;

1150. λόγος δ' ὃς ἐμπέπτωκε. De hac structura cf. Porson. ad Orest. 1645.

1159. ἡνίχ' ὡρμώμην ἐγώ. Hæc verba recte cum προσπεσόντα καθῆσθαι jungit Elmsleius: minus tamen bene interpretatur, *dum aberam ego.* Verte, *dum huc proficiscebar.*

1165. ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ. Cf. infra v. 1288. διδοὺς ἐμοὶ λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ ξὺν ἐξόδῳ. τ' autem in libris omissum addidit Heathius.

1169. ὦ φίλτατε, σχές Heathius. ὦ φίλτατ' ἴσχες La. B. V.

1172. ὃν ἂν ἐγὼ ψέξαιμί τι Brunckius: sed ἂν recte hic omittitur, nam optativus a præcedentibus pendet. Angl. *Who can it possibly be, that I should object to him?* Plane similiter v. 561. δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις λέξας, ὁποίας ἐξαφισταίμην ἐγώ. Longe aliter in v. 1418. ubi αὖθις αὖ πάλιν στράτευμ' ἄγοιμ' ἂν cum Toupio scribendum, item Phil. 895. ubi τί δῆτα δρῷμ' ἂν correxit Schaeferus. Nam in hujusmodi quidem locis ἂν vix abesse potest. Vid. Blomf. ad Choeph. 586. quanquam hoc non de omnibus locis ubi ἂν deesse videtur, intelligi velim. Sed hæc quæstio longior est quam ut hic satis bene tractari possit.

ΟΙ. παῖς οὑμός, ὦναξ, στυγνός, οὗ λόγων ἐγὼ
ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων.
ΘΗ. τί δ' ; οὐκ ἀκούειν ἔστι, καὶ μὴ δρᾶν ἃ μὴ
χρῄζεις ; τί σοι τοῦτ' ἐστὶ λυπηρὸν κλύειν ;
ΟΙ. ἔχθιστον, ὦναξ, φθέγμα τοῦθ' ἥκει πατρί·
καὶ μή μ' ἀνάγκῃ προσβάλῃς τάδ' εἰκαθεῖν.
ΘΗ. ἀλλ' εἰ τὸ θάκημ' ἐξαναγκάζει, σκόπει
μή σοι πρόνοι' ᾖ τοῦ θεοῦ φυλακτέα.
ΑΝ. πάτερ, πιθοῦ μοι, κεἰ νέα παραινέσω.
τὸν ἄνδρ' ἔασον τόνδε τῇ θ' αὑτοῦ φρενὶ
χάριν παρασχεῖν τῷ θεῷ θ' ἃ βούλεται·
καὶ νῷν ὕπεικε τὸν κασίγνητον μολεῖν.
οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρασπάσει
γνώμης, ἃ μή σοι ξυμφέροντα λέξεται.
λόγων δ' ἀκοῦσαι τίς βλάβη ; τά τοι κακῶς
εὑρημέν' ἔργα τῷ λόγῳ μηνύεται.
ἔφυσας αὐτόν· ὥστε μηδὲ δρῶντά σε
τὰ τῶν κακίστων δυσσεβέστατ', ὦ πάτερ,
θέμις σέ γ' εἶναι κεῖνον ἀντιδρᾶν κακῶς.
ἀλλ' ἔα αὐτόν. εἰσὶ χἀτέροις γοναὶ κακαὶ
καὶ θυμὸς ὀξύς, ἀλλὰ νουθετούμενοι
φίλων ἐπῳδαῖς ἐξεπᾴδονται φύσιν.

1178. προσβαλεῖν τινὰ ἀνάγκῃ eodem redit ac προσβαλεῖν τινὶ ἀνάγκην. De εἰκαθεῖν et similibus vid. ad v. 1015.

1180. Hoc monet Theseus: Videat ille, ne parum reverentem se erga deum præbeat, si audire eum, qui ad aram confugerit, detrectet. HERMANN.

1186. λέξεται, h. e. λεχθήσεται. Cf. φυλάξεται Phil. 48. ξενώσεται ib. 303. καλεῖ El. 971. et plurima alibi apud scriptores Atticos obvia. Vid. Porson. ad Eurip. Hec. 293. Monk. ad Hipp. 1458.

1187. καλῶς vulgo inepte. Correxit Hermannus.

1190. τὰ τῶν κάκιστα δυσσεβεστάτων, πάτερ, vulgo. Correxit Dawesius.

1191. θέμις indeclinabile est. Cf. Buttm. Gr. Gr. Maj. t. i. p. 232.

1192. Synizesis. ἀλλ' ἔασον ed. Lond. a. 1722. recte fortasse. ἀλλ' ἔα 'ὑτόν, h. e. *missum eum fac,* Brunckius. ἀλλ' ἔα αὐτὸν Elmsl. Hermann. ἀλλ' αὐτὸν La.

σὺ δ' εἰς ἐκεῖνά μοι τανῦν ἀποσκόπει
πατρῷα καὶ μητρῷα πήμαθ' ἅπαθες.
κἂν κεῖνα λεύσσῃς, οἶδ' ἐγώ, γνώσει κακοῦ
θυμοῦ τελευτὴν ὡς κακὴ προσγίγνεται.
ἔχεις γὰρ οὐχὶ βαιὰ τἀνθυμήματα,
τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος.
ἀλλ' ἡμὶν εἶκε. λιπαρεῖν γὰρ οὐ καλὸν
δίκαια προσχρῄζουσιν, οὐδ' αὐτὸν μὲν εὖ
πάσχειν, παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν.

ΟΙ. τέκνον, βαρεῖαν ἡδονὴν νικᾶτέ με
λέγοντες· ἔστω δ' οὖν ὅπως ὑμῖν φίλον.
μόνον, ξέν', εἴπερ κεῖνος ὧδ' ἐλεύσεται,
μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτέ.

ΘΗ. ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δὶς χρῄζω κλύειν,
ὦ πρέσβυ. κομπεῖν δ' οὐχὶ βούλομαι· σὺ δὲ
σῶς ἴσθ', ἐάν περ κἀμέ τις σώζῃ θεῶν.

ΧΟ. ὅστις τοῦ πλέονος μέρους στροφή.
χρῄζει, τοῦ μετρίου παρεὶς
ζώειν, σκαιοσύναν φυλάσσων
ἐν ἐμοὶ κατάδηλος ἔσται.
ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ
ἁμέραι κατέθεντο δὴ
λύπας ἐγγυτέρω. τὰ τέρ-

1195. μοι Hermannus. Vulgo μή.

1197. λεύσσῃς Piersonus. Libri λύσῃς.

1199. οὐχὶ βαιὰ Musgravius. οὐχὶ βίαια La. οὐ βίαια reliqui.

1200. Cf. ad Aj. v. 986.

1210. σως Josephus Scaliger. σῶν libri.

1211. Verba sic ordinavit Hermannus: ὅστις τοῦ πλέονος μέρους χρῄζει, παρεὶς τοῦ μετρίου [χρῄζων] ζώειν. *qui majorem partem expetit, negligens vivere modicam expetens.*

1213. σκαιοσύναν φυλάσσων. *stultitiæ reus.* Mox ἐν ἐμοί, *me judice.*

1215. Male Brunckius λύπας pro accusativo habuit. Sensus est: *multa jam longior vita propius dolori admovit,* i. e. longa vita sæpe eo adduxit res humanas, ut plus doloris quam voluptatis haberent. HERMANN. Cf. nobilissimam Juvenalis Satiram x. v. 258. seqq. *Incolumi Troja Priamus venisset ad umbras Assaraci,* etc.

1217. *Cum quis nimium* [sc. vitæ] *concupiverit, delectatio et*

πoντα δ' οὐκ ἂν ἴδοις ὅπου,
ὅταν τις ἐς πλέον πέσῃ
τοῦ θέλοντος· ὁ δ' ἐπίκουρος
ἰσοτέλεστος,
Ἄϊδος ὅτε μοῖρ' ἀνυμέναιος
ἄλυρος ἄχορος ἀναπέφηνε,
θάνατος ἐς τελευτάν.
μὴ φῦναι τὸν ἅπαντα νι- ἀντιστροφή.
κᾷ λόγον· τὸ δ', ἐπεὶ φανῇ,
βῆναι κεῖθεν ὅθεν περ ἥκει
πολὺ δεύτερον ὡς τάχιστα.
ὡς εὖτ' ἂν τὸ νέον παρῇ
κούφας ἀφροσύνας φέρον,
τίς πλάγχθη πολύμοχθος ἔ-
ξω; τίς οὐ καμάτων ἔνι;
φόνοι, στάσεις, ἔρις, μάχαι,

jucunditas omnis evanescit. CAMERAR. ὅπου ὅταν ex v. l. in La. restitutum est. ὁπότ' ἂν vulgo.

1220. οὐδ' ἐπίκουρος sive ἐπίκορος libri. Correxit Hermannus. ἐπίκουρος θάνατος dictum esse sicut θάνατος Παιάν, h. e. vitæ malis medelam afferens, monuit idem.

1221. ἰσοτέλεστος. *omnibus communis.* Mox Ἄϊδος cum μοῖρα recte junxit Dindorfius. Sensus autem est: *Longior ætas nihil habet quod quis optet: nam eam si quis assecutus fuerit, idem tamen ad extremum manet omnibus communis exitus;* verba autem sic ordinanda: ὁ δὲ θάνατος ἐπίκουρος ἐς τελευτὰν ἰσοτέλεστος, ὅτε Ἄϊδος μοῖρα ἀναπέφηνε, ubi notandum articulum ὁ ita præmitti ut substantivi mox secuturi θάνατος vicem sustineat: plane ut in Trach. v. 850. ἁ δ' ἐρχομένα μοῖρα προφαίνει δολίαν καὶ μεγάλαν ἄταν, ubi ordo est, ἁ δὲ μοῖρα προφαίνει ἐρχομένα δολ. κ. μεγ. ἄταν. Nec aliter Aj. 780. ὁ δ' εὐθὺς ἐξ ἕδρας πέμπει με σοὶ φέροντα τάσδ' ἐπιστολὰς Τεῦκρος φυλάσσειν. El. 601. ὁ δ' ἄλλος ἔξω, χεῖρα σὴν μόλις φυγών, τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον. Phil. 371. ὁ δ' εἶπ' Ὀδυσσεύς. Œd. T. 1229. τὰ δ' αὐτίκ' εἰς τὸ φῶς φανεῖ κακά. Eur. Hel. 1025. τὴν μέν σ' ἐᾶσαι πατρίδα νοστῆσαι Κύπριν. Id. El. 16. seqq. τὸν μὲν πατρὸς γεραιὸς ἐκκλέπτει τροφεὺς μέλλοντ' Ὀρέστην χερὸς ὑπ' Αἰγίσθου θανεῖν.—ἡ δ' ἐν δόμοις ἔμεινεν Ἠλέκτρα πατρός. Ibid. 781. ὁ δ' εἶπ' Ὀρέστης. Usus apud Homerum perfrequens.

1226. ἐπεὶ φανῇ. Cf. ἐπεὶ δ' ἁμαρτῇ Ant. 1025.

1227. βῆναι κεῖθεν ὅθεν. Attractione usitata pro κεῖσε ὅθεν. Genere diversa est in Trach. 701. ἐκ δὲ γῆς ὅθεν προὔκειτο.

1231. Displicet sane Hermanni ratio πολὺ μόχθος divisim scribentis. Immo sensus est, τίς, πολύμοχθος (ὢν sc. *ad ærumnas natus*) πλάγχθη ἔξω (τοῦ πολύμοχθος εἶναι);

καὶ φθόνος· τό τε κατάμεμπτον
ἐπιλέλογχε
πύματον ἀκρατὲς ἀπροσόμιλον
γῆρας ἄφιλον, ἵνα πρόπαντα
κακὰ κακῶν ξυνοικεῖ.
ἐν ᾧ τλάμων ὅδ', οὐκ ἐγὼ μόνος, ἐπῳδός.
πάντοθεν βόρειος ὥς τις ἀκτὰ
κυματοπλὴξ χειμερία κλονεῖται,
ὣς καὶ τόνδε κατάκρας
δειναὶ κυματοαγεῖς
ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι,
αἱ μὲν ἀπ' ἀελίου
δυσμᾶν, αἱ δ' ἀνατελ-
λοντος, αἱ δ' ἀνὰ μέσσαν
ἀκτῖν', αἱ δὲ νυχιᾶν ἀπὸ ῥιπᾶν.
ΑΝ. καὶ μὴν ὅδ' ἡμῖν, ὡς ἔοικεν, ὁ ξένος
ἀνδρῶν γε μοῦνος, ὦ πάτερ, δι' ὄμματος
ἀστακτὶ λείβων δάκρυον ὧδ' ὁδοιπορεῖ.
ΟΙ. τίς οὗτος; ΑΝ. ὅνπερ καὶ πάλαι κατείχομεν
γνώμῃ, πάρεστι δεῦρο Πολυνείκης ὅδε.

ΠΟΛΥΝΕΙΚΗΣ.

οἴμοι, τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τοῦδ' ὁρῶν

1242. *κατάκρας* dicit quia metaphora a fluctibus desumta. Meminerint tirones Homeri illud *μέγα κῦμα κατ' ἄκρης* Odyss. E. 313. et Virgilianum *ingens a vertice pontus* Æn. i. 114. *κατάκρας* usurpatur Ant. 201.

1245. *αἱ μὲν ἀπ' ἀελίου δυσμᾶν.* Dubium non videtur, quin locos, non diversas temporis partes, hic indicare voluerit poeta. Mala enim cum fluctibus comparantur, quæ ventis urgentibus a variis simul partibus irrumpunt.

1247. *ἀνὰ μέσσαν ἀκτῖνα. plagam meridionalem* dicit.

1248. *νυχιᾶν ἀπὸ ῥιπᾶν.* Hæc de septentrionali parte intelligenda esse apertum est: *ῥιπᾶν* autem de ventis qui ab hac parte flare solent accipiendum: nec ventos ipsos pro cœli parte unde flant nominari insolitum est. Nihil hic cum Rhipæis montibus, quod ineptum est Scholiastæ commentum. *νυχιᾶν* autem recte explicuit Elmsleius: *quo solis radii non perveniunt.* *ἐννυχιᾶν* ex Schol. conjecit Herm.

πατρὸς γέροντος; ὃν ξένης ἐπὶ χθονὸς
ξὺν σφῷν ἐφεύρηκ' ἐνθάδ' ἐκβεβλημένον
ἐσθῆτι σὺν τοιᾷδε, τῆς ὁ δυσφιλὴς
γέρων γέροντι συγκατῴκηκεν πίνος
πλευρὰν μαραίνων, κρατὶ δ' ὀμματοστερεῖ
κόμη δι' αὔρας ἀκτένιστος ᾄσσεται·
ἀδελφὰ δ', ὡς ἔοικε, τούτοισιν φορεῖ
τά τῆς ταλαίνης νηδύος θρεπτήρια.
ἁγὼ πανώλης ὄψ' ἄγαν ἐκμανθάνω·
καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
ταῖς σαῖσιν ἥκειν· τἀμὰ μὴ 'ξ ἄλλων πύθῃ.
ἀλλ' ἔστι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
Αἰδὼς ἐπ' ἔργοις πᾶσι, καὶ πρὸς σοί, πάτερ,
παρασταθήτω. τῶν γὰρ ἡμαρτημένων
ἄκη μέν ἐστι, προσφορὰ δ' οὐκ ἔστ' ἔτι.
τί σιγᾷς;
φώνησον, ὦ πάτερ, τι· μή μ' ἀποστραφῇς.
οὐδ' ἀνταμείβει μ' οὐδέν; ἀλλ' ἀτιμάσας
πέμψεις ἄναυδος, οὐδ' ἃ μηνίεις φράσας;
ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες,
πειράσατ' ἀλλ' ὑμεῖς γε κινῆσαι πατρὸς
τὸ δυσπρόσοιστον κἀπροσήγορον στόμα,
ὡς μή μ' ἄτιμον, τοῦ θεοῦ γε προστάτην,
οὕτως (?) ἀφῇ γε μηδὲν ἀντειπὼν ἔπος.
ΑΝ. λέγ', ὦ ταλαίπωρ', αὐτὸς ὧν χρείᾳ πάρει.
τὰ πολλὰ γάρ τοι ῥήματ' ἢ τέρψαντά τι,
ἢ δυσχεράναντ', ἢ κατοικτίσαντά πως,
παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά.

1259. *πίνος* Scaliger. Libri *πόνος.*

1266. *τἀμὰ* Reiskius. Libri *τἄλλα.*

1270. *προσφορὰ δ' οὐκ ἔστ' ἔτι.* Posse corrigi peccata, augeri non posse, dicit. Hermann.

1278. Turnebi lectionem post Brunckium dubitanter exhibui. Pronominis repetitionem in *οὕτως μ' ἀφῇ γε*, quod habet La. vix tueri videntur quæ a Reisigio allata sunt exempla. Hermannus correxit, *ὡς μή γ' ἄτιμον* et mox *οὕτω μ' ἀφῇ γε.*

1281. *τὰ πολλὰ ῥήματα.* *si quis verba multa faciat.*

ΠΟ. ἀλλ᾽ ἐξερῶ· καλῶς γὰρ ἐξηγεῖ σύ μοι·
πρῶτον μὲν αὐτὸν τὸν θεὸν ποιούμενος
ἀρωγόν, ἔνθεν μ᾽ ὧδ᾽ ἀνέστησεν μολεῖν
ὁ τῆσδε τῆς γῆς κοίρανος, διδοὺς ἐμοὶ
λέξαι τ᾽ ἀκοῦσαί τ᾽ ἀσφαλεῖ ξὺν ἐξόδῳ.
καὶ ταῦτ᾽ ἀφ᾽ ὑμῶν, ὦ ξένοι, βουλήσομαι
καὶ ταῖνδ᾽ ἀδελφαῖν καὶ πατρὸς κυρεῖν ἐμοί.
ἃ δ᾽ ἦλθον ἤδη σοι θέλω λέξαι, πάτερ.
γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγάς,
τοῖς σοῖς πανάρχοις οὕνεκ᾽ ἐνθακεῖν θρόνοις
γονῇ πεφυκὼς ἠξίουν γεραιτέρᾳ.
ἀνθ᾽ ὧν μ᾽ Ἐτεοκλῆς, ὢν φύσει νεώτερος,
γῆς ἐξέωσεν, οὔτε νικήσας λόγῳ
οὔτ᾽ εἰς ἔλεγχον χειρὸς οὐδ᾽ ἔργου μολών,
πόλιν δὲ πείσας. ὧν ἐγὼ μάλιστα μὲν
τὴν σὴν Ἐρινὺν αἰτίαν εἶναι λέγω·
ἔπειτα κἀπὸ μαντέων ταύτῃ κλύων.
ἐπεὶ γὰρ ἦλθον Ἄργος ἐς τὸ Δωρικόν,
λαβὼν Ἄδραστον πενθερόν, ξυνωμότας
ἔστησ᾽ ἐμαυτῷ γῆς ὅσοιπερ Ἀπίας
πρῶτοι καλοῦνται καὶ τετίμηνται δορί,
ὅπως τὸν ἑπτάλογχον ἐς Θήβας στόλον
ξὺν τοῖσδ᾽ ἀγείρας ἢ θάνοιμι πανδίκως,
ἢ τοὺς τάδ᾽ ἐκπράξαντας ἐκβάλοιμι γῆς.
εἶεν. τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
σοὶ προστροπαίους, ὦ πάτερ, λιτὰς ἔχων,
αὐτός τ᾽ ἐμαυτοῦ ξυμμάχων τε τῶν ἐμῶν,
οἳ νῦν ξὺν ἑπτὰ τάξεσι ξὺν ἑπτά τε
λόγχαις τὸ Θήβης πεδίον ἀμφεστᾶσι πᾶν·

1286. ἔνθεν. *a cujus ara.*

1297. οὐδ᾽ ἔργου recte Hermannus. Nam opposita sunt οὔτε νικήσας λόγῳ, et οὔτε—μολών, cujus posterioris sententiæ οὐδ᾽ ἔργου pars secundaria est. Vulgo οὔτ᾽.

1301. Ἄργος Δωρικὸν est Peloponnesus quam supra v. 696. appellat Δωρίδα νῆσον, quæ et priscis incolis Ἀπία dicta fuit. BRUNCK.

1305. εἰς Ald. et infra v. 1325.

1310. τ᾽ Reiskius. Libri γ᾽.

οἷος δορυσσοῦς Ἀμφιάρεως, τὰ πρῶτα μὲν
δόρει κρατύνων, πρῶτα δ᾽ οἰωνῶν ὁδοῖς·
ὁ δεύτερος δ᾽ Αἰτωλὸς Οἰνέως τόκος
Τυδεύς· τρίτος δ᾽ Ἐτέοκλος, Ἀργεῖος γεγώς·
τέταρτον Ἱππομέδοντ᾽ ἀπέστειλεν πατὴρ
Ταλαός· ὁ πέμπτος δ᾽ εὔχεται κατασκαφῇ
Καπανεὺς τὸ Θήβης ἄστυ δῃώσειν πυρί·
ἕκτος δὲ Παρθενοπαῖος Ἀρκὰς ὄρνυται,
ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης χρόνῳ
μητρὸς λοχευθείς, πιστὸς Ἀταλάντης γόνος·
ἐγὼ δὲ σός, κεἰ μὴ σός, ἀλλὰ τοῦ κακοῦ
πότμου φυτευθείς, σός γέ τοι καλούμενος,
ἄγω τὸν Ἄργους ἄφοβον ἐς Θήβας στρατόν.
οἵ σ᾽ ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς, πάτερ,
ἱκετεύομεν ξύμπαντες ἐξαιτούμενοι
μῆνιν βαρεῖαν εἰκαθεῖν ὁρμωμένῳ
τῷδ᾽ ἀνδρὶ τοὐμοῦ πρὸς κασιγνήτου τίσιν,
ὅς μ᾽ ἐξέωσε κἀπεσύλησεν πάτρας.
εἰ γάρ τι πιστόν ἐστιν ἐκ χρηστηρίων,
οἷς ἂν σὺ προσθῇ, τοῖσδ᾽ ἔφασκ᾽ εἶναι κράτος.
πρός νύν σε κρηνῶν, πρὸς θεῶν ὁμογνίων,
αἰτῶ πιθέσθαι καὶ παρεικαθεῖν, ἐπεὶ
πτωχοὶ μὲν ἡμεῖς καὶ ξένοι, ξένος δὲ σύ·
ἄλλους δὲ θωπεύοντες οἰκοῦμεν σύ τε
κἀγώ, τὸν αὐτὸν δαίμον᾽ ἐξειληχότες.
ὁ δ᾽ ἐν δόμοις τύραννος, ὦ τάλας ἐγώ,
κοινῇ καθ᾽ ἡμῶν ἐγγελῶν ἁβρύνεται·

1313. δορύσσους vulgo. Accentum mutavit Reisigius.

1314. δόρει Hermannus. Vid. supra ad v. 620.

1326. ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς. *Per hasce tuas filias et tuam salutem.* BRUNCK.

1333. De diis ὁμογνίοις, qui sunt gentilitii, videndus Ruhnken. ad Timæum p. 192. Refertur autem quæ in eo adjectivo inest notio simul ad fontes. Unde Scholiastes: παθητικόν ἐστι τὸ πρὸς πατρῴων κρηνῶν ὁρκοῦν, ὡς εἰ ἔφη, πρὸς τῶν ἐκθρεψάντων σε ὑδάτων. HERMANN. καὶ θεῶν La.

ὅν, εἰ σὺ τἠμῇ ξυμπαραστήσει φρενί,
βραχεῖ ξὺν ὄγκῳ καὶ χρόνῳ διασκεδῶ.
ὥστ' ἐν δόμοισι τοῖσι σοῖς στήσω σ' ἄγων,
στήσω δ' ἐμαυτόν, κεῖνον ἐκβαλὼν βίᾳ.
καὶ ταῦτα σοῦ μὲν ξυνθέλοντος ἔστι μοι
κομπεῖν, ἄνευ σοῦ δ' οὐδὲ σωθῆναι σθένω.

ΧΟ. τὸν ἄνδρα, τοῦ πέμψαντος οὕνεκ', Οἰδίπους,
εἰπὼν ὁποῖα ξύμφορ' ἔκπεμψαι πάλιν.

ΟΙ. ἀλλ' εἰ μέν, ἄνδρες, τῆσδε δημοῦχος χθονὸς
μὴ 'τύγχαν' αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ
Θησεύς, δικαιῶν ὥστ' ἐμοῦ κλύειν λόγους,
οὔ τἄν ποτ' ὀμφῆς τῆς ἐμῆς ἐπήσθετο·
νῦν δ' ἀξιωθεὶς εἶσι κἀκούσας γ' ἐμοῦ
τοιαῦθ' ἃ τὸν τοῦδ' οὔ ποτ' εὐφρανεῖ βίον.
ὅς γ', ὦ κάκιστε, σκῆπτρα καὶ θρόνους ἔχων,
ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
τὸν αὐτὸς αὑτοῦ πατέρα τόνδ' ἀπήλασας
κἄθηκας ἄπολιν καὶ στολὰς ταύτας φορεῖν,
ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ' ἐν πόνῳ
ταὐτῷ βεβηκὼς τυγχάνεις κακῶν ἐμοί.
οὐ κλαυστὰ δ' ἐστίν, ἀλλ' ἐμοὶ μὲν οἰστέα
τάδ', ὥσπερ ἂν ζῶ σοῦ φονέως μεμνημένος.
σὺ γάρ με μόχθῳ τῷδ' ἔθηκας ἔντροφον,
σύ μ' ἐξέωσας· ἐκ σέθεν δ' ἀλώμενος
ἄλλους ἐπαιτῶ τὸν καθ' ἡμέραν βίον.
εἰ δ' ἐξέφυσα τάσδε μὴ 'μαυτῷ τροφοὺς
τὰς παῖδας, ἦ τἂν οὐκ ἂν ἦ, τὸ σὸν μέρος·

1340. *ξυμπαραστήσει. consenties, adjuvabis.*

1344. *μὲν σοῦ* Hermannus cum B. T. V. Recte vulgata.

1346. Οἰδίπους Valck. ad Phœn. 1434. Οἰδίπου vulgo. Mox ἔκπεμψαι est *a te dimitte.*

1360. *οὐ κλαυστὰ δ' ἐστὶν*] κλαυστ' ἐστὶν La. pr. κλαυτὰ δ' ἐστὶν Lb. T. *at non lacrimandum tibi est* (i. e. non infecta fiunt hæc lacrimis tuis) *sed mihi quidem ferenda, quamdiu vivam tui ut interfectoris mei memor.* Ita fere Hermannus. ὥσπερ autem recte pro ἕωσπερ accipit Dindorfius: coll. Aj. 1117. ὡς ἂν ᾖς. Cf. etiam Phil. 1330.

1366. ἦ La. ν addito a correctore.

νῦν δ' αἵδε μ' ἐκσῴζουσιν, αἵδ' ἐμαὶ τροφοί,
αἵδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν·
ὑμεῖς δ' ἀπ' ἄλλου κοὐκ ἐμοῦ πεφύκατον.
τοιγάρ σ' ὁ δαίμων εἰσορᾷ μὲν οὔ τί πω
ὡς αὐτίκ', εἴπερ οἵδε κινοῦνται λόχοι
πρὸς ἄστυ Θήβης. οὐ γὰρ ἔσθ' ὅπως πόλιν
κείνην ἐρεῖ τις, ἀλλὰ πρόσθεν αἵματι
πεσεῖ μιανθεὶς χὠ ξύναιμος ἐξ ἴσου.
τοιάσδ' ἀρὰς σφῷν πρόσθε τ' ἐξανῆκ' ἐγὼ
νῦν τ' ἀνακαλοῦμαι ξυμμάχους ἐλθεῖν ἐμοί,
ἵν' ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν,
καὶ μὴ 'ξατιμάζητον, εἰ τυφλοῦ πατρὸς
τοιώδ' ἔφυτον. αἵδε γὰρ τάδ' οὐκ ἔδρων.
τοιγὰρ τὸ σὸν θάκημα καὶ τοὺς σοὺς θρόνους
κρατοῦσιν, εἴπερ ἐστὶν ἡ παλαίφατος
Δίκη ξύνεδρος Ζηνὸς ἀρχαίοις νόμοις.
σὺ δ' ἔρρ' ἀπόπτυστός τε κἀπάτωρ ἐμοῦ,
κακῶν κάκιστε, τάσδε συλλαβὼν ἀράς,
ἅς σοι καλοῦμαι, μήτε γῆς ἐμφυλίου
δόρει κρατῆσαι, μήτε νοστῆσαί ποτε
τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ
θανεῖν κτανεῖν θ' ὑφ' οὗπερ ἐξελήλασαι.
τοιαῦτ' ἀρῶμαι, καὶ καλῶ τὸ Ταρτάρου
στυγνὸν πατρῷον ἔρεβος, ὥς σ' ἀποικίσῃ,
καλῶ δὲ τάσδε δαίμονας, καλῶ δ' Ἄρη

ᾖ Lb. B. Hoc ergo recepi: plerique ἦν.

1367. Pæne prætulerim *ἐμοὶ τροφαί.* Illud B. T. V. hoc A. exhibet.

1370. *Quare nondum eo te lumine aspicit Deus, quo mox te aspiciet*: h. e. jamjam te ulciscetur.

1372. Inquit Œdipus: 'ἄστυ Θήβης dico, non πόλιν: neque enim oppidum istud tu unquam civitatem appellabis, i. e. nunquam civis futurus es, antea enim peribis.' Notaverat Camerarius: 'Præstantius quiddam πόλις significat quam ἄστυ: ut Latinis quoque non est idem civitas et oppidum.' Nulla esset difficultas si ἐρεῖς scripsisset, non universe ἐρεῖ τις. Gaisford. Quod Turnebus dedit ἐρείψεις nimio studio a quibusdam receptum fuit.

1379. ἐφύτην Elmsleius, ut solet. Cf. Hermanni notam.

1386. δόρει iterum Hermannus. Vid. ad vv. 620. 1314.

1390. *πατρῷον. quæ patrem tegit.*

1391. *τάσδε δαίμονας.* Furias.

τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.
καὶ ταῦτ᾽ ἀκούσας στεῖχε, κἀξάγγελλ᾽ ἰὼν
καὶ πᾶσι Καδμείοισι τοῖς σαυτοῦ θ᾽ ἅμα
πιστοῖσι συμμάχοισιν, οὕνεκ᾽ Οἰδίπους
τοιαῦτ᾽ ἔνειμε παισὶ τοῖς αὑτοῦ γέρα.
ΧΟ. Πολύνεικες, οὔτε ταῖς παρελθούσαις ὁδοῖς
ξυνήδομαί σοι, νῦν τ᾽ ἴθ᾽ ὡς τάχος πάλιν.
ΠΟ. οἴμοι κελεύθου τῆς τ᾽ ἐμῆς δυσπραξίας,
οἴμοι δ᾽ ἑταίρων· οἷον ἆρ᾽ ὁδοῦ τέλος
Ἄργους ἀφωρμήθημεν, ὢ τάλας ἐγώ,
τοιοῦτον οἷον οὐδὲ φωνῆσαί τινι
ἔξεσθ᾽ ἑταίρων, οὐδ᾽ ἀποστρέψαι πάλιν,
ἀλλ᾽ ὄντ᾽ ἄναυδον τῇδε συγκῦρσαι τύχῃ.
ὦ τοῦδ᾽ ὅμαιμοι παῖδες, ἀλλ᾽ ὑμεῖς, ἐπεὶ
τὰ σκληρὰ πατρὸς κλύετε τοῦδ᾽ ἀρωμένου,
μή τοί με πρὸς θεῶν σφώ γ᾽, (?) ἐὰν αἱ τοῦδ᾽ ἀραὶ
πατρὸς τελῶνται, καί τις ὑμὶν ἐς δόμους
νόστος γένηται, μή μ᾽ ἀτιμάσητέ γε,
ἀλλ᾽ ἐν τάφοισι θέσθε κἀν κτερίσμασιν.
καὶ σφῷν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
τοῦδ᾽ ἀνδρὸς οἷς πονεῖτον, οὐκ ἐλάσσονα
ἔτ᾽ ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας.
ΑΝ. Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τί μοι.

1399. κελεύθου, τῆς τ᾽ ἐμῆς δυσπραξίας. De constructione vid. annot. nostr. ad Eumen. v. 9.

1402. τινι Tyrwhittus. Libri τινα.

1403. ἀποστρέψαι πάλιν. *depellere, evitare, infectum reddere*, ut videtur. Doederlinus confert Æsch. Ag. 850. πειρασόμεσθα πῆμ᾽ ἀποστρέψαι νόσου.

1404. συγκῦρσαι. Ita Hermannus. συγκύρσαι vulgo. 'Supplendum δεῖ vel χρὴ quod in superiori ἔξεστι continetur.' ELMSLEIUS.

1407. σφώ γ᾽ ἐὰν αἱ τοῦδ᾽ ἀραί. Sic ex Elmsleii conjectura scripsi, qui etiam ad Bacch. 815. ἐὰν produci censuerat: hoc recepit Hermannus, qui tamen ἐάν γ᾽ edidit, ne ultima in ἐὰν producenda esset. De hac quæstione vide Dindorfium ad Arist. Vesp. 228. σφῶϊν γ᾽ ἂν La. σφῶϊν δ᾽ ἂν Lb. σφῶν γ᾽ ἂν B. V. σφῶιν ἄν γ᾽ T.

1410. *Sepelite me, et honoribus sepulcralibus me afficite.* Non dixisset autem ἐν κτερίσμασι θέσθε, nisi præcessissent verba ἐν τάφοισι θέσθε. WUNDER. κ᾽ ἐν La. καὶ B. T. V.

1413. τῆς ἐμῆς ὑπουργίας, h. e. ὧν ἐμοὶ ὑπουργεῖτε.

ΠΟ. ὦ φιλτάτη, τὸ ποῖον, Ἀντιγόνη; λέγε.
ΑΝ. στρέψαι στράτευμ᾽ ἐς Ἄργος ὡς τάχιστά γε,
καὶ μὴ σέ τ᾽ αὐτὸν καὶ πόλιν διεργάσῃ.
ΠΟ. ἀλλ᾽ οὐχ οἷόν τε. πῶς γὰρ αὖθις αὖ πάλιν
στράτευμ᾽ ἄγοιμ᾽ ἂν ταυτὸν εἰσάπαξ τρέσας;
ΑΝ. τί δ᾽ αὖθις, ὦ παῖ, δεῖ σε θυμοῦσθαι; τί σοι
πάτραν κατασκάψαντι κέρδος ἔρχεται;
ΠΟ. αἰσχρὸν τὸ φεύγειν καὶ τὸ πρεσβεύοντ᾽ ἐμὲ
οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα.
ΑΝ. ὁρᾷς τὰ τοῦδ᾽ οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει
μαντεύμαθ᾽, ὃς σφῷν θάνατον ἐξ ἀμφοῖν θροεῖ;
ΠΟ. χρῄζει γάρ. ἡμῖν δ᾽ οὐχὶ συγχωρητέα.
ΑΝ. οἴμοι τάλαινα· τίς δὲ τολμήσει κλύων
τὰ τοῦδ᾽ ἕπεσθαι τἀνδρός, οἷ᾽ ἐθέσπισεν;
ΠΟ. οὐκ ἀγγελοῦμεν φλαῦρ᾽· ἐπεὶ στρατηλάτου
χρηστοῦ τὰ κρείσσω μηδὲ τἀνδεᾶ λέγειν.
ΑΝ. οὕτως ἄρ᾽, ὦ παῖ, ταῦτά σοι δεδογμένα;
ΠΟ. καὶ μή μ᾽ ἐπίσχῃς γ᾽· ἀλλ᾽ ἐμοὶ μὲν ἥδ᾽ ὁδὸς
ἔσται μελουσα δύσποτμός τε καὶ κακὴ
πρὸς τοῦδε πατρὸς τῶν τε τοῦδ᾽ Ἐρινύων.
σφῷν δ᾽ εὖ διδοίη Ζεύς, τάδ᾽ εἰ τελεῖτέ μοι
θανόντι· ἐπεὶ οὔ μοι ζῶντί γ᾽ αὖθις ἕξετον.

1417. σέ τ᾽ Brunckius. σέ γ᾽ vulgo.

1418. αὖθις ἂν πάλιν idem. Sed αὖθις αὖ minime mutandum; eædem voces occurrunt Phil. 952. Mutatio fiat in versu sequenti, ubi libri ἄγοιμι. ἂν addidit Toupius. Vid. supra ad v. 1172.

1424. ἐς ὀρθὸν ἐκφέρει. *ad eventum ruunt.* HERMANN. Cf. Trach. v. 824.

1426. χρῄζει γάρ. *vult enim quæ vaticinatur.* Ideoque hæc non magni facienda.

1429. οὐκ B. T. V. Ven. Defendi non posse videtur οὐδ᾽.

1435. Vulgo σφῷν δ᾽ εὐοδοίη, unde σφὼ δ᾽ fecit Hermannus. Dindorfii conjecturam ut longe meliorem admisi.

1436. θανόντ᾽. Quæstionem vexatam esse θανόντ᾽ dativus sit an accusativus norunt vel tirones. Mihi locus ita comparatus videtur, ut pro dativo unice sit habendus: nec tamen iis assentior, qui hanc elisionem in dativo apud tragicos admitti posse putant. Quare mediam quandam ingressus viam plene scripsi θανόντι· ἐπεὶ eodem modo quo Hermannus in Trach. 675. ἀργῆτι οἰὸς scripsit, ut scilicet synizesin paterentur vocales. Alii aliter locum explicare conati sunt: quorum nemini plane successit.

μέθεσθε δ' ἤδη, χαίρετόν τ'. οὐ γάρ μ' ἔτι
βλέποντ' ἐσόψεσθ' αὖθις. ΑΝ. ὦ τάλαιν' ἐγώ.
ΠΟ. μή τοί μ' ὀδύρου. ΑΝ. καὶ τίς ἄν σ' ὁρμώμενον
ἐς προῦπτον Ἅιδην οὐ καταστένοι, κάσι;
ΠΟ. εἰ χρή, θανοῦμαι. ΑΝ. μὴ σύ γ', ἀλλ' ἐμοὶ πιθοῦ.
ΠΟ. μὴ πεῖθ' ἃ μὴ δεῖ. ΑΝ. δυστάλαινά τἄρ' ἐγώ,
εἴ σου στερηθῶ. ΠΟ. ταῦτα δ' ἐν τῷ δαίμονι
καὶ τῇδε φῦναι χἀτέρᾳ. σφῷν δ' οὖν ἐγὼ
θεοῖς ἀρῶμαι μή ποτ' ἀντῆσαι κακῶν.
ἀνάξιαι γὰρ πᾶσίν ἐστε δυστυχεῖν.
ΧΟ. νέα τάδε νεόθεν ἦλθέ μοι *στροφὴ α'.*
νέα βαρύποτμα κακὰ παρ' ἀλαοῦ ξένου,
εἴ τι μοῖρα μὴ κιγχάνει.
μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι.
ὁρᾷ ὁρᾷ ταῦτ' ἀεὶ χρόνος, †ἐπεὶ μὲν ἕτερα,

Videant tirones super hac re Elmsl. ad Heracl. 693. Lobeck. ad Aj. v. 802. et ex altera parte Pors. ad Eur. Orest. 584. et Præf. ad Hec. p. xxiv. Schæfer. et Dindorf. ad h. l. et Matth. Gr. Gr. 44. qui iota in dativo elisam non prorsus in Attica poesi damnandam censent.

1441. πιθοῦ] πείθου contra metrum La. Paris. 2886.

1443. εἰ στερηθῶ. Consentiunt codd. et grammaticus in Bekker. Anecd. p. 144. 26. Vid. ad Œd. T. 1062.

1445. *Vestra igitur caussa deos precor, ne unquam in malum incurratis.*

1446. πᾶσιν. *omnium judicio.* Cf. Ant. 904. καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ. ib. 1161. Œd. T. 616. καλῶς ἔλεξεν εὐλαβουμένῳ πεσεῖν.

1447. νέα τάδε—κιγχάνει. *Nova et gravia mala hæc irruunt in me, quorum auctor est cæcus senex, nisi forte fata ei instant.* Alterutrum enim (inquit) indicatur hisce tempestatibus, aut pœnam nobis imminere ob sacri hospitis nefandum hospitium, aut mortem illi instare, quam dudum prædixerat. Trepidatio invadit Chorum ex tempestate ingruente, cujus jam nunc conspiciuntur fulgura. DOEDERLIN. Idem monuit poetam illud curasse non videri, quod quum hoc fore prædiceret Œdipus v. 95. nondum prodiisset Chorus in scenam.

1448. νέα ante βαρύποτμα inseruit Hermannus.

1450. κιγχάνει. Hanc formam defendit Eustathius Od. E. p. 1525. 16. Vid. Herm. de Em. Rat. Gr. p. 60. Vulgo κιχάνει. GAISFORD. Ad κιγχάνει sub. αὐτόν. Comparant Hom. Il. X. 303. νῦν αὖτέ με μοῖρα κιχάνει.

1451. μάτην γάρ. Neque enim quidquam deorum decreto fit, quin momentum habeat. DOEDERLIN. οὐδὲν μάτην ἀξίωμα φράσαι valet οὐδὲν μάτην ἠξιωμένον.

1453. ταῦτα sunt decreta a diis quæ modo ἀξιώματα δαιμόνων appellata sunt. Quæ quum *videre* tempus dicitur, est id, respici ea a tempore, ita ut serius ocius appareat, non vana fuisse. HERMANN.

1454. ἐπεὶ μὲν ἕτερα] ἐπεὶ procul-

τὰ δὲ παρ' ἦμαρ αὖθις αὔξων ἄνω.
ἔκτυπεν αἰθήρ, ὦ Ζεῦ.
ΟΙ. ὦ τέκνα τέκνα, πῶς ἄν, εἴ τις ἔντοπος,
τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι;
ΑΝ. πάτερ, τί δ' ἐστὶ τἀξίωμ' ἐφ' ᾧ καλεῖς;
ΟΙ. Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξεται
βροντὴ πρὸς Ἅιδην. ἀλλὰ πέμψαθ' ὡς τάχος.
ΧΟ. ἴδε μάλα μέγας ἐρείπεται *ἀντιστροφὴ α'.*
κτύπος ἄφατος ὅδε διόβολος· ἐς δ' ἄκραν
δεῖμ' ὑπῆλθε κρατὸς φόβαν.
ἔπτηξα θυμόν. οὐρανία γὰρ ἀστραπὴ φλέγει πάλιν.
τί μὰν ἀφήσει τέλος; δέδια δ'· οὐ γὰρ ἅλιον
ἀφορμᾷ ποτ', οὐδ' ἄνευ ξυμφορᾶς.
ὦ μέγας αἰθήρ, ὦ Ζεῦ.
ΟΙ. ὦ παῖδες, ἥκει τῷδ' ἐπ' ἀνδρὶ θέσφατος
βίου τελευτή, κοὐκ ἔτ' ἔστ' ἀποστροφή.
ΑΝ. πῶς οἶσθα; τῷ δὲ τοῦτο συμβαλὼν ἔχεις;
ΟΙ. καλῶς κάτοιδ'. ἀλλ' ὡς τάχιστά μοι μολὼν
ἄνακτα χώρας τῆσδέ τις πορευσάτω.
ΧΟ. ἔα ἔα, ἰδοὺ μάλ' αὖθις ἀμφίσταται *στροφὴ β'.*
διαπρύσιος ὄτοβος.

dubio corruptum, nec quidquam, quod sciam, profecerunt conjecturæ. Quærendum esse vocabulum, quod αὐτίκα significet, recte monuit Jacobsius. ἕτερα autem et τὰ δὲ sibi respondent: *nunc alia, rursus alia.*

1455. τὰ δὲ παρ' ἦμαρ αὖθις αὔξων ἄνω] παρ' ἦμαρ e schol. restitutum. Vulgo πήματ'. Vertit Hermannus: *alia in proximum diem rursus in melius erigens.* Dicit poeta: Ex deorum decretis alia nunc, alia in proximum diem, h. e. serius ocius omnia, rata fieri. De locutione παρ' ἦμαρ cf. Matth. G. G. 588. c.

1456. ἔκτυπεν. Forma Homerica ἔκτυπε sæpius in Attica poesi non legitur. Communis ἐκτύπησε extat v. 1606. ELMSL.

1466. οὐρανία. Anapæstum in senario choricis interposito ferendum putat Lobeckius ad Aj. v. 706. Reisigio, ut olim et Hermanno visum, duæ postremæ syllabæ in unam contrahi videntur; quod melius fortasse. Conjecturis non bene rem gesserunt critici: pessime ὀρανία Dindorfius. Corruptum tamen esse οὐρανία suspicari licet ex Scholiastæ annotatione, οὐρανία, ἀντὶ τοῦ ταχεῖα.

1468. τί μὰν ἀφήσει τέλος; *quemnam emittet finem?* HEATHIUS. ἀφήσει autem non sine vi dictum de fulgure coruscante et rei exitum portendente.

1470. οὐδ' correxit Heathius. οὐκ libri.

ἵλαος, ὦ δαίμων, ἵλαος, εἴ τι γᾷ
ματέρι τυγχάνεις ἀφεγγὲς φέρων.
ἐναισίου δὲ συντύχοιμι, μηδ' ἄλαστον ἄνδρ' ἰδών,
ἀκερδῆ χάριν μετάσχοιμί πως·
Ζεῦ ἄνα, σοὶ φωνῶ.
ΟΙ. ἆρ' ἐγγὺς ἀνήρ; ἆρ' ἔτ' ἐμψύχου, τέκνα,
κιχήσεταί μου καὶ κατορθοῦντος φρένα;
ΑΝ. τί δ' ἂν θέλοις τὸ πιστὸν (?) ἐμφῦναι φρενί;
ΟΙ. ἀνθ' ὧν ἔπασχον εὖ, τελεσφόρον χάριν
δοῦναί σφιν, ἥνπερ τυγχάνων ὑπεσχόμην.
ΧΟ. ἰὼ ἰὼ παῖ, βᾶθι βᾶθ' * * * ἀντιστρ. β'.
εἴτ' ἄκρον ἐπὶ γύαλον
ἐναλίῳ Ποσειδαονίῳ θεῷ

1481. ἀφεγγές. *tenebricosum*, h. e. ærumnosum. Hom. Iliad. Δ. 117. μελαινάων ὀδυνάων, ubi Schol. εἰς βάθος διηκουσῶν δεινῶν. Eurip. Phœn. 950. μέλαιναν κῆρ'. Vid. et Æsch. Choeph. 51. et infra v. 1683. Musgrav.

1482. ἐναισίου δὲ συντύχοιμι] συντύχοιμι cum eodem quo simplex verbum casu jungi notavit Brunckius. Cf. Phil. 320. οἶδα συντυχὼν κακῶν ἀνδρῶν 'Ατρειδῶν. Similiter ἐντυχὼν ibid. 1333. Minus bene vertit Wunderus, *utinam pius sit, in quem incidi.* Quod de Œdipo intelligi vult, generalius expressit Chorus: quod ex orationis serie patet.

1483. ἀκερδῆ χάριν recte cum ἄχαρις χάρις Prom. v. 545. contulit Reisigius. ἀκερδῆ χάριν malum dicit poeta quod ex pravorum consuetudine oriri solet. Cf. Æsch. Sept. c. Th. 597. seqq. Horat. Od. III. ii. 26. Accusativus autem χάριν non a μετάσχοιμι regitur, sed toti sententiæ subjicitur sc. μηδὲ μετάσχοιμί πως, ἢ χάρις ἀκερδὴς ἂν εἴη. Vid. Matth. Gr. Gr. 432. 5.

1486. ἀνὴρ edd. ante Brunckium.

1487. κιχήσεται. Cum genitivo construxit ut τυγχάνειν. Dindorf.

1488. Credo Hermannum recte ἐμφῦσαι conjecisse, quod Scholiasta ἐμβαλεῖν interpretatus est.

1490. σφιν singularis numeri est, sicut in Æsch. Pers. 759. Mox τυγχάνων est *quum ea quæ cupiebam consequerer.*

1491. Valde corrupta est prima hujus antistrophæ pars. Vulgo ἰὼ παῖ βᾶθι, βᾶθ'. εἴτ' ἄκραν | ἐπὶ γύαλον ἐναλίῳ | Ποσειδαώνιῳ θεῷ τυγχάνεις | βούθυτον κ. τ. λ. ἰὼ geminavit Seidler. de verss. dochm. p. 36. 174. Lacunam post παῖ indicavit Hermannus: melius fortasse post βᾶθ' Dindorfius, qui aliquid hinc excidisse, quod ab εἴτε inceperit, terminatum autem verbo κυρεῖς fuerit, cujus e glossemate τυγχάνεις in v. 1494. illatum sit, non sine probabilitate suspicatur. τυγχάνεις deleverat antea Hermannus. Ποσειδαονίῳ denique restitutum ex R. solo. ἵκου in v. 1495. libri pravo accentu. Correxit hic, ut alibi, Elmsleius.

εἴτ' ἄκρον ἐπὶ γύαλον] ἄκρον Vauvillersius. ἄκραν vulgo. Vertit Hermannus: *O fili, sive alibi es, veni, sive in summa campi parte marino deo Neptuno aram taurina victima sacrans, ades.*

βούθυτον ἑστίαν ἁγίζων, ἱκοῦ.
ὁ γὰρ ξένος σε καὶ πόλισμα καὶ φίλους ἐπαξιοῖ
δικαίαν χάριν παρασχεῖν παθών.
[σπεῦσον,] ἄϊσσ', ὦναξ.
ΘΗ. τίς αὖ παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος,
σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τοῦ ξένου;
μή τις Διὸς κεραυνός, ἤ τις ὀμβρία
χάλαζ' ἐπιρράξασα; πάντα γὰρ θεοῦ
τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.
ΟΙ. ἄναξ, ποθοῦντι προὐφάνης, καί σοι θεῶν
τύχην τις ἐσθλὴν τῆσδ' ἔθηκε τῆς ὁδοῦ.
ΘΗ. τί δ' ἐστίν, ὦ παῖ Λαΐου, νέορτον αὖ;
ΟΙ. ῥοπὴ βίου μοι. καί σ' ἅπερ ξυνήνεσα
θέλω πόλιν τε τήνδε μὴ ψεύσας θανεῖν.
ΘΗ. ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ;
ΟΙ. αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι,
ψεύδοντες οὐδὲν σημάτων προκειμένων.
ΘΗ. πῶς εἶπας, ὦ γεραιέ, δηλοῦσθαι τάδε;
ΟΙ. αἱ πολλὰ βρονταὶ διατελεῖς, τὰ πολλά τε
στράψαντα χειρὸς τῆς ἀνικήτου βέλη.
ΘΗ. πείθεις με· πολλὰ γάρ σε θεσπίζονθ' ὁρῶ
κοὐ ψευδόφημα. χὤ τι χρὴ ποιεῖν λέγε.
ΟΙ. ἐγὼ διδάξω, τέκνον Αἰγέως, ἅ σοι
γήρως ἄλυπα τῇδε κείσεται πόλει.
χῶρον μὲν αὐτὸς αὐτίκ' ἐξηγήσομαι,
ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
τοῦτον δὲ φράζε μή ποτ' ἀνθρώπων τινί,

1496. Ordo est ἐπαξιοῖ σε καὶ πόλισμα καὶ φίλους, ὥστε παθὼν παρασχεῖν δικαίαν χάριν, ut monuit Brunckius.

1499. σπεῦσον solius Triclinii auctoritate nititur. Mancæ sunt edd. vett.

1502. μή τις κ. τ. λ. sc. *clamorem hunc excitavit*, quod monuit Elmsleius.

1506. τῆσδ' ἔθηκε Brunckius. θῆκε τῆσδε vulgo.

1514. αἱ πολλὰ βρονταί. Cf. Ant. 1046.

1515. στράψαντα Piersonus. στρέψαντα vulgo. Veræ scripturæ vestigia habet Lb. τὰ πολλά τ' ἀστράψαντα.

1519. γήρως ἄλυπα. *quæ nullo consenescent ævo.* Heathius.

μήθ' οὗ κέκευθε μήτ' ἐν οἷς κεῖται τόποις·
ὥς σοι πρὸ πολλῶν ἀσπίδων ἀλκὴν ὅδε
δορός τ' ἐπακτοῦ γειτόνων ἀεὶ τιθῇ.
ἃ δ' ἐξάγιστα μηδὲ κινεῖται λόγῳ,
αὐτὸς μαθήσει, κεῖσ' ὅταν μόλῃς μόνος·
ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τῳ,
οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς, στέργων ὅμως.
ἀλλ' αὐτὸς ἀεὶ σῶζε, χὤταν εἰς τέλος
τοῦ ζῆν ἀφικνῇ, τῷ προφερτάτῳ μόνῳ
σήμαιν'· ὁ δ' ἀεὶ τὠπιόντι δεικνύτω.
χοὕτως ἀδῆον τήνδ' ἐνοικήσεις πόλιν
σπαρτῶν ἀπ' ἀνδρῶν· αἱ δὲ μυρίαι πόλεις,
κἂν εὖ τις οἰκῇ, ῥᾳδίως καθύβρισαν.
θεοὶ γὰρ εὖ μέν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφεὶς τις εἰς τὸ μαίνεσθαι τραπῇ·
ὃ μὴ σύ, τέκνον Αἰγέως, βούλου παθεῖν.
τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν.
χῶρον δ', ἐπείγει γάρ με τοὐκ θεοῦ παρόν,

1523. Tautologiam, quam hoc versu contineri putat Elmsleius, nullam esse jam Reisigius observavit. Diversa sunt enim locus ipse tumuli, et regio in qua est ille locus. Neque quod præterea Elmsleius reprehendit, vix hunc locum conciliari posse cum v. 1641. ex quo constet non solum Theseum, verum etiam Œdipi filias et Thesei famulos ad ipsum mortis locum cum Œdipo pervenisse, mihi quidem vere dictum videtur. Nam certo fine tenus Œdipum illos secum abduxisse dicitur: tum solus mansisse cum Theseo, illis abire jussis: qui paullo post, ubi se converterunt, illum nusquam conspiciunt, sed solum relictum vident Theseum. Itaque etsi ubi ipsi eum postremum viderint dicere possunt, tamen quo raptus aut ubi terra haustus sit nesciunt. HERMANN.

1525. *Ut is tibi multorum vice clypeorum externorumque subsidio accersitorum militum, contra vicinos semper sit præsidio.* BRUNCK.

1526. ἐξάγιστα. Cf. Lexicon nostrum Æschyleum s. v. ἐναγής.

1530. αἰεὶ La. B. T. V.

1531. ἀφίκῃ La. Lb. sed recte Elmsleius: Subjunctivus imperfectus ἀφίκνῇ non solum metro verum etiam sententiæ convenientior mihi videtur. Altera enim scriptura nihil aliud significat quam ὅταν θάνῃς, *ubi mortuus eris*. Sententia vero non *mortuus*, sed *jam moriturus* postulat.

1532. αἰεὶ codd. ut videtur, omnes.

1534. σπαρτῶν ἀπ' ἀνδρῶν. Cf. Blomf. Gloss. ad Sept. c. Th. 408.

1535. οἰκῇ. *administret*. Cf. supra v. 1004.

στείχωμεν ἤδη, μηδ' ἔτ' ἐντρεπώμεθα.
ὦ παῖδες, ὧδ' ἕπεσθ'. ἐγὼ γὰρ ἡγεμὼν
σφῷν αὖ πέφασμαι καινός, ὥσπερ σφὼ πατρί.
χωρεῖτε, καὶ μὴ ψαύετ', ἀλλ' ἐᾶτέ με
αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν, ἵνα
μοῖρ' ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι χθονί.
τῇδ', ὧδε, τῇδε βᾶτε. τῇδε γάρ μ' ἄγει
Ἑρμῆς ὁ πομπὸς ἥ τε νερτέρα θεός.
ὦ φῶς ἀφεγγές, πρόσθε πού ποτ' ἦσθ' ἐμόν,
νῦν δ' ἔσχατόν σου τοὐμὸν ἅπτεται δέμας.
ἤδη γὰρ ἕρπω τὸν τελευταῖον βίον
κρύψων παρ' Ἅιδην. ἀλλά, φίλτατε ξένων,
αὐτός τε χώρα θ' ἥδε πρόσπολοί τε σοὶ
εὐδαίμονες γένοισθε, κἀπ' εὐπραξίᾳ
μέμνησθέ μου θανόντος εὐτυχεῖς ἀεί.
ΧΟ. εἰ θέμις ἐστί μοι τὰν ἀφανῆ θεὸν — στροφή.
καὶ σὲ λιταῖς σεβίζειν,
ἐννυχίων ἄναξ,
Αἰδωνεῦ, Αἰδωνεῦ, (?) λίσσομαι,
ἐπιπόνῳ μήτ' ἐπὶ βαρυαχεῖ

1541. ἐντρεπώμεθα. ἐντρέπεσθαι quum proprie sit *sese convertere*, inest ei verbo *subsistendi* significatio, quæ eodem redit quo μέλλειν. HERMANN. μηδ' ἔτ' autem correxit Reisigius. μηδέ γ' vulgo.

1555. μέμνησθ'] μεμνῇσθ' Elmsleius. Fallitur. Abeuntes μέμνησο dicere usitatius est quam μεμνῇο. Alia est ratio præcedentis optativi εὐδαίμονες γένοισθε. Namque felicem fieri non est in potestate hominis positum, est vero, meminisse amicorum. Aptissime igitur Œdipus alterum optat, jubet alterum. DIND.

1556. τὰν ἀφανῆ θεόν. Proserpinam.

1559. Αἰδωνεῦ, Αἰδωνεῦ. Vulgo Ἀϊδωνεῦ. Diæreseos puncta delevit Hermannus.

1560. λίσσομαι corruptum est, si versus ex tribus molossis constat, sicut Hermanno visum Elem. Doctr. Metr. lib. ii. xxi. 35. ubi Erfurdtii conjecturam αἰδοῦμαι, quod Scholiasta legisse potest, cum Reisigio recepit. Et hæc mihi longe probabilior videtur quam illa quam inferre conatur Dindorfius, sc. λίσσωμαι. Cæterum αἰδοῦμαι *veneror, precor*, significaret; sicut στέργω v. 1094. Metri hujus exempla comparavit Dindorfius Ant. 844=862. 1121=1132. Phil. 837=853. Aristoph. Av. 1724. Lysistr. 1314. Vid. ejus annot. ad h. l.

1561. μήτ' ἐπιπόνῳ vulgo. μήτ' delevit Seidlerus. βαρυαχεῖ ab ἄχος deductum esse recte monuit Hermannus.

ξένον ἐξανύσαι
μόρῳ τὰν παγκευθῆ κάτω
νεκρῶν πλάκα καὶ Στύγιον δόμον.
πολλῶν γὰρ ἂν καὶ μάταν
πημάτων ἱκνουμένων,
πάλιν σφε δαίμων δίκαιος αὔξοι.
ὦ χθόνιαι θεαί, σῶμά τ' ἀνικάτου ἀντιστροφή.
θηρός, ὃν ἐν πύλαισι
φασὶ πολυξένοις
εὐνᾶσθαι κνυζᾶσθαί τ' ἐξ ἄντρων
ἀδάματον φύλακα παρ' Ἀΐδᾳ
λόγος αἰὲν ἔχει·
ὅν, ὦ Γᾶς παῖ καὶ Ταρτάρου,
κατεύχομαι ἐν καθαρῷ βῆναι
ὁρμωμένῳ νερτέρας
τῷ ξένῳ νεκρῶν πλάκας.
σέ τοι κικλήσκω τὸν αἰένυπνον.

1562. ἐξανύσαι, sc. ὁδόν. Ita Vauvillersius et Brunckius. Libri ἐκτανύσαι habent. Brunckius comparat Ant. 805. τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον τήνδ' Ἀντιγόνην ἀνύτουσαν. Aj. 606. κακὰν ἐλπίδ' ἔχων ἔτι με ποτ' ἀνύσειν τὸν ἀπότροπον ἀΐδηλον Ἅιδαν.

1565. ἂν cum αὔξοι jungendum. μάταν *nullo suo merito* vertit Musgravius.

1567. σφε Reiskius. Vulgo σε.

1568. Invocat Furias et Cerberum: hunc, ut ne teneat animam mortui in limine Ditis: illas, ut propitiæ sint, nec puniant quæ ille sine mala mente commisit. HERMANN.

1570. πολυξέστοις vulgo. Musgravii πολυξένοις unice metri ratione commendatur, coll. Æsch. Suppl. 157. τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων.

1571. κνυζεῖσθαι, quod habent La. Lb. A. F. ut magis Atticum prætulit Elmsleius. Verisimile est, ut in stropha nomen Αἰδωνεὺς bis positum, ita hic in diversis verbis sonum eundem captare Sophoclem. HERMANN.

1572. ἀδάμαστον vulgo. Correxit Brunckius.

1573. ἔχει T. ἀνέχει vulgo.

1574. ὅν, ὦ Γᾶς παῖ. Non Cerberum, sed mortem dicit Γᾶς παῖ καὶ Ταρτάρου· unde eam, quod hæc ambigua appellatio est, clarius designat v. 1578. σέ τοι κικλήσκω τὸν αἰένυπνον. HERMANN.

1575. ἐν καθαρῷ βῆναι significat recedere debere Cerberum, ut pura sit via hospiti, neu ille adspectu canis aut latratu terreatur. IDEM. Cum locutione ἐν καθαρῷ, quod de loco dicitur unde amota sunt impedimenta, Reisigius comparavit Homer. Iliad. Ο. 491. Κ. 199.

1578. αἰένυπνον proprium mortis epitheton. Ita restitutum ex Schol. et Suida s. h. v. Eustath.

ΑΓΓΕΛΟΣ.

ἄνδρες πολῖται, ξυντομωτάτως μὲν ἂν
τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα·
ἃ δ' ἦν τὰ πραχθέντ', οὔθ' ὁ μῦθος ἐν βραχεῖ
φράσαι πάρεστιν οὔτε τἄργ' ὅσ' ἦν ἐκεῖ.
ΧΟ. ὄλωλε γὰρ δύστηνος; ΑΓ. ὡς λελοιπότα
κεῖνον τὸν ἀεὶ βίοτον ἐξεπίστασο.
ΧΟ. πῶς; ἆρα θείᾳ κἀπόνῳ τάλας τύχῃ;
ΑΓ. τοῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον.
ὡς μὲν γὰρ ἐνθένδ' εἷρπε, καὶ σύ που παρὼν
ἔξοισθ', ὑφηγητῆρος οὐδενὸς φίλων,
ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος·
ἐπεὶ δ' ἀφῖκτο τὸν καταρράκτην ὀδὸν
χαλκοῖς βάθροισι γῆθεν ἐρριζωμένον,
ἔστη κελεύθων ἐν πολυσχίστων μιᾷ,
κοίλου πέλας κρατῆρος, οὗ τὰ Θησέως

p. 1201. 25. Libri αἰὲν ἄϋπνον. Sed T. αἰὲν ἔνυπνον.

1584. ἀεὶ La. F. αἰεὶ vulgo. τὸν ἀεὶ βίοτον vix aliter interpretari licet quam cum Hermanno, *quam semper egit vitam*, i. e. hanc omni tempore ærumnosam vitam. χρόνον intelligunt nonnulli, et hic et in El. v. 1075. qu. v. et Trach. v. 80. Cæterum cum ὡς asseverandi vi adhibito cf. supr. 861. ὡς τοῦτο νῦν πεπράξεται. Æsch. Pers. 260. 730.

1587. Hyperbaton. Ordo est: καὶ σὺ γάρ που παρὼν ἔξοισθα, ὡς εἷρπε κ. τ. λ.

1588. Vid. ad Œd. T. 1260.

1590. τὸν καταρράκτην ὁδόν] καταρράκτης dicitur, quippe qua descensus pateat ad inferos. Vid. Schol. ad v. 57. Derivatur a καταράσσειν, et significat vel id quod ipsum cum impetu deorsum ruit, vel quod aliis viam deorsum præbet. Cf. Basil. Fab. Thes. erud. Schol. s. v. *cataracta*. Ad h. l. hæc. annotavit Hermannus: 'Non videtur dubitari posse, quin qui v. 57. dictus est χαλκόπους ὀδός, idem sit, quem hic dicit χαλκοῖς βάθροισι γῆθεν ἐρριζωμένον· sed inde non consequitur, non constitisse sibi poetam. Non enim mutata est scena fabulæ, sed omnia in eodem loco geruntur. Itaque sic potius existimandum videtur, latius patuisse illam ærei liminis appellationem, ut partem comprehenderet loci, qui in scena conspiciebatur, pars autem extra scenam esset, et quidem ea, in qua hiatus esset ille, qui designatur verbis ὁ καταρράκτης ὀδὸς et κοῖλος κρατήρ, ubi descensus patere ad inferos credebatur.' HERMANN.

1592. πολυσχίστῳ libri. Correxit Heathius.

1593. κοίλου κρατῆρος recte per metaphoram μυχὸν sive *cavum terræ* interpretantur Suidas et Scholiasta. Locus in Attica sic appellatus fuisse videtur, per quem, teste Pausania, post Deucalionis dilu-

Περίθου τε κεῖται πιστ' ἀεὶ ξυνθήματα·
ἀφ' οὗ μέσος στὰς τοῦ τε Θορικίου πέτρου
κοίλης τ' ἀχέρδου κἀπὸ λαΐνου τάφου,
καθέζετ'· εἶτ' ἔλυσε δυσπινεῖς στολάς.
κἄπειτ' ἀΰσας παῖδας ἠνώγει ῥυτῶν
ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ χοάς ποθεν·
τὼ δ' εὐχλόου Δήμητρος εἰς ἐπόψιον
πάγον μολοῦσα τάσδ' ἐπιστολὰς πατρὶ
ταχεῖ πόρευσαν ξὺν χρόνῳ, λουτροῖς τέ νιν
ἐσθῆτί τ' ἐξήσκησαν ᾗ νομίζεται.
ἐπεὶ δὲ παντὸς εἶχε δρῶντος ἡδονήν,
κοὐκ ἦν ἔτ' ἀργὸν οὐδὲν ὧν ἐφίετο,
κτύπησε μὲν Ζεὺς χθόνιος, αἱ δὲ παρθένοι
ῥίγησαν, ὡς ἤκουσαν· ἐς δὲ γούνατα
πατρὸς πεσοῦσα κλᾶον, οὐδ' ἀνίεσαν
στέρνων ἀραγμοὺς οὐδὲ παμμήκεις γόους.
ὁ δ' ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρόν,
πτύξας ἐπ' αὐταῖς χεῖρας εἶπεν, ὦ τέκνα,
οὐκ ἔστ' ἔθ' ὑμῖν τῇδ' ἐν ἡμέρᾳ πατήρ.
ὄλωλε γὰρ δὴ πάντα τἀμά, κοὐκ ἔτι
τὴν δυσπόνητον ἕξετ' ἀμφ' ἐμοὶ τροφήν·
σκληρὰν μέν, οἶδα, παῖδες· ἀλλ' ἓν γὰρ μόνον

vium effluxit aqua. Eo ad inferos fœdere de Proserpina rapienda pacto descendisse ferunt Theseum et Pirithoum, quorum simul meminit Homerus, Odyss. Λ. 630.

1594. κεῖται ξυνθήματα. Fidei pignora dicit ante descensum ad inferos mutuo deposita.

1595. ἀφ' οὗ μέσος Brunckius. ἐφ' οὗ μέσου vulgo. 'Quatuor hic indicantur puncta, quorum in medio substitit Œdipus, et desedit, κοῖλος κρατήρ, πέτρος Θορίκιος, κοίλη ἄχερδος, λάϊνος τάφος.' Brunck.

1600. Locum qui hic describitur aliunde non magis novimus quam qui in præcedentibus verbis designantur. Neque enim de templo longius dissito Cereris χλόης, quod prope arcem Athenarum fuit, cogitari potest: qui Scholiastæ error fuit. Dindorf. Notandum autem τὼ pro τὰ positum. Vid. Matth. Gr. Gr. 63. 436.

1602. πόρευσαν. De augmento in hujusmodi locis omisso vid. ad Œd. T. 1249. 'πόρευσαν vulgo. Cf. vv. 1606. 1607. 1608. 1624.

1604. πᾶν δρῶν idem est ac πᾶσα ὑπηρέτησις. Vid. ad Trach. 196. Herm. Cf. Wunderlich. Obss. Critt. p. 106.

1608. πεσοῦσα recte correxit Dindorfius. Libri πεσοῦσαι.

τὰ πάντα λύει ταῦτ' ἔπος μοχθήματα.
τὸ γὰρ φιλεῖν οὐκ ἔστιν ἐξ ὅτου πλέον
ἢ τοῦδε τἀνδρὸς ἔσχεθ', οὗ τητώμεναι
τὸ λοιπὸν ἤδη τὸν βίον διάξετον.
τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι
λύγδην ἔκλαον πάντες. ὡς δὲ πρὸς τέλος
γόων ἀφίκοντ' οὐδ' ἔτ' ὠρώρει βοή,
ἦν μὲν σιωπή· φθέγμα δ' ἐξαίφνης τινὸς
θώϋξεν αὐτόν, ὥστε πάντας ὀρθίας
στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας.
καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῇ θεός·
ὦ οὗτος οὗτος, Οἰδίπους, τί μέλλομεν
χωρεῖν; πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται.
ὁ δ' ὡς ἐπῄσθετ' ἐκ θεοῦ καλούμενος,
αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα Θησέα.
κἀπεὶ προσῆλθεν, εἶπεν, ὦ φίλον κάρα,
δός μοι χερὸς σῆς πίστιν ἀρχαίαν τέκνοις,
ὑμεῖς τε, παῖδες, τῷδε· καὶ καταίνεσον
μήποτε προδώσειν τάσδ' ἑκών, τελεῖν δ' ὅσ' ἂν
μέλλῃς φρονῶν εὖ ξυμφέροντ' αὐταῖς ἀεί.
ὁ δ', ὡς ἀνὴρ γενναῖος, οὐκ οἴκτου μέτα
κατῄνεσεν τάδ' ὅρκιος δράσειν ξένῳ.
ὅπως δὲ ταῦτ' ἔδρασεν, εὐθὺς Οἰδίπους
ψαύσας ἀμαυραῖς χερσὶν ὧν παίδων λέγει,

1619. τὸν βίον Elmsleius. βίοτον libri. τοῦ βίου Suidas.

1626. καλεῖ. Vid. ad Œd. T. 1245.

1628. τἀπὸ σοῦ. *quod ad te attinet.* h. e. σύ. Locutio satis nota. καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ El. 1464. Cf. Matth. Gr. Gr. 572. et vid. supra ad v. 453.

1632. πίστιν ἀρχαίαν dicit, quæ firma maneat, olim antiqua futura. Sic Æsch. Ag. 579. θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος. Hermann.

1635. μέλλῃς, sc. τελεῖν. φρονῶν εὖ jungendum infinitivo qui præcedit, τελεῖν. Valet *benevole.* Schaefer.

1636. οὐκ οἴκτου μέτα. *Non ejulans et lamentans, quamvis commotus miseratione.* Schaefer.

1639. ὧν. Notandus hujus pronominis sine articulo rarior usus. τὸν ὃν προσμένουσ' ἄκοιτιν Trach. 525. τῶν ὅπλων τῶν ὧν πέρι Aj. 442.

ὦ παῖδε, τλάσα χρὴ τὸ γενναῖον φρενὶ
χωρεῖν τόπων ἐκ τῶνδε, μηδ' ἃ μὴ θέμις
λεύσσειν δικαιοῦν, μηδὲ φωνούντων κλύειν.
ἀλλ' ἕρπεθ' ὡς τάχιστα· πλὴν ὁ κύριος
Θησεὺς παρέστω μανθάνων τὰ δρώμενα.
τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν
ξύμπαντες· ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις
στένοντες ὡμαρτοῦμεν. ὡς δ' ἀπήλθομεν,
χρόνῳ βραχεῖ στραφέντες, ἐξαπείδομεν
τὸν ἄνδρα, τὸν μὲν οὐδαμοῦ παρόντ' ἔτι,
ἄνακτα δ' αὐτὸν ὀμμάτων ἐπίσκιον
χεῖρ' ἀντέχοντα κρατός, ὡς δεινοῦ τινος
φόβου φανέντος οὐδ' ἀνασχετοῦ βλέπειν.
ἔπειτα μέντοι βαιόν, οὐδὲ σὺν χρόνῳ,
ὁρῶμεν αὐτὸν γῆν τε προσκυνοῦνθ' ἅμα
καὶ τὸν θεῶν Ὄλυμπον ἐν ταὐτῷ λόγῳ.
μόρῳ δ' ὁποίῳ κεῖνος ὤλετ' οὐδ' ἂν εἷς
θνητῶν φράσειε, πλὴν τὸ Θησέως κάρα.
οὐ γάρ τις αὐτὸν οὔτε πυρφόρος θεοῦ
κεραυνὸς ἐξέπραξεν οὔτε ποντία
θύελλα κινηθεῖσα τῷ τότ' ἐν χρόνῳ,
ἀλλ' ἤ τις ἐκ θεῶν πομπός, ἢ τὸ νερτέρων
εὔνουν διαστὰν γῆς ἀλάμπετον βάθρον.
ἀνὴρ γὰρ οὐ στενακτὸς οὐδὲ σὺν νόσοις
ἀλγεινὸς ἐξεπέμπετ', ἀλλ' εἴ τις βροτῶν
θαυμαστός. εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,

τῶν ὧν τέκνων Trach. 266. τοῖς οἷσιν αὐτοῦ Œd. T. 1248. λιτῶν τῶν ὧν Æsch. Sept. c. Th. 641. τὰ ἃ δάκρυα Plat. Rep. iii. p. 394. A. Æschylus tamen λέσχας ἃς dixit Eum. 367. et ὧν ἀλόχων Euripides, Hel. 1124. quod pro τῶν ἀλόχων restituit Matthiæ. Cf. Elmsl. ad Eur. Med. 925.

1640. τλάσα recte fortasse Dindorfius. Libri τλάσας. Comparari potest Eur. Alc. 624. ἔργον τλᾶσα γενναῖον τόδε, quod citavit Hermannus.

1643. ὁ κύριος. Ad quem hæc pertinent: in quibus illius præsentia opus est. HERMANNUS.

1662. ἀλάμπετον, h. e. *luce carens*, sic v. l. in La. ἀλύπητον olim legebatur.

1663. σὺν νόσοις. Cf. Œd. T. 17.

οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.
ΧΟ. ποῦ δ' αἵ τε παῖδες χοἰ προπέμψαντες φίλων;
ΑΓ. αἵδ' οὐχ ἑκάς. γόων γὰρ οὐκ ἀσήμονες
φθόγγοι σφε σημαίνουσι δεῦρ' ὁρμωμένας.
ΑΝ. αἰαῖ, ἔστιν ἔστι νῷν δὴ στροφὴ α΄.
οὐ τὸ μέν, ἄλλο δὲ μή, πατρὸς ἔμφυτον
ἄλαστον αἷμα δυσμόροιν στενάζειν,
ᾧτινι τὸν πολὺν
ἄλλοτε μὲν πόνον ἔμπεδον εἴχομεν,
ἐν πυμάτῳ δ' ἀλόγιστα παροίσομεν
ἰδόντε καὶ παθούσα.
ΧΟ. τί δ' ἔστιν; ΑΝ. ἔστιν μὲν εἰκάσαι, φίλοι.
ΧΟ. βέβηκεν; ΑΝ. ὡς μάλιστ' ἂν εἰ πόθῳ λάβοις.
τί γάρ, ὅτῳ μήτ' Ἄρης
μήτε πόντος ἀντέκυρσεν,
ἄσκοποι δὲ πλάκες ἔμαρψαν
ἐν ἀφανεῖ τινι μόρῳ φερόμενον.

1666. οὐκ ἂν παρείμην. Non tanti eos facio, quibus male sapere videor, ut eorum veniam impetrare cupiam. De verbo παρίεμαι v. Ruhnk. ad Tim. p. 207. Cf. Med. 892. ELMSL.

1670. Vulgo αἶ αἶ φεῦ. φεῦ delevit ed. Glasg. a. 1745. Mox ἔστιν bis MSS. plerique.

1671. οὐ τὸ μέν, ἄλλο δὲ μή. Elmsleius comparat Phocyl. ap. Gaisf. vol. i. p. 444. καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοί, οὐχ ὁ μέν, ὃς δ' οὔ. πάντες πλὴν Προκλέους, καὶ Προκλέης Λέριος. Adde Æschyl. Pers. v. 802. συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ. Vertit et explicat Hermannus: *licet, licet nobis, non in hoc quidem, in alio autem non* (i. e. in rebus omnibus), *patris insitum infandum sanguinem miseris gemere.* Nam ἔμφυτον ἄλαστον αἷμα dicit infelicem sanguinem, ex quo procreatæ sint: cui origini debeant, quod et vivo illo perpetuis malis conflictatæ sint, et nunc morte ejus incredibilia perpessæ. Hæc ille.

1675. παροίσομεν. *afferemus, dicemus.* Sensus est: *ad extremum denique inexputabilia nos vidisse expertasque esse dicemus.* HERMANN. Cf. ἄδεια μὲν ἀντία δ' οἴσω Trach. v. 123. Supra v. 166. λόγον εἴ τιν' οἴσεις πρὸς ἐμὰν λέσχαν.

1676. ἰδόντε καὶ παθούσα. Masculinum cum feminino insolentius conjunctum. Cf. Matth. Gr. Gr. 436. 1.

1677. ἔστιν μὲν εἰκάσαι Hermannus. Legebatur οὐκ ἔστιν.

1678. ὡς μάλιστ' ἂν εἰ πόθῳ λάβοις. h. e. ὡς μάλιστ' ἂν λάβοις, εἰ πόθῳ λάβοις. *quo modo maxime exoptatam ejus mortem accipias.* Supprimitur scilicet optativus alter.

1680. τί γάρ; *quidni?* Cf. Eurip. Orest. v. 482. SCHAEFER.

1683. φαινόμεναι vulgo. φερόμεναι Martinus, et etiam Herman-

τάλαινα· νῷν δ' ὀλεθρία
νὺξ ἐπ' ὄμμασιν βέβηκε.
πῶς γὰρ ἤ τιν' ἀπίαν γᾶν ἢ
πόντιον κλύδων' ἀλώμεναι βίου
δύσοιστον ἕξομεν τροφάν;
ΙΣ. οὐ κάτοιδα. στροφὴ β΄.
κατά με φόνιος Ἀΐδας
ἕλοι πατρὶ ξυνθανεῖν γεραιῷ
τάλαιναν· ὡς ἔμοιγ' ὁ μέλ-
λων βίος οὐ βιωτός.
ΧΟ. ὦ διδύμα τέκνων ἀρίστα,
τὸ φέρον ἐκ θεοῦ καλῶς
μηδὲν ἄγαν φλέγεσθον· οὔ τοι κατάμεμπτ' ἔβητον.
ΑΝ. πόθος καὶ κακῶν ἄρ' ἦν τις. ἀντιστροφὴ α΄.
καὶ γὰρ ὃ μηδαμὰ δὴ τὸ φίλον, φίλον·

nus, qui forma media pro activa sæpe usum fuisse Sophoclem monet. Hoc nemo nescit, vid. ad Œd. T. 148. Verum displicet illud hoc loco. Recepi quod dedit Dindorfius in libro de Metris Tragicorum.

1685. *ἀπίαν γᾶν.* *terram longinquam.* Hom. Od. II. 25. *τηλόθεν ἐξ ἀπίης γαίης*, quod sic interpretatur Hesychius: *ἐξ ἀπίης γαίης, ἀλλοτρίας, ἢ ξένης, ἢ μακρὰν οὔσης.* Musgrav.

1690. Verba *ξυνθανεῖν γεραιῷ* delenda jubet Dindorfius. Certe languere videntur: sed difficilis est omnino judicatio quia corrupti sunt versus antistrophici.

1693. *δίδυμα τέκνων ἄριστα* omnes præter T.

1694. *τὸ φέρον ἐκ θεοῦ καλῶς.* *quod Deus bene fert.* Post hæc verba *φέρειν χρὴ* legebatur, quæ delevit Elmsleius. Mox legebatur *μηδ' ἄγαν οὕτω*, unde *οὕτω* ejecit Burtonus, *μηδὲν* correxit Dindorf. coll. Æsch. Suppl. 1062. *τὰ θεῶν μηδὲν ἀγάζειν.* *φλέγεσθον* cum accusativo constructum neminem morabitur: nam *indignandi* inest significatio, cujusmodi verba hunc casum sæpissime adsciscunt. Vid. ad Œd. T. 785.

1696. *ἐβήτην* Elmsleius. *ἔβητον* dictum videtur sicut *εὖ βεβηκόσιν* El. 979. ab Elmsleio laudatum. Ambigit Hermannus, quia aoristus minus aptus est. Subtilius opinor quam verius. Explicat autem ille; Non ita venistis Athenas, ut sit quod vos pœniteat, quippe impetrata tutela Thesei. Cum altero sensu cf. *procedere* ap. Latinos. e. g. Ter. Adelph. v. viii. 22. *Syre, processisti hodie pulchre.*

1698. Hoc dicit Antigona: *Ergo etiam malorum aliquod desiderium est: nam etiam quod minime id erat, quod gratum esset, gratum est* [potius, *gratum fuisse sentio*] *quandoquidem etiam illum manibus fovebam*, i. e. quandoquidem etiam vivum cæcum et malis pæne oppressum sedulo curabam. Hermann. *τὸ φίλον.* Angl. *one's delight*: modo vera sit lectio, de quo tamen vehementer dubito. *καὶ τὸν* moles-

ὁπότε γε καὶ τὸν ἐν χεροῖν κατεῖχον.
ὦ πάτερ, ὦ φίλος,
ὦ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος·
οὐδὲ γὰρ ὣς ἀφίλητος ἐμοί ποτε
καὶ τᾷδε μὴ (?) κυρήσῃς.
ΧΟ. ἔπραξεν; ΑΝ. ἔπραξεν οἷον ἤθελεν.
ΧΟ. τὸ ποῖον; ΑΝ. ἇς ἔχρῃζε γᾶς ἐπὶ ξένας
ἔθανε· κοίταν δ' ἔχει
νέρθεν εὐσκίαστον αἰέν,
οὐδὲ πένθος ἔλιπ' ἄκλαυτον.
† ἀεὶ γὰρ ὄμμα σε τόδ', ὦ πάτερ, ἐμὸν
στένει δακρῦον, οὐδ' ἔχω
πῶς με χρὴ τὸ σὸν τάλαιναν
ἀφανίσαι τοσόνδ' ἄχος. [ἰὼ μὴ
γᾶς ἐπὶ ξένας θανεῖν ἔχρῃζες,] ἀλλ'
ἔρημος ἔθανες ὧδέ μοι.
ΙΣ. ὦ τάλαινα, ἀντιστροφὴ β΄.
τίς ἄρα με [πότμος αὖθις ὧδ'
ἔρημος ἄπορος]
† ἐπιμένει σέ τ', ὦ φίλα,
† πατρὸς ὧδ' ἐρήμας;
ΧΟ. ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσεν

tum certe videtur. *καὐτὸν* non male fortasse conjecit Arndtius.

1702. *οὐδὲ γέρων* vulgo. *οὐδὲ γὰρ ὢν* Hermannus, sed *ὢν* a *κυρήσῃς* longius sejunctum displicet. Correxi *οὐδὲ γὰρ ὥς.*

1703. *τᾷδε.* Ismenæ. Mox *κυρήσεις* A. pr. V. et forte B.

1708. *ἄκλαυτον* La. aliique. *ἄκλαυστον* A. R. et vulgo.

1709. *ἀεὶ* metrum turbat. *ἄνα* conjecit Hermannus. *ἔτι* Elmsleius.

1712. *τοσόνδ'*] *τὸ σὸν* Reisigius, quo facto non opus primam in *ἀπίαν* v. 1685. produci. Post *τοσόνδ' ἄχος* sequuntur vulgo verba quæ uncinis includenda jussi. *τῷ* pro *ἰὼ* bene satis correxit Hermannus. Verum hæc inepte conficta esse lacunæ explendæ caussa rectissime censuit Dindorfius: neque multis de caussis a Sophocle profecta esse possunt. *ἔχρῃζες* aiunt idem esse quod *ὤφελες*, verum id si ita esse posset, sententia tamen maneret perabsurda. Pro *ἔχρῃζες, ἀλλ'* Arndtius conjecit *ἐχρῆν σ', ἐφ' ἇς.*

1716. *πότμος αὖθις ὧδ' ἔρημος ἄπορος ἐπιμένει.* Quæ cum Dindorfio delenda jussi, ex v. 1735. male repetita esse nemo non videt. Reliqua corrigenda susceperunt aliter alii: sed in loco tam incerto vulgatam reliqui. *ἐπαμμένει* pro *ἐπιμένει* probabiliter refinxit Hermannus.

τὸ τέλος, ὦ φίλαι, βίου,
λήγετε τοῦδ' ἄχους· κακῶν γὰρ δυσάλωτος οὐδείς.
ΑΝ. πάλιν, φίλα, συθῶμεν. ΙΣ. ὡς τί ῥέξομεν ; στρ. γ'.
ΑΝ. ἵμερος ἔχει με ΙΣ. τίς ;
ΑΝ. τὰν χθόνιον ἑστίαν ἰδεῖν
ΙΣ. τίνος ; ΑΝ. πατρός, τάλαιν' ἐγώ.
ΙΣ. θέμις δὲ πῶς τάδ' ἐστί ; μῶν
οὐχ ὁρᾷς ; ΑΝ. τί τόδ' ἐπέπληξας ;
ΙΣ. καὶ τόδ', ὡς ΑΝ. τί τόδε μάλ' αὖθις ;
ΙΣ. ἄταφος ἔπιτνε δίχα τε παντός.
ΑΝ. ἄγε με, καὶ τότ' ἐπενάριξον.
ΙΣ. αἰαῖ, δυστάλαινα, ποῖ δῆτ'
αὖθις ὧδ' ἔρημος ἄπορος
αἰῶνα τλάμον' ἕξω ;
ΧΟ. φίλαι, τρέσητε μηδέν. ΑΝ. ἀλλὰ ποῖ φύγω; ἀντ. γ'.
ΧΟ. καὶ πάρος ἀπέφυγε ΑΝ. τί ;
ΧΟ. τὰ σφῷν τὸ μὴ πιτνεῖν κακῶς.
ΑΝ. φρονῶ. ΧΟ. τί δῆθ' ὑπερνοεῖς ;
ΑΝ. ὅπως μολούμεθ' ἐς δόμους
οὐκ ἔχω. ΧΟ. μηδέ γε μάτευε.
ΑΝ. μόγος ἔχει. ΧΟ. καὶ πάρος † ἐπεί *
ΑΝ. τοτὲ μὲν ἄπορα, τοτὲ δ' ὕπερθεν.
ΧΟ. μέγ' ἄρα πέλαγος ἐλάχετόν τι.
ΑΝ. ναί, ναί. ποῖ μόλωμεν, ὦ Ζεῦ ;

1730. *τί τόδ' ἐπέπληξας; quid hoc objicis?* HERMANN.

1733. ἐπενάριξον Elmsleius. Vulgo ἐνάριξον.

1736. τλάμον' Hermannus. Libri τλάμων.

1739. Vulgo Χο. καὶ πάρος ἀπεφεύγετον σφῷν. ἀπεφύγετον conjecit Brunckius. Hermanni correctionem exhibui.

1740. πιτνεῖν La. Lb. Cf. ad v. 1754.

1741. *ὑπερνοεῖς. insuper meditaris.* HEATH.

1744. μόγος ἔχει. Choro continuat Aldus. Recte distinxit Wunderus. ἐπεί corruptum esse apparet: sed neque ἐπειρῶ cum Hermanno, neque ἐπεῖχε cum Wundero verum esse puto.

1745. ἄπορα Wunder. πέρα vulg.

1746. ἐλαχέτην Elmsleius.

1747. Vulgo Αν. ναί. ναί. Χο. ξύμφημι καὐτός. | Αν. φεῦ. φεῦ. ποῖ μόλωμεν, ὦ Ζεῦ; Quæ media sunt, ea rectissime ejecit Dindorfius. Nescio tamen an non recte ναί. ναί in αἰαῖ mutaverit.

ἐλπίδων γὰρ ἐς τίν' ἔτι με
δαίμων τανῦν γ' ἐλαύνει ;
ΘΗ. παύετε θρήνων, παῖδες. ἐν οἷς γὰρ
χάρις ἡ χθονία (?) ξυναποικεῖται
πενθεῖν οὐ χρή· νέμεσις γάρ.
ΑΝ. ὦ τέκνον Αἰγέως, προπιτνοῦμέν σοι.
ΘΗ. τίνος, ὦ παῖδες, χρείας ἀνύσαι ;
ΑΝ. τύμβον θέλομεν
προσιδεῖν αὐταὶ πατρὸς ἡμετέρου.
ΘΗ. ἀλλ' οὐ θεμιτόν τινα κεῖσε μολεῖν.
ΑΝ. πῶς εἶπας, ἄναξ, κοίραν' Ἀθηνῶν ;
ΘΗ. ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος
μήτε πελάζειν ἐς τούσδε τόπους
μήτ' ἐπιφωνεῖν μηδένα θνητῶν
θήκην ἱεράν, ἣν κεῖνος ἔχει.
καὶ ταῦτά μ' ἔφη πράσσοντα καλῶς
χώραν ἕξειν αἰὲν ἄλυπον.
ταῦτ' οὖν ἔκλυεν δαίμων ἡμῶν
χὠ πάντ' ἀΐων Διὸς ὅρκος.
ΑΝ. ἀλλ' εἰ τάδ' ἔχει κατὰ νοῦν κείνῳ,
ταῦτ' ἂν ἀπαρκοῖ· Θήβας δ' ἡμᾶς
τὰς ὠγυγίους πέμψον, ἐάν πως

1749. ἐς τίν' ἔτι με Hermannus. ἐς τί με libri.

1751. Theseo tribuit Heathius. Choro libri. θρήνων La. Lb. corr. θρῆνον Lb. pr. A. B. T.

1752. ξυναπόκειται vulgo. Recepi Hermanni emendationem, ut aliis meliorem: non tamen ἡ cum illo in ᾗ mutato. Vertas licet: *quorum in morte gratum quiddam fuisse scimus, quod nunc ipsos in inferis comitatur*, adeo ut non prorsus lugendum sit illorum fatum.

1754. προσπίτνομέν vulgo. προπιτνοῦμέν Hermannus. Vid. ad Eumen. 176.

1755. h. e. τίνος χρείας ἕνεκα ὥστε ἀνύσαι αὐτήν. Vid. ad El. 543.

1758. κεῖσ' ἐστὶ μολεῖν correxit Brunckius. Libri κεῖσε μολεῖν. Hæc delevit Bothius. Scripsi autem cum Erfurdtio τινα κεῖσε μολεῖν. τινα post τὸν facile excidere potuit.

1762. ἐπιφωνεῖν] ἐπιφωνεῖν θήκην nove dixit pro ἐπιφωνοῦντα προσειπεῖν. HERMANN.

1764. καλῶς] κακῶν non male Hermannus, quod sc. cum ἄλυπος constructione satis usitata conjungatur, coll. supr. v. 1519. γήρως ἄλυπα. El. 1002. ἄλυπος ἄτης.

διακωλύσωμεν ἰόντα φόνον
τοῖσιν ὁμαίμοις.
ΘΗ. δράσω καὶ τάδε καὶ πάνθ' ὁπόσ' ἂν
μέλλω πράσσειν πρόσφορά θ' ὑμῖν
καὶ τῷ κατὰ γῆς, ὃς νέον ἔρρει,
πρὸς χάριν. οὐ δεῖ μ' ἀποκάμνειν.
ΧΟ. ἀλλ' ἀποπαύετε μηδ' ἐπὶ πλείω
θρῆνον ἐγείρετε.
πάντως γὰρ ἔχει τάδε κῦρος.

1771. *ἰόντα φόνον τοῖσιν ὁμαίμοις.* Cf. Ant. 186. *τὴν ἄτην ὁρῶν στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας.* Nec absimile est *ἰοῦσαν ἄτην* in loco corrupto Æsch. Choeph. 74.

1773. *ὁπόσ' ἂν* Porsonus. *ὅσ' ἂν* libri plerique. *ὅσα ἂν* A. Ald. *ὅσα* Suidas s. v. *πρόσφορα.*

1776. *οὐ γὰρ δεῖ* vulgo. *γὰρ* delevit Hermannus.

1777. *μήτ'* vulgo. Correxit Elmsleius.

ΑΝΤΙΓΟΝΗ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΝΤΙΓΟΝΗ.
ΙΣΜΗΝΗ.
ΧΟΡΟΣ Θηβαίων γερόντων.
ΚΡΕΩΝ.
ΦΥΛΑΞ.
ΑΙΜΩΝ.
ΤΕΙΡΕΣΙΑΣ.
ΑΓΓΕΛΟΣ.
ΕΥΡΥΔΙΚΗ.
ΕΞΑΓΓΕΛΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἀποθανόντα Πολυνείκην ἐν τῇ πρὸς τὸν ἀδελφὸν μονομαχίᾳ Κρέων ἄταφον ἐκβαλὼν κηρύττει μηδένα αὐτὸν θάπτειν, θάνατον τὴν ζημίαν ἀπειλήσας. τοῦτον Ἀντιγόνη ἡ ἀδελφὴ θάπτειν πειρᾶται. καὶ δὴ λαθοῦσα τοὺς φύλακας ἐπιβάλλει χῶμα· οἷς ἐπαπειλεῖ θάνατον ὁ Κρέων, εἰ μὴ τὸν τοῦτο δράσαντα ἐξεύροιεν. οὗτοι τὴν κόνιν τὴν ἐπιβεβλημένην καθάραντες οὐδὲν ἧττον ἐφρούρουν. ἐπελθοῦσα δὲ ἡ Ἀντιγόνη καὶ γυμνὸν εὑροῦσα τὸν νεκρὸν ἀνοιμώξασα ἑαυτὴν εἰσαγγέλλει. ταύτην ὑπὸ τῶν φυλάκων παραδεδομένην Κρέων καταδικάζει καὶ ζῶσαν εἰς τύμβον καθεῖρξεν. ἐπὶ τούτοις Αἵμων, ὁ Κρέοντος υἱός, ὃς ἐμνᾶτο αὐτήν, ἀγανακτήσας ἑαυτὸν ἐπισφάζει τῇ κόρῃ ἀπολομένῃ ἀγχόνῃ, Τειρεσίου ταῦτα προθεσπίσαντος· ἐφ᾽ ᾧ λυπηθεῖσα Εὐρυδίκη, ἡ τοῦ Κρέοντος γαμετή, ἑαυτὴν κατασφάζει. καὶ τέλος θρηνεῖ Κρέων τὸν τοῦ παιδὸς καὶ τῆς γαμετῆς θάνατον.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἀντιγόνη παρὰ τὴν πρόσταξιν τῆς πόλεως θάψασα τὸν Πολυνείκην ἐφωράθη, καὶ εἰς μνημεῖον κατάγειον ἐντεθεῖσα παρὰ τοῦ Κρέοντος ἀνῄρηται· ἐφ᾽ ᾗ καὶ Αἵμων δυσπαθήσας διὰ τὸν εἰς αὐτὴν ἔρωτα ξίφει ἑαυτὸν διεχρήσατο. ἐπὶ δὲ τῷ τούτου θανάτῳ καὶ ἡ μήτηρ Εὐρυδίκη ἑαυτὴν ἀνεῖλε.

Τὸ μὲν δρᾶμα τῶν καλλίστων Σοφοκλέους. στασιάζεται δὲ τὰ περὶ τὴν ἡρωΐδα ἱστορούμενα καὶ τὴν ἀδελφὴν αὐτῆς Ἰσμήνην, ἃς ὁ μὲν Ἴων ἐν τοῖς διθυράμβοις καταπρησθῆναί * φησιν ἀμφοτέρας ἐν τῷ ἱερῷ τῆς Ἥρας ὑπὸ Λαοδάμαντος † τοῦ Ἐτεοκλέους· Μίμνερμος δέ φησι τὴν μὲν Ἰσμήνην προσομιλοῦσαν Θεοκλυμένῳ ὑπὸ Τυδέως κατὰ Ἀθηνᾶς ἐγκέλευσιν τελευτῆσαι. τὸ δὲ δρᾶμα τὴν ἐπιγραφὴν ἔσχεν ἀπὸ τῆς παρεχούσης τὴν ὑπόθεσιν Ἀντιγόνης.

* Sic Dindorfius. Libri καταπρυισθῆναι.
† Sic Brunckius. Perperam in cod. Λαομέδοντος.

Κεῖται δὲ* ἡ μυθοποιΐα† καὶ παρ' Εὐριπίδῃ ἐν 'Αντιγόνῃ· πλὴν ἐκεῖ φωραθεῖσα μετὰ τοῦ Αἵμονος δίδοται πρὸς γάμου κοινωνίαν καὶ τίκτει τὸν Μαίμονα.

'Η μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Θήβαις ταῖς Βοιωτικαῖς. ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γερόντων· προλογίζει δὲ ἡ 'Αντιγόνη· ὑπόκειται δὲ τὰ πράγματα ἐπὶ τῶν Κρέοντος βασιλείων. τὸ δὲ κεφάλαιόν ἐστι, τάφος Πολυνείκους, 'Αντιγόνης ἀναίρεσις, θάνατος Αἵμονος, καὶ μόρος Εὐρυδίκης τῆς Αἵμονος μητρός. φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας, εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς 'Αντιγόνης. λέλεκται δὲ τὸ δρᾶμα τοῦτο τριακοστὸν δεύτερον.

* δὲ om. edd. vett.

† Vid. Not. ad arg. Phil.

ΑΝΤΙΓΟΝΗ.

ΑΝΤΙΓΟΝΗ.

Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα,
ἆρ' οἶσθ' ὅτι Ζεὺς τῶν ἀπ' Οἰδίπου κακῶν
ὁποῖον οὐχὶ νῷν ἔτι ζώσαιν τελεῖ;
οὐδὲν γὰρ οὔτ' ἀλγεινὸν οὔτ' ἄτης ἄτερ,
οὔτ' αἰσχρὸν οὔτ' ἄτιμόν ἐσθ' ὁποῖον οὐ
τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ' ἐγὼ κακῶν.
καὶ νῦν τί τοῦτ' αὖ φασὶ πανδήμῳ πόλει
κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως;
ἔχεις τι κεἰσήκουσας; ἤ σε λανθάνει
πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακά;

1. *κοινόν. ex eodem patre natum.*

2. ὅτι revocavit olim Hermannus. Libri ὅ τι. Duæ sunt hujus loci explicandi rationes: altera, ut post ὅ τι sequatur ὁποῖον ex abundanti additum, sc. *quodnam—cujus generis malum*; quod tamen minime placet, nec loca a Seidlero allata prorsus similia puto. Persuasit tamen ille Hermanno ut ὅ τι demum restitueret. Altera, et ea verisimilior, ut ὁποῖον οὐχὶ idem fere quod τί οὐχὶ sive οὐδὲν ὅ τι οὐ significet, h. e. *nostin' Jovem malorum, quæ ab Œdipo oriuntur, nihil viventibus nobis non perficere?* ut recte vertit Wunderus. Similis constructio post μέμνησθ' ὅτι in Œd. T. 1401. Comparavit Hermannus.

4. ἄτης ἄτερ. Veram hanc esse scripturam dubitari vix potest: ita, ut videtur, explicandam, ut οὐκ ἀλγεινὸν eodem sensu jungenda sint ac si ἄτερ ἄλγους dixisset. Dicturus autem erat οὔτε γὰρ οὐδὲν οὐκ ἀλγεινόν, οὔτε οὐδὲν ἄτερ ἄτης, sed orationem paullo negligentius ita conformavit ut priorem τε conjungeret cum negativo quod cum ἀλγεινὸν sensu construendum erat.

5. οὔτ' αἰσχρόν, οὔτ' ἄτιμόν ἐσθ', sc. οὐδὲν e. v. præc. repetendum: nam quæ ibi leguntur, per se accipienda sunt.

6. οὐκ ὄπωπα. Negationis sic repetitæ exemplum habes Æsch. Ag. 1635. ὃς οὐκ, ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον, δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως. Cf. Œd. T. 1088. Trach. 1014. et vid. Matth. Gr. Gr. 609. τῶν σῶν τε κἀμῶν κακῶν. *in numero nostrarum calamitatum.*

ΙΣΜΗΝΗ.

ἐμοὶ μὲν οὐδεὶς μῦθος, Ἀντιγόνη, φίλων
οὔθ᾽ ἡδὺς οὔτ᾽ ἀλγεινὸς ἵκετ᾽ ἐξ ὅτου
δυοῖν ἀδελφοῖν ἐστερήθημεν δύο,
μιᾷ θανόντων ἡμέρᾳ διπλῇ χερί·
ἐπεὶ δὲ φροῦδός ἐστιν Ἀργείων στρατὸς
ἐν νυκτὶ τῇ νῦν, οὐδὲν οἶδ᾽ ὑπέρτερον,
οὔτ᾽ εὐτυχοῦσα μᾶλλον οὔτ᾽ ἀτωμένη.
ΑΝ. ᾔδη καλῶς, καί σ᾽ ἐκτὸς αὐλείων πυλῶν
τοῦδ᾽ οὕνεκ᾽ ἐξέπεμπον, ὡς μόνη κλύοις.
ΙΣ. τί δ᾽ ἔστι; δηλοῖς γάρ τι καλχαίνουσ᾽ ἔπος.
ΑΝ. οὐ γὰρ τάφου νῷν τὼ κασιγνήτω Κρέων
τὸν μὲν προτίσας, τὸν δ᾽ ἀτιμάσας ἔχει;
Ἐτεοκλέα μέν, ὡς λέγουσι, σὺν δίκῃ,
χρησθεὶς δίκαια, καὶ νόμῳ κατὰ χθονὸς
ἔκρυψε, τοῖς ἔνερθεν ἔντιμον νεκροῖς,
τὸν δ᾽ ἀθλίως θανόντα Πολυνείκους νέκυν
ἀστοῖσί φασιν ἐκκεκηρῦχθαι τὸ μὴ
τάφῳ καλύψαι μηδὲ κωκῦσαί τινα,

11. *μῦθος φίλων. de amicis.* Vid. Matth. Gr. Gr. 342. 1. et cf. v. 632.

17. εὐτυχοῦσα cum οἶδα construendum.

19. ἐξέπεμπον. Schol. μετεπεμπόμην. Cf. v. 161.

20. καλχαίνουσ᾽. Vid. Lexica s. v. καλχαίνειν. Recte explicatur in Schol. ἐκ βάθους τι μεριμνῶσα, ὡς τὸ βυσσοδομεύων.

21. τὼ κασιγνήτω—τὸν μὲν—τὸν δέ. Usus satis frequens, ut e. g. infra v. 561. Vid. Matth. Gr. Gr. 289. Obs. 8. Ab hoc usu nec abstinuerunt Latini. Virg. Æn. xii. 161. seqq. *Interea reges, ingenti mole Latinus, Quadrijugo vehitur curru—Hinc pater Æneas,* etc. Genitivus autem τάφου constructione cum ἀτιμάσας jungendus: nam προτίσας τάφῳ dicendum fuisset. Vid. infra ad v. 537.

24. Si vera sit hujus versus lectio, quem ejiciunt Wunderus et Dindorfius, nihil melius novi, quam ut χρησθεὶς (quod ita cum iota scribendum erit) cum Hermanno post Triclinium a χρῄζειν deducas: χρησθεὶς enim a χρῆσθαι sensu activo usurpatum valde suspectum est. Passivum est Dem. Mid. p. 519. 29. τέως ἂν χρησθῇ, ubi vid. Buttmanni notam. Vertit autem Hermannus: *Eteoclem, rogatus justa, justa et legitima sepultura honoravit.*

25. Veteres, si quis aut inhumatus jaceret, aut non rite post mortem coleretur, contemptui inter mortuos habitum credebant. Musgr. Hoc ex plurimis veterum locis satis notum est.

27. ἐκκεκηρύχθαι vulgo. Accentum correxit Martinus.

ἐὰν δ᾽ ἄκλαυτον, ἄταφον, οἰωνοῖς γλυκὺν
θησαυρὸν εἰσορμῶσι πρὸς χάριν βορᾶς.
τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντα σοὶ
κἀμοί, λέγω γὰρ κἀμέ, κηρύξαντ᾽ ἔχειν,
καὶ δεῦρο νεῖσθαι ταῦτα τοῖσι μὴ εἰδόσιν
σαφῆ προκηρύξοντα, καὶ τὸ πρᾶγμ᾽ ἄγειν
οὐχ ὡς παρ᾽ οὐδέν, ἀλλ᾽ ὃς ἂν τούτων τι δρᾷ,
φόνον προκεῖσθαι δημόλευστον ἐν πόλει.
οὕτως ἔχει σοι ταῦτα, καὶ δείξεις τάχα
εἴτ᾽ εὐγενὴς πέφυκας εἴτ᾽ ἐσθλῶν κακή.
ΙΣ. τί δ᾽, ὦ ταλαῖφρον, εἰ τάδ᾽ ἐν τούτοις, ἐγὼ
λύουσ᾽ ἂν ἢ ᾽φάπτουσα προσθείμην πλέον;
ΑΝ. εἰ ξυμπονήσεις καὶ ξυνεργάσει σκόπει.
ΙΣ. ποῖόν τι κινδύνευμα; ποῦ γνώμης ποτ᾽ εἶ;
ΑΝ. εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί.
ΙΣ. ἦ γὰρ νοεῖς θάπτειν σφ᾽, ἀπόρρητον πόλει;
ΑΝ. τὸν γοῦν ἐμὸν καὶ τὸν σόν, ἢν σὺ μὴ θέλῃς,
ἀδελφόν. οὐ γὰρ δὴ προδοῦσ᾽ ἁλώσομαι.
ΙΣ. ὦ σχετλία, Κρέοντος ἀντειρηκότος;
ΑΝ. ἀλλ᾽ οὐδὲν αὐτῷ τῶν ἐμῶν μ᾽ εἴργειν μέτα.
ΙΣ. οἴμοι· φρόνησον, ὦ κασιγνήτη, πατὴρ

29. ἄκλαυτον. *indefletum.* Ita La. Lb. ἄκλαυστον vulgo.

30. Vulgo εἰσορῶσι, quod certe explicari potest, sed conjecturam viri docti apud Burtonum recipere non dubitavi. Mox πρὸς χάριν recte per ἕνεκα interpretatur Brunckius, coll. infra. v. 908. τίνος νόμου πρὸς χάριν λέγω.

33. τοῖσι Heathius. Libri τοῖς.

70. Rectissime hæc proverbiali sensu explicuit Boeckhius, collato Aj. 1317. ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ᾽ ἐληλυθώς, εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει. Nimirum λύειν est *nodum solvere,* h. e. *rei difficultatem minuere, rem adjuvare*: ἅπτειν contra, sive ἐφάπτειν, *nodum arctius adstringere,* h. e. *rei difficultates augere, dicto non obedientem esse.* Recte ergo Wunderus: 'Quum negat Ismena se quicquam sibi et Antigonæ utilitatis parare posse λύουσαν ἢ ἐφάπτουσαν, hoc videtur dicere, neque deprecando neque agendo, sive neque verbis neque factis se perficere posse, ut Creon jussa quæ dederit rescindat.' Ad verba εἰ τάδ᾽ ἐν τούτοις hæc notavit Scholiasta, εἰ ταῦτα Κρέων ἐκέλευσεν.

42. ποῖ La. Lb. quod si receperis, ita explica cum Hermanno ut idem sit quod ποῖ ἦλθες γνώμης;

44. ἀπόρρητον πόλει. Recte ἀπόρρητον ὂν explicuit Matthiæ. Alii minus bene pro masculino habent.

48. μ᾽ addidit Brunckius.

ὡς νῷν ἀπεχθὴς δυσκλεής τ' ἀπώλετο
πρὸς αὐτοφώρων ἀμπλακημάτων, διπλᾶς
ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χερί·
ἔπειτα μήτηρ καὶ γυνή, διπλοῦν ἔπος,
πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον·
τρίτον δ' ἀδελφὼ δύο μίαν καθ' ἡμέραν
αὐτοκτονοῦντε τὼ ταλαιπώρω μόρον
κοινὸν κατειργάσαντ' ἐπ' ἀλλήλοιν χεροῖν.
νῦν δ' αὖ μόνα δὴ νὼ λελειμμένα σκόπει
ὅσῳ κάκιστ' ὀλούμεθ', εἰ νόμου βίᾳ
ψῆφον τυράννων ἢ κράτη παρέξιμεν.
ἀλλ' ἐννοεῖν χρὴ τοῦτο μέν, γυναῖχ' ὅτι
ἔφυμεν, ὡς πρὸς ἄνδρας οὐ μαχουμένα·
ἔπειτα δ', οὕνεκ' ἀρχόμεσθ' ἐκ κρεισσόνων,
καὶ ταῦτ' ἀκούειν κἄτι τῶνδ' ἀλγίονα.
ἐγὼ μὲν οὖν αἰτοῦσα τοὺς ὑπὸ χθονὸς
ξύγγνοιαν ἴσχειν, ὡς βιάζομαι τάδε,
τοῖς ἐν τέλει βεβῶσι πείσομαι. τὸ γὰρ
περισσὰ πράσσειν οὐκ ἔχει νοῦν οὐδένα.
ΑΝ. οὔτ' ἂν κελεύσαιμ' οὔτ' ἄν, εἰ θέλοις ἔτι
πράσσειν, ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα.
ἀλλ' ἴσθ' ὁποίᾳ σοι δοκεῖ, κεῖνον δ' ἐγὼ
θάψω. καλόν μοι τοῦτο ποιούσῃ θανεῖν.
φίλη μετ' αὐτοῦ κείσομαι, φίλου μέτα,
ὅσια πανουργήσασ'· ἐπεὶ πλείων χρόνος
ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω τῶν ἐνθάδε.

50. Comma vulgo post ἀπώλετο positum post ἀμπλακημάτων rectius transtulit Hermannus.

56. αὐτοκτονοῦντε Coraius. αὐτοκτενοῦντε vulgo. Vid. ad v. 145.

57. ἐπ' ἀλλήλοιν. *in se invicem.* Minus bene ἐπαλλήλοιν Hermannus, quod quomodo ἀλληλοφόνοις significare possit vix intelligo.

64. καὶ ταῦτ' ἀκούειν. h. e. ὥστε καὶ ταῦτα ἀκούειν.

70. ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα. Recte Brunckius: *lubens* [equidem] *te utar adjutrice.*

71. ἴσθ' ὁποίᾳ σοι δοκεῖ (sc. εἶναι). ὁποίᾳ correxit Hermannus. ἴσθι enim non γίγνωσκε significat, et dativum requirit δοκεῖ. Vulgo ὁποῖα, vel ὁποία.

75. τῶν ἐνθάδε. h. e. ἢ ὃν δεῖ μ' ἀρέσκειν τοῖς ἐνθάδε. Cf. Æsch. Ag. 1061. σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί. sc. ἀντὶ τοῦ φωνῇ φράζειν. Sept. c. Th. 1050. ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.

ἐκεῖ γὰρ ἀεὶ κείσομαι· σοὶ δ', εἰ δοκεῖ,
τὰ τῶν θεῶν ἔντιμ' ἀτιμάσασ' ἔχε.
ΙΣ. ἐγὼ μὲν οὐκ ἄτιμα ποιοῦμαι, τὸ δὲ
βίᾳ πολιτῶν δρᾶν ἔφυν ἀμήχανος.
ΑΝ. σὺ μὲν τάδ' ἂν προὔχοι'· ἐγὼ δὲ δὴ τάφον
χώσουσ' ἀδελφῷ φιλτάτῳ πορεύσομαι.
ΙΣ. οἴμοι ταλαίνης, ὡς ὑπερδέδοικά σου.
ΑΝ. μή μου προτάρβει· τὸν σὸν ἐξόρθου πότμον.
ΙΣ. ἀλλ' οὖν προμηνύσῃς γε τοῦτο μηδενὶ
τοὔργον, κρυφῇ δὲ κεῦθε, σὺν δ' αὔτως ἐγώ.
ΑΝ. οἴμοι· καταύδα. πολλὸν ἐχθίων ἔσει
σιγῶσ', ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε.
ΙΣ. θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.
ΑΝ. ἀλλ' οἶδ' ἀρέσκουσ' οἷς μάλισθ' ἁδεῖν με χρή.
ΙΣ. εἰ καὶ δυνήσει γ'· ἀλλ' ἀμηχάνων ἐρᾷς.
ΑΝ. οὐκοῦν, ὅταν δὴ μὴ σθένω, πεπαύσομαι.
ΙΣ. ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.
ΑΝ. εἰ ταῦτα λέξεις, ἐχθαρεῖ μὲν ἐξ ἐμοῦ,
ἐχθρὰ δὲ τῷ θανόντι προσκείσει δίκῃ.
ἀλλ' ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν
παθεῖν τὸ δεινὸν τοῦτο. πείσομαι γὰρ οὐ
τοσοῦτον οὐδὲν ὥστε μὴ οὐ καλῶς θανεῖν.
ΙΣ. ἀλλ' εἰ δοκεῖ σοι, στεῖχε· τοῦτο δ' ἴσθ', ὅτι
ἄνους μὲν ἔρχει, τοῖς φίλοις δ' ὀρθῶς φίλη.

76. ἀεὶ Aug. Vulgo αἰεί.

78. Cf. ad v. 1106.

80. προὔχοι'] ἀντὶ τοῦ προφασίζοιο. Eustath. Il. P. p. 1109. 37.

84. προμηνύσεις quod in paucis codicibus legitur defendi posse monet Hermannus. Certe defendi potest, nam futurum est ubi vicem imperativi sustineat: non tamen sequitur conjunctivum non hic prætulisse Sophoclem. Similiter in El. 432. προσάψεις præbet codex Laurentianus Δ.

88. θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις. *calidum in rebus horrorem incutientibus cor habes.* Cf. Æsch. Prom. V. 692. HERMANN.

93. ἐχθαρεῖ Ald. v. l. in La. ἐχθρανῇ vulg. Vid. Pors. ad Med. 555.

94. ἐχθρὰ προσκείσει. *tanquam inimicam sibi te mortuus habebit.* Schol. δυσμενὴς ἔσει.

99. ἔρχει. *abis*: Cf. ad Phil. 1183.

ΧΟΡΟΣ.

ἀκτὶς ἀελίοιο, κάλ- στροφὴ α΄.
λιστον ἑπταπύλῳ φανὲν
Θήβᾳ τῶν προτέρων φάος,
ἐφάνθης ποτ', ὦ χρυσέας
ἀμέρας βλέφαρον,
Διρκαίων ὑπὲρ ῥεέθρων μολοῦσα,
τὸν λεύκασπιν Ἀργόθεν *
φῶτα βάντα πανσαγίᾳ,
φυγάδα πρόδρομον ὀξυτέρῳ
κινήσασα χαλινῷ,
ὃν ἐφ' ἁμετέρᾳ γᾷ Πολυνείκης
ἀρθεὶς νεικέων ἐξ ἀμφιλόγων
* * * * ὀξέα κλάζων
αἰετὸς ἐς γᾶν ὑπερέπτα,
λευκῆς χιόνος πτέρυγι στεγανὸς
πολλῶν μεθ' ὅπλων
ξύν θ' ἱπποκόμοις κορύθεσσιν.
στὰς δ' ὑπὲρ μελάθρων φονώ- ἀντιστροφὴ α΄.
σαισιν ἀμφιχανὼν κύκλῳ
λόγχαις ἑπτάπυλον στόμα

100. *ἀελίου, τὸ* vulgo. *ἀελίοιο* La. Ald. De hac terminatione apud Tragicos rariore vid. Blomf. ad Prom. V. 542. *τὸ* delevit Bothius.

106. *Ἀργόθεν* * . Deest syllaba. *Ἀργόθεν ἔκ* Hermannus: quod recepit Dindorfius, ita tamen ut *ἐκ* cum *βάντα* conjungatur. Brunckius qui *ἐξ Ἀργόθεν* ruente metro legit, contulit Hom. Il. Θ. 304. *τόν ῥ' ἐξ Αἰσύμηθεν ὀπυιομένη τέκε μήτηρ.*

108. *ὀξυτέρῳ.* Sarcastice significat Chorus eos celerius fugere quam advenerant. Musgrav. Nescio an non spernenda sit lectio *ὀξυτόρῳ* quam habent codd. præter E. V. et Schol.

110. *ὄν.* Dindorfius: '*ὃν* dixit quasi sequeretur *ἤγαγε*, pro quo verbo copiosiorem posuit descriptionem *ἀρθεὶς—αἰετὸς ἐς γᾶν ὑπερέπτα.*' Durius hoc videtur: nec dubito quin recte lacunæ signa ante *ὀξέα κλάζων* posuerit Erfurdtius. Ita systema sequenti respondet. Quod deest autem participium erat quod *adducens* significabat.

111. *ἀρθείς.* Sublimem aquilæ volatum respicit. *ἀετὸς* Dresd. Cf. ad Œd. T. v. 401.

113. *ὡς* quod vulgo ante *ὑπερέπτα* legebatur delevit Hermannus.

117. *στάς.* Exercitus Argivorum. Mox *φονώσαισιν* Boeckhius ex Scholiasta, qui interpretatur *ταῖς τῶν φόνων ἐρώσαις λόγχαις. φονίαισιν* vulgo.

118. *ἑπτάπυλον στόμα. septem urbis portas.* Cf. *ἑπτατειχεῖς ἐξόδους* Sept. c. Th. 284.

ἔβα, πρίν ποθ' ἁμετέρων
αἱμάτων γένυσιν
πλησθῆναί τε καὶ στεφάνωμα πύργων
πευκάενθ' Ἥφαιστον ἑλεῖν.
τοῖος ἀμφὶ νῶτ' ἐτάθη
πάταγος Ἄρεος, ἀντιπάλῳ
δυσχείρωμα δράκοντι.
Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
ὑπερεχθαίρει, καί σφας ἐσιδὼν
πολλῷ ῥεύματι προσνισσομένους
χρυσοῦ καναχῆς ὑπερόπτας,
παλτῷ ῥίπτει πυρὶ βαλβίδων
ἐπ' ἄκρων ἤδη
νίκην ὁρμῶντ' ἀλαλάξαι·
ἀντιτύπᾳ δ' ἐπὶ γᾷ πέσε ταντάλωθεὶς στροφὴ β΄.
πυρφόρος, ὃς τότε μαινομένᾳ ξὺν ὁρμᾷ

121. *γένυσιν πλησθῆναι.* Dativi similis usus ac in Œd. T. vv. 3. 25. ubi vid.

124. *ἀμφὶ νῶτ'.* Significat in fugam versos esse Argivos. Dindorf.

125. *πάταγος Ἄρεος.* Thebanorum. Idem.

126. *δυσχείρωμα δράκοντι*] *δράκοντι* ad Thebanos, non ad Argivos referendum: et miror loca quæ contulit Boeckhius (Sept. c. Th. 291. 381. 495. Phœn. 1136. 1138.) Dindorfio hanc sententiam tueri videri. *δυσχείρωμα* ad rem totam refertur, et significat *victoriam de Argivis non sine magno molimine a Thebanis reportatam.* Contra Æsch. Agam. 1326. *δούλης θανούσης, εὐμαροῦς χειρώματος.*

128. *εἰσιδὼν* La. vid. ad Œd. T. 78.

130. *ὑπερόπτας* recte Hermannus, quod habet La. suprasc. Libri *ὑπεροπτίας.* Jungenda autem *ῥεύματι χρυσοῦ καναχῆς*, quod multitudinem armatorum cum fulgore et strepitu irruentium denotat.

131. *ῥιπτεῖ* vulgo. Correxit Erfurdt.

132. *βαλβίδων ἐπ' ἄκρων. ad summam metam.* h. e. ubi ad ipsorum murorum fastigia, tanquam ad cursus finem, ascenderant.

133. *ὁρμῶντ'.* Exercitum dicit. Cf. v. 117.

134. *ἀντίτυπα* libri veteres, et sic vulgo, cujus vocis ultima produci nequit. *ἀντίτυπα* (ος suprasc.) La. *ἀντίτυπος* T. *ἀντιτύπᾳ* Porsonus, quod cum aliis admisi. *ἀντίτυπος* tamen, quod in *ἀντίτυπα* facillime transire potuit, non spernendum credo: ut *repercussus* a terra dicatur, in quam decidisset. *ταντάλωθεὶς* per *διασεισθεὶς* exponit Scholiasta. A *τάνταλον* pro *τάλαντον* dicto hoc verbum derivari putat Erfurdtius: ita ut *librari*, vel *violenter jactari*, significet.

135. *πυρφόρος.* Capaneus, quod urbem incendio delere parabat, unde apud Æschyl. Sept. c. Th. 432. insigne in clypeo gestasse perhibetur *γυμνὸν ἄνδρα πυρφόρον.* Eurip.

βακχεύων ἐπέπνει
ῥιπαῖς ἐχθίστων ἀνέμων.
εἶχε δ' ἄλλᾳ τὰ μέν,
ἄλλα δ' ἐπ' ἄλλοις ἐπενώμα στυφελίζων μέγας Ἄρης
δεξιόσειρος.
ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτὰ πύλαις
ταχθέντες ἴσοι πρὸς ἴσους ἔλιπον
Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη,
πλὴν τοῖν στυγεροῖν, ὣ πατρὸς ἑνὸς
μητρός τε μιᾶς φύντε καθ' αὑτοῖν
δικρατεῖς λόγχας στήσαντ' ἔχετον
κοινοῦ θανάτου μέρος ἄμφω.
ἀλλὰ γὰρ ἁ μεγαλώνυμος ἦλθε Νίκα ἀντιστροφὴ β'.
τᾷ πολυαρμάτῳ ἀντιχαρεῖσα Θήβᾳ,
ἐκ μὲν δὴ πολέμων
τῶν νῦν θέσθε λησμοσύναν,
θεῶν δὲ ναοὺς χοροῖς
παννυχίοις πάντας ἐπέλθωμεν, ὁ Θήβας δ' ἐλελίχθων

Phœn. 1186. ἐς γῆν δ' ἔμπυρος πίπτει νεκρός. Erfurdt.

138. Vulgo εἶχε δ' ἄλλᾳ τὰ μὲν ἄλλᾳ τὰ δ' ἐπ' ἄλλοις. Erfurdtii emendationem admisi. *Alia alia ratione se habebant*; quod cum exprimere deberet, τὰ μὲν εἶχεν ἄλλᾳ, τὰ δ' ἄλλᾳ, posteriora in novam, ut sæpe fit, sententiam deflexit.

140. δεξιόσειρος. Sic appellavit Martem, ut impetuosum, dextri equi more, significaret. Pariter Æschylus, quum fortem et validum vellet indicare, σειραφόρον κριθῶντα πῶλον dixit Agam. 1640. Herm.

143. τέλη. *dona* recte intelligit Musgravius. Hermannus: Arma dicit relicta esse, quæ Jovi dona suspendantur.

145. καθ' αὑτοῖν. Bene Scholiastes: ἀντὶ τοῦ, κατ' ἀλλήλοιν. Exempla hujus usus vide apud Hemsterh. in Obss. Misc. x. p. 209. et, quem Heindorf. ad Plat. Parmen. p. 211. conferri jubet, Abresch. ad Xenoph. Ephes. ed. Locell. p. 164. Injuria igitur Menandrum, quod alicubi ἑαυτοῖς pro ἀλλήλοις dixerit, reprehendi ab Eustathio in V. Odysseæ p. 1547. monuit Brunckius. Hermann. Cf. supra v. 56.

149. ἀντιχαρεῖσα. Dicit victoriam non minus Thebanis victoribus gaudere, quam ipsos Thebanos ob rem bene gestam lætari.

150. ἐκ πολέμων τῶν νῦν. *hisce prœliis omissis.*

151. λησμοσύνην edd. ante Brunckium. Minus bene autem ille θέσθαι ex T. reposuit. Versus enim non dactylicus, ut putabat, sed glyconeus est.

153. πάντας. Fort. leg. πάντες. Mox ἐλελίχθων ex Aug. Ven. et Schol. restitutum pro vulgato ἐλελίζων. Recte ὁ Θήβας Βάκχιος *Bacchum Thebis oriundum* intel-

Βάκχιος ἄρχοι.
ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας,
Κρέων ὁ Μενοικέως, νεοχμοῖσι θεῶν
ἐπὶ συντυχίαις χωρεῖ τινὰ δὴ
μῆτιν ἐρέσσων, ὅτι σύγκλητον
τήνδε γερόντων προὔθετο λέσχην,
κοινῷ κηρύγματι πέμψας.

ΚΡΕΩΝ.

ἄνδρες, τὰ μὲν δὴ πόλεος ἀσφαλῶς θεοὶ
πολλῷ σάλῳ σείσαντες ὤρθωσαν πάλιν·
ὑμᾶς δ' ἐγὼ πομποῖσιν ἐκ πάντων δίχα
ἔστειλ' ἱκέσθαι, τοῦτο μέν, τὰ Λαΐου
σέβοντας εἰδὼς εὖ θρόνων ἀεὶ κράτη,
τοῦτ' αὖθις, ἡνίκ' Οἰδίπους ὤρθου πόλιν,
κἀπεὶ διώλετ', ἀμφὶ τοὺς κείνων ἔτι
παῖδας μένοντας ἐμπέδοις φρονήμασιν.
ὅτ' οὖν ἐκεῖνοι πρὸς διπλῆς μοίρας μίαν
καθ' ἡμέραν ὤλοντο παίσαντές τε καὶ
πληγέντες αὐτόχειρι σὺν μιάσματι,

lexisse videtur Musgravius, coll. τὸν Αἴτνας μηλόνομον Eur. Cyc. 660. Μαινάλου κόρη Phœn. 1163. nec tamen repugnem si quis Θήβας cum ἐλελίχθων conjungere malit.

154. Βακχεῖος libri. Correxit Bothius.

ἄρχοι. *choream incipiat*: unde ἔξαρχος dicitur Eurip. Bacch. 141. Erfurdt.

156. Vulgo legebatur τῆσδε Κρέων ὁ Μενοικέως νεοχμὸς νεαραῖσι θεῶν ἐπὶ συντυχίαις, quæ vel ob numerorum inelegantiam corruptelæ suspecta habere cuivis licuit. Dindorfio assensus sum, τῆσδε ejicienti et mox νεοχμοῖσι θεῶν, deleto νεαραῖσι, corrigenti. Cf. ejus notam ad hunc locum.

158. ἐρέσσων. Schol. ἐν ἑαυτῷ κινῶν καὶ μεριμνῶν.

160. προὔθετο. Formulam προτιθέναι ἐκκλησίαν explicuit Hemsterh. ad Lucian. Necyom. 19. peritis non obscurum fore dicens, cur Sophocles non, ut alii scriptores, activo, sed medio usus sit. Recte vir doctissimus. Non enim indixit Creon concionem, in qua populus sententiam diceret, sed in qua populo ipse ediceret aliquid. Hermann.

161. πέμψας. Cf. ad v. 19. Schol. μεταστειλάμενος.

165. ἔστειλ'. h. e. μετεστειλάμην. Similis usus Œd. T. v. 860. Œd. Col. 298. Phil. 60. ibid. 495. Cf. supra ad v. 19.

167. τοῦτ' αὖθις. Vid. ad Œd. T. 605.

168. κείνων. Laii et Œdipi prolem intelligit, παῖδας dicens, quod illi alterius horum filii sunt. Herm.

ἐγὼ κράτη δὴ πάντα καὶ θρόνους ἔχω
γένους κατ' ἀγχιστεῖα τῶν ὀλωλότων.
ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλήσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων ὅτι
ἥδ' ἐστὶν ἡ σῴζουσα καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα.
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν,
καὶ νῦν ἀδελφὰ τῶνδε κηρύξας ἔχω
ἀστοῖσι παίδων τῶν ἀπ' Οἰδίπου πέρι·
Ἐτεοκλέα μέν, ὃς πόλεως ὑπερμαχῶν
ὄλωλε τῆσδε, πάντ' ἀριστεύσας δορί,
τάφῳ τε κρύψαι καὶ τὰ πάντ' ἐφαγνίσαι
ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς·
τὸν δ' αὖ ξύναιμον τοῦδε, Πολυνείκην λέγω,

176. *πρὶν ἂν—φανῇ*. Negatio in *ἀμήχανον* continetur. Vid. ad Œd. T. v. 13.

177. *ἐντριβής*. *versatus, probe exercitatus.*

178. *ὅστις μή*. De harum vocum quæ arctissime sunt connexæ disjunctione vid. ad Œd. T. 1075.

180. *ἐγκλήσας* Dindorfius. Vid. ad Œd. T. 1262. Vulgo *ἐγκλείσας*.

182. *μείζον' ἀντὶ τῆς αὑτοῦ πάτρας*. Cf. Trach. 577. et vid. Matth. Gr. Gr. 450. Obs. 1.

183. *οὐδαμοῦ λέγω*. *nihili esse duco*. Æsch. Pers. 498. *θεοὺς νομίζων οὐδαμοῦ*.

190. *Quos habemus amicos, eos acquirimus, si civitas salva est.* Erfurdt.

192. *ἀδελφά*. Schol. *ἴσα, ὅμοια*.

198. *Πολυνείκη* Dind. Librorum omnium scripturam non mutavi.

ὃς γῆν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
φυγὰς κατελθὼν ἠθέλησε μὲν πυρὶ
πρῆσαι κατάκρας, ἠθέλησε δ' αἵματος
κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν,
τοῦτον πόλει τῇδ' ἐκκεκηρῦχθαι τάφῳ
μήτε κτερίζειν μήτε κωκῦσαί τινα,
ἐᾶν δ' ἄθαπτον καὶ πρὸς οἰωνῶν δέμας
καὶ πρὸς κυνῶν ἐδεστὸν αἰκισθέν τ' ἰδεῖν.
τοιόνδ' ἐμὸν φρόνημα. κοὔποτ' ἔκ γ' ἐμοῦ
τιμὴν προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων.
ἀλλ' ὅστις εὔνους τῇδε τῇ πόλει, θανὼν
καὶ ζῶν ὁμοίως ἐξ ἐμοῦ τιμήσεται.
ΧΟ. σοὶ ταῦτ' ἀρέσκει, παῖ Μενοικέως Κρέον,
τὸν τῇδε δύσνουν καὶ τὸν εὐμενῆ πόλει.
νόμῳ δὲ χρῆσθαι παντί πού † γ' ἔνεστί σοι
καὶ τῶν θανόντων χὠπόσοι ζῶμεν πέρι.
ΚΡ. ὡς ἂν σκοποὶ νῦν ἦτε τῶν εἰρημένων.
ΧΟ. νεωτέρῳ τῳ τοῦτο βαστάζειν πρόθες.
ΚΡ. ἀλλ' εἴσ' ἕτοιμοι τοῦ νεκροῦ γ' ἐπίσκοποι.

200. *φυγὰς κατελθών*. *ab exilio reversus.*

202. *κοινοῦ*. *fraterni* vel *cognati*. Erfurdt.

τοὺς δέ. *incolas autem*. Opponitur iis de quibus antea locutus erat, sc. *πατρῴα γῆ, θεοί, ἀδελφός*. Similis usus Sept. c. Th. 326. *τὰς δὲ κεχειρωμένας ἄγεσθαι*, et ibid. paullo infra v. 341. *ἄλλος δ' ἄλλον ἄγει, φονεύει, τὰ δὲ καὶ πυρφορεῖ.*

203. *ἐκκεκήρυκται* Musgravius. Sed alterum ita defendi posse videtur, si attractione quadam post *Πολυνείκην λέγω* in v. 198. illatum esse statuas.

206. *αἰκισθέν τ'* quod est in A. verum puto. Vulgo *αἰκισθέντ'*. *αἰκιστόν τ'* in E. ex interpretatione natum videtur. Ordo autem est: *δέμας ἐδεστὸν αἰκισθέν τ' ἰδεῖν καὶ πρὸς κ. τ. λ.*

208. *προσέξουσ'* ex Aug. frustra defendit Hermannus.

210. *τιμήσεται*. h. e. *τιμηθήσεται*.

212. *τὸν τῇδε δύσνουν*. Accusativos ita explicuit Erfurdtius, ut verbis *σοὶ ταῦτ' ἀρέσκει* cogitatione substituatur *σὺ ταῦτα ποιεῖν θέλεις*. Non male tamen conjecit Dind. *κὰς τὸν εὐμενῆ πόλει.*

213. *παντί πού γ' ἔνεστί σοι*. Sic vulgo, sed certe *γ'*, pro quo *τ'* habent libri, otiosum sonat. Recipienda forte Dindorfii conjectura *πάρεστι*.

215. *ὡς ἂν σκοποὶ νῦν ἦτε*. Insolentius *ὡς ἂν ἦτε* pro *ὅπως ἔσεσθε* videtur dixisse. Quod conjecit Dindorfius, *πῶς ἂν σκοποὶ νῦν εἶτε*, id minime Creontis personæ convenire videtur.

217. *νεκροῦ γ'* Brunckius. *νεκροῦ τ'* vulgo.

ΧΟ. τί δῆτ' ἂν ἄλλο τοῦτ' ἐπεντέλλοις ἔτι;
ΚΡ. τὸ μὴ 'πιχωρεῖν τοῖς ἀπιστοῦσιν τάδε.
ΧΟ. οὐκ ἔστιν οὕτω μῶρος ὃς θανεῖν ἐρᾷ.
ΚΡ. καὶ μὴν ὁ μισθός γ' οὗτος. ἀλλ' ὑπ' ἐλπίδων
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν.

ΦΥΛΑΞ.

ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο
δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα.
πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις,
ὁδοῖς κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφήν.
ψυχὴ γὰρ ηὔδα πολλά μοι μυθουμένη.
τάλας, τί χωρεῖς οἷ μολὼν δώσεις δίκην;
τλήμων, μενεῖς αὖ; καὶ τάδ' εἴσεται Κρέων
ἄλλου παρ' ἀνδρός; πῶς σὺ δῆτ' οὐκ ἀλγυνεῖ;
τοιαῦθ' ἑλίσσων ἤνυτον σχολῇ βραδύς.
χοὕτως ὁδὸς βραχεῖα γίγνεται μακρά.
τέλος γε μέντοι δεῦρ' ἐνίκησεν μολεῖν
σοί, κεἰ τὸ μηδὲν ἐξερῶ, φράσω δ' ὅμως.
τῆς ἐλπίδος γὰρ ἔρχομαι πεφραγμένος,
τὸ μὴ παθεῖν ἂν ἄλλο πλὴν τὸ μόρσιμον.
ΚΡ. τί δ' ἐστὶν ἀνθ' οὗ τήνδ' ἔχεις ἀθυμίαν;
ΦΥ. φράσαι θέλω σοι πρῶτα τἀμαυτοῦ. τὸ γὰρ
πρᾶγμ' οὔτ' ἔδρασ' οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν·
οὐδ' ἂν δικαίως ἐς κακὸν πέσοιμί τι.
ΚΡ. εὖ γε στοχάζει κἀποφράγνυσαι κύκλῳ

218. ἄλλο R. Aug. et suprascr. in La. quod revocandum. ἄλλῳ vulg.

229. τλήμων codd. plerique et optimi. Vulgo τλῆμον. Mox κεἰ La. V. Turn.

231. σχολῇ βραδὺς] ἐκ παραλλήλου. Non probandum videtur quod ap. Schol. legitur. γρ. ταχύς. καίτοι ταχὺς ὤν, βραδέως ἤνυτον τὴν ὁδόν.

233. ἐνικήσεν. *vicit sententia.*

234. σοί. De σοὶ hoc loco posito Hermannus confert Œd. T. 546.

235. δεδραγμένος vulgo. Alterum est in Aug. b. R. V. In Aug. adjecta est explicatio ἠσφαλισμένος. πεπραγμένος habet La. Anglice dicas: *fortified by the hope.* Dindorfius sicubi hoc verbum occurrit, πεφαργμένος, κἀποφάργνυσαι, φαρκτὸς κ. τ. λ. ut magis Attica scribit: coll. Etym. Mag. p. 667. 22.

τὸ πρᾶγμα. δηλοῖς δ' ὥς τι σημανῶν νέον.
ΦΥ. τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολύν.
ΚΡ. οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει;
ΦΥ. καὶ δὴ λέγω σοι. τὸν νεκρόν τις ἀρτίως
θάψας βέβηκε κἀπὶ χρωτὶ διψίαν
κόνιν παλύνας κἀφαγιστεύσας ἃ χρή.
ΚΡ. τί φής; τίς ἀνδρῶν ἦν ὁ τολμήσας τάδε;
ΦΥ. οὐκ οἶδ'· ἐκεῖ γὰρ οὔτε του γενῆδος ἦν
πλῆγμ', οὐ δικέλλης ἐκβολή· στύφλος δὲ γῆ
καὶ χέρσος, ἀρρὼξ οὐδ' ἐπημαξευμένη
τροχοῖσιν, ἀλλ' ἄσημος οὑργάτης τις ἦν.
ὅπως δ' ὁ πρῶτος ἡμὶν ἡμεροσκόπος
δείκνυσι, πᾶσι θαῦμα δυσχερὲς παρῆν.
ὁ μὲν γὰρ ἠφάνιστο, τυμβήρης μὲν οὔ,
λεπτὴ δ', ἄγος φεύγοντος ὥς, ἐπῆν κόνις.
σημεῖα δ' οὔτε θηρὸς οὔτε του κυνῶν
ἐλθόντος, οὐ σπάσαντος ἐξεφαίνετο.
λόγοι δ' ἐν ἀλλήλοισιν ἐρρόθουν κακοί,
φύλαξ ἐλέγχων φύλακα, κἂν ἐγίγνετο
πληγὴ τελευτῶσ', οὐδ' ὁ κωλύσων παρῆν.
εἷς γάρ τις ἦν ἕκαστος οὑξειργασμένος,
κοὐδεὶς ἐναργής, ἀλλ' (?) ἔφυγε τῷ μὴ εἰδέναι.
ἦμεν δ' ἕτοιμοι καὶ μύδρους αἴρειν χεροῖν,
καὶ πῦρ διέρπειν, καὶ θεοὺς ὁρκωμοτεῖν
τὸ μήτε δρᾶσαι μήτε τῳ ξυνειδέναι
τὸ πρᾶγμα βουλεύσαντι μήτ' εἰργασμένῳ.

242. σημαίνων La. Ald. quod non spernendum esse, sed reddendum *indicare volens* monet Hermannus. σημανῶν reliqui et Valck. ad Phœn. v. 1082. Vid. ad Œd. Col. 366.

250. Recte distinxit Elmsleius ad Eurip. Bacch. 1135. Olim καὶ χέρσος ἀρρώξ, οὐδ'—.

260. φύλαξ ἐλέγχων φύλακα. Nominativus explicandi præcedentis nominativi λόγοι caussa positus. Similia exempla v. apud Elmsl. ad Bacch. 1130. DINDORF.

263. ἔφυγε τῷ μὴ εἰδέναι] ἔφυγε Porsono, τῷ Hermanno, debetur. Vulgo ἔφευγε τὸ μὴ εἰδέναι. Hæc mihi lenissima nec tamen certa hujus loci medicina videtur, vertente Hermanno: *unumquemque putabamus fecisse, nullum tamen manifesto, sed effugit eo quod nesciebamus.*

τέλος δ' ὅτ' οὐδὲν ἦν ἐρευνῶσιν πλέον,
λέγει τις εἷς, ὃς πάντας ἐς πέδον κάρα
νεῦσαι φόβῳ προὔτρεψεν. οὐ γὰρ εἴχομεν
οὔτ' ἀντιφωνεῖν οὔθ' ὅπως δρῶντες καλῶς
πράξαιμεν. ἦν δ' ὁ μῦθος ὡς ἀνοιστέον
σοὶ τοὔργον εἴη τοῦτο κοὐχὶ κρυπτέον.
καὶ ταῦτ' ἐνίκα, κἀμὲ τὸν δυσδαίμονα
πάλος καθαιρεῖ τοῦτο τἀγαθὸν λαβεῖν.
πάρειμι δ' ἄκων οὐχ ἑκοῦσιν, οἶδ' ὅτι.
στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν·
ΧΟ. ἄναξ, ἐμοί τοι μή τι καὶ θεήλατον
τοὔργον τόδ' ἡ ξύννοια βουλεύει πάλαι.
ΚΡ. παῦσαι, πρὶν ὀργῆς καί με μεστῶσαι λέγων.
μὴ 'φευρεθῇς ἄνους τε καὶ γέρων ἅμα.
λέγεις γὰρ οὐκ ἀνεκτά, δαίμονας λέγων
πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι.
πότερον ὑπερτιμῶντες ὡς εὐεργέτην
ἔκρυπτον αὐτόν, ὅστις ἀμφικίονας
ναοὺς πυρώσων ἦλθε κἀναθήματα
καὶ γῆν ἐκείνων καὶ νόμους διασκεδῶν;
ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾷς θεούς;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα καὶ πάλαι πόλεως
ἄνδρες μόλις φέροντες ἐρρόθουν ἐμοί,
κρυφῇ κάρα σείοντες· οὐδ' ὑπὸ ζυγῷ
λόφον δικαίως εἶχον, ὡς στέργειν ἐμέ.
ἐκ τῶνδε τούτους ἐξεπίσταμαι καλῶς
παρηγμένους μισθοῖσιν εἰργάσθαι τάδε.
οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος
κακὸν νόμισμ' ἔβλαστε. τοῦτο καὶ πόλεις
πορθεῖ, τόδ' ἄνδρας ἐξανίστησιν δόμων·

274. ἐνίκα. Cf. supra v. 233.
275. καθαιρεῖ. *damnat.* MUSGRAVIUS.
280. καί με Seidlerus. κἀμὲ vulgo. Ordo est: πρὶν καὶ μεστῶσαί με ὀργῆς.
293. τούτους. *hos excubitores.* MUSGR.

τόδ' ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
χρηστὰς πρὸς αἰσχρὰ πράγμαθ' ἵστασθαι βροτῶν·
πανουργίας δ' ἔδειξεν ἀνθρώποις ἔχειν
καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι.
ὅσοι δὲ μισθαρνοῦντες ἤνυσαν τάδε,
χρόνῳ ποτ' ἐξέπραξαν ὡς δοῦναι δίκην.
ἀλλ' εἴπερ ἴσχει Ζεὺς ἔτ' ἐξ ἐμοῦ σέβας,
εὖ τοῦτ' ἐπίστασ', ὅρκιος δέ σοι λέγω,
εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου
εὑρόντες ἐκφανεῖτ' ἐς ὀφθαλμοὺς ἐμούς,
οὐχ ὑμὶν Ἅιδης μοῦνος ἀρκέσει, πρὶν ἂν
ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ' ὕβριν,
ἵν' εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον
τὸ λοιπὸν ἁρπάζητε, καὶ μάθηθ' ὅτι
οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν.
ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους.
ΦΥ. εἰπεῖν τι δώσεις; ἢ στραφεὶς οὕτως ἴω;
ΚΡ. οὐκ οἶσθα καὶ νῦν ὡς ἀνιαρῶς λέγεις;
ΦΥ. ἐν τοῖσιν ὠσὶν ἢ 'πὶ τῇ ψυχῇ δάκνει;
ΚΡ. τί δὲ ῥυθμίζεις τὴν ἐμὴν λύπην ὅπου;
ΦΥ. ὁ δρῶν σ' ἀνιᾷ τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.
ΚΡ. οἴμ' ὡς λάλημα δῆλον ἐκπεφυκὸς εἶ.
ΦΥ. οὔκουν τό γ' ἔργον τοῦτο ποιήσας ποτέ.
ΚΡ. καὶ ταῦτ' ἐπ' ἀργύρῳ γε τὴν ψυχὴν προδούς.
ΦΥ. φεῦ·
ἦ δεινὸν ᾧ δοκεῖ γε καὶ ψευδῆ δοκεῖν.
ΚΡ. κόμψευε νῦν τὴν δόξαν· εἰ δὲ ταῦτα μὴ

313. τοὺς πλείονας. Œd. Col. 796. comparat Erfurdtius: ἐν δὲ τῷ λέγειν κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
318. τί δαὶ La. A. R. Ald.
321. τό γ' Reiskius. τόδ' libri. Verte: *at si loquax sum, non sum loquax quia hoc facinus patraverim.* Hermannus: Metuit ne suspicionem a se avertere velle multa loquendo videatur.
324. τὴν δόξαν. Respicit excubitoris verba ᾧ δοκεῖ γε καὶ ψευδῆ δοκεῖν. Brunckius: *de suspicione argutare quantumvis.* Fortasse autem legendum κόμψευε νῦν σὴν δόξαν sc. *eam quam crepas suspicionem.* Vid. ad El. 1110.

φανεῖτέ μοι τοὺς δρῶντας, ἐξερεῖθ' ὅτι
τὰ δειλὰ κέρδη πημονὰς ἐργάζεται.
ΦΥ. ἀλλ' εὑρεθείη μὲν μάλιστ'· ἐὰν δέ τοι
ληφθῇ τε καὶ μή, τοῦτο γὰρ τύχη κρινεῖ,
οὐκ ἔσθ' ὅπως ὄψει σὺ δεῦρ' ἐλθόντα με.
καὶ νῦν γὰρ ἐκτὸς ἐλπίδος γνώμης τ' ἐμῆς
σωθεὶς ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν.
ΧΟ. πολλὰ τὰ δεινὰ κοὐδὲν ἀν- *στροφὴ α'.*
θρώπου δεινότερον πέλει.
τοῦτο καὶ πολιοῦ πέραν
πόντου χειμερίῳ νότῳ
χωρεῖ, περιβρυχίοισιν
περῶν ὑπ' οἴδμασιν,
θεῶν τε τὰν ὑπερτάταν, Γᾶν
ἄφθιτον, ἀκαμάταν ἀποτρύεται,
ἰλλομένων ἀρότρων ἔτος εἰς ἔτος,
ἱππείῳ γένει πολεῦον.
κουφονόων τε φῦλον ὀρ- *ἀντιστροφὴ α'.*
νίθων ἀμφιβαλὼν ἄγει,
καὶ θηρῶν ἀγρίων ἔθνη,
πόντου τ' εἰναλίαν φύσιν
σπείραισι δικτυοκλώστοις,
περιφραδὴς ἀνήρ·
κρατεῖ δὲ μηχαναῖς ἀγραύλου
θηρὸς ὀρεσσιβάτα, λασιαύχενά θ'

337. ὑπ' οἴδμασι. Dicuntur οἴδματα περιβρύχια fluctus maris vento agitati, qui ita circum navem undique volvuntur, ut veluti mergi undis videatur. WUNDER. Similiter dictum χλωραῖς ὑπὸ βάσσαις Œd. Col. 673.

338. θεῶν τὰν ὑπερτάταν. Nimirum istæ appellationes deum designant eo de quo sermo est in negotio præ ceteris colendum. Hic quidem Terram ὑπερτάταν dicit, quod homo etiam quæ ut rerum omnium genetrix et benefica altrix sanctissima habenda est, aratro proscindit. HERMANN. apud Wunder.

339. ἀκαμάταν. De terminatione feminina cf. Pors. Præf. ad Hec. p. ix. et ad Med. 822.

341. πολεῦον La. Lb. Lc. V. πολεύον R. Vulgo πολεύων.

346. φύσιν. *sobolem, gentem.* Sic Lucret. 1. 16. *omnis natura animantum.* 1. 57. *omnis Divom natura.* MUSGR.

348. ἀριφραδὴς Eustath. p. 135. 25.

ἵππον [ὑπ]άξεται ἀμφίλοφον ζυγόν,
οὔρειόν τ' ἀκμῆτα ταῦρον.
καὶ φθέγμα καὶ ἀνεμόεν *στροφὴ β'.*
φρόνημα καὶ ἀστυνόμους
ὀργὰς ἐδιδάξατο καὶ δυσαύλων
πάγων † αἴθρια καὶ
δύσομβρα φεύγειν βέλη
παντόπορος· ἄπορος ἐπ' οὐδὲν ἔρχεται
τὸ μέλλον· Ἅιδα μόνον
φεῦξιν οὐκ ἐπάξεται·
νόσων δ' ἀμηχάνων
φυγὰς ξυμπέφρασται.
σοφόν τι τὸ μηχανόεν *ἀντιστροφὴ β'.*
τέχνας ὑπὲρ ἐλπίδ' ἔχων
ποτὲ μὲν κακόν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει,
νόμους † παρείρων χθονὸς
θεῶν τ' ἔνορκον δίκαν
ὑψίπολις· ἄπολις, ὅτῳ τὸ μὴ καλὸν
ξύνεστι, τόλμας χάριν.

351. [ὑπ]άξεται] ὑπ' addidit Brunckius. ἄξεται vulgo. ἕξεται La. Sensus est: *sub jugum ducet,* sed quæ vera sit lectio non liquet: conjecturarum certe, quas viderim, prorsus nullam veram esse affirmare ausim. Ingeniosa, nec tamen certa, Arndtii conjectura, Quæstt. Soph. p. 8. ἵππον ἔερξ' ὑπαὶ ἀμφίλοφον ζυγόν, vix enim credibile est hac aoristi forma usum fuisse poetam.

353. ἀκμῆτα La. R. cum gl. ἀδάμαστον. Vulgo ἀδμῆτα.

356. ἐδιδάξατο. *didicit.* ἀστυνόμοι ὀργαὶ sunt *vitæ civilis instituta.*

357. πάγων αἴθρια καί. Hæc antistrophicis non respondent. Boeckhius conjecit πάγων ὑπαίθρεια καί.

364. ξυμπέφρασται. *cogitatione invenit.* De passivi usu cf. Matth. Gr. Gr. 493. d.

365. τὸ μηχανόεν τέχνας. *artis sollertiam.*

367. h. e. ποτὲ μὲν ἐπὶ κακόν, ἄλλοτ' ἐπ' ἐσθλόν. DINDORF.

368. † παρείρων. *factis suis inserens, colens.* Ita Erfurdtius, collata glossa φυλάσσων: sed verbum παρείρειν hoc significare posse prorsus incredibile est. Deest certe aliquid quod legum deorumque reverentiam significaret. Conjecturis adhuc nihil fere profectum: γεραίρων conjecerunt Reiskius et Musgravius: γὰρ αἴρων Schaeferus, quod et mihi succurrit, coll. Ar. Ran. 378.

370. ὑψίπολις. *eminens civis.* ἄπολις, *inutilis.* HERMANN. Hæc respondent verbis παντόπορος ἄπορος v. 370. punctum autem recte post ὑψίπολις positum: nam aperte ὑψίπολις ad præcedentia, ἄπολις ad sequentia spectat.

μήτ' ἐμοὶ παρέστιος
γένοιτο μήτ' ἴσον
φρονῶν ὃς τάδ' ἔρδει.
ἐς δαιμόνιον τέρας ἀμφινοῶ
τόδε, πῶς εἰδὼς ἀντιλογήσω
τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην.
ὦ δύστηνος καὶ δυστήνου
πατρὸς Οἰδιπόδα, τί ποτ'; οὐ δή που
σέ γ' ἀπιστοῦσαν
τοῖς βασιλείοις * ἄγουσι νόμοις
καὶ ἐν ἀφροσύνῃ καθελόντες;
ΦΥ. ἥδ' ἔστ' ἐκείνη τοὔργον ἡ 'ξειργασμένη·
τήνδ' εἵλομεν θάπτουσαν· ἀλλὰ ποῦ Κρέων;
ΧΟ. ὅδ' ἐκ δόμων ἄψορρος εἰς δέον περᾷ.
ΚΡ. τί δ' ἔστι; ποίᾳ ξύμμετρος προὔβην τύχῃ;
ΦΥ. ἄναξ, βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον.
ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην· ἐπεὶ
σχολῇ ποθ' ἥξειν δεῦρ' ἂν ἐξηύχουν ἐγώ,
ταῖς σαῖς ἀπειλαῖς, αἷς ἐχειμάσθην τότε.
ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας χαρὰ
ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδονῇ,
ἥκω, δι' ὅρκων καίπερ ὢν ἀπώμοτος,
κόρην ἄγων τήνδ', ἣ καθευρέθη τάφον
κοσμοῦσα. κλῆρος ἐνθάδ' οὐκ ἐπάλλετο,
ἀλλ' ἔστ' ἐμὸν θοὔρμαιον, οὐκ ἄλλου, τόδε.
καὶ νῦν, ἄναξ, τήνδ' αὐτός, ὡς θέλεις, λαβών,

374. ἴσον φρονῶν. *ejusdem consilii particeps.*

375. Leg. fort. ἔρδοι.

383. βασιλείοισιν Tricliniani. βασιλείοις reliqui. Compositum verbi ἄγειν a poeta usurpatum fuisse putat Wunderus.

384. ἐξειργασμένη vulgo. Correxit Brunckius.

387. Ita Reisigius. ἐξέβην τύχῃ (προύβην) La. Vulgo ποία ξύμμετρος προὔβη τύχῃ; Verte cum Wundero: *quæ res accidit, cui opportunus esset accessus meus?*

389. ψεύδει. *falsam esse docet.*

391. ταῖς σαῖς ἀπείλαις. *propter minas tuas.* ERFURDT. Cf. v. 691. 955.

393. οὐκ ἔοικεν εἰς τὸ μέγεθος ἄλλῃ ἡδονῇ. Schol.

καὶ κρῖνε κἀξέλεγχ'· ἐγὼ δ' ἐλεύθερος
δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν.
ΚΡ. ἄγεις δὲ τήνδε τῷ τρόπῳ πόθεν λαβών;
ΦΥ. αὕτη τὸν ἄνδρ' ἔθαπτε. πάντ' ἐπίστασαι.
ΚΡ. ἦ καὶ ξυνίης καὶ λέγεις ὀρθῶς ἃ φῄς;
ΦΥ. ταύτην γ' ἰδὼν θάπτουσαν ὃν σὺ τὸν νεκρὸν
ἀπεῖπας. ἆρ' ἔνδηλα καὶ σαφῆ λέγω;
ΚΡ. καὶ πῶς ὁρᾶται κἀπίληπτος ἡρέθη;
ΦΥ. τοιοῦτον ἦν τὸ πρᾶγμ'. ὅπως γὰρ ἥκομεν,
πρὸς σοῦ τὰ δείν' ἐκεῖν' ἐπηπειλημένοι,
πᾶσαν κόνιν σήραντες ἣ κατεῖχε τὸν
νέκυν, μυδῶν τε σῶμα γυμνώσαντες εὖ
καθήμεθ' ἄκρων ἐκ πάγων ὑπήνεμοι,
ὀσμὴν ἀπ' αὐτοῦ μὴ βάλῃ πεφευγότες,
ἐγερτὶ κινῶν ἄνδρ' ἀνὴρ ἐπιρρόθοις
κακοῖσιν, εἴ τις τοῦδ' ἀφειδήσοι πόνου.
χρόνον τάδ' ἦν τοσοῦτον, ἕς τ' ἐν αἰθέρι
μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος,
καὶ καῦμ' ἔθαλπε· καὶ τότ' ἐξαίφνης χθονὸς
τυφὼς ἀείρας σκηπτόν, οὐράνιον ἄχος,
πίμπλησι πεδίον, πᾶσαν αἰκίζων φόβην
ὕλης πεδιάδος, ἐν δ' ἐμεστώθη μέγας
αἰθήρ· μύσαντες δ' εἴχομεν θείαν νόσον.

404. ἰδὼν Brunckius. Libri εἶδον vel ἴδον.

406. εὑρέθη (ηὑρέθη) La. ἡρέθη etiam conjecit Schaeferus. Vid. infra ad v. 1336.

409. ἣ κατεῖχε | τόν. Cf. Hermanni notam ap. Erfurdt. et vid. ad Œd. T. 1075. et supra v. 178.

411. ἄκρων ἐκ πάγων. h. e. ἐν ἄκροις πάγοις, quia verbo καθῆσθαι præter propriam alia etiam notio inest, quæ τὸ ἐκ proprie adsciscit, notio sc. τοῦ κατασκοπεῖν. ERFURDT.

412. βάλοι Steph. sed βάλῃ libri.

414. ἀφειδήσοι. Similis futuri optativi usus Aj. 313. εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος. Phil. 353. εἰ τἀπὶ Τροίᾳ Πέργαμ' αἱρήσοιμ' ἰών. ibid. 376. οὐδὲν ἐνδεὲς ποιούμενος, εἰ ταῦτα κεῖνος ὅπλ' ἀφαιρήσοιτό με. Vertit Hermannus: *si quis neglecturus esset* laborem: et idem monet, eodem redire φείδεσθαι πόνου et ἀφειδεῖν πόνου, quoniam alterum est *non satis operæ adhibere*, alteri verbo autem contemnendi et negligendi notio adhæsit.

418. οὐράνιον ἄχος. *calamitas divinitus immissa.* Cf. Aj. 196. et vid. Blomf. Gloss. ad Pers. 579.

420. ἐν δ'. Vid. ad Œd. T. v. 27.

421. θείαν νόσον. Turbinem dicit.

καὶ τοῦδ' ἀπαλλαγέντος ἐν χρόνῳ μακρῷ,
ἡ παῖς ὁρᾶται, κἀνακωκύει πικρᾶς
ὄρνιθος ὀξὺν φθόγγον, ὡς ὅταν κενῆς
εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος·
οὕτω δὲ χαὔτη, ψιλὸν ὡς ὁρᾷ νέκυν,
γόοισιν ἐξῴμωξεν, ἐκ δ' ἀρὰς κακὰς
ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις.
καὶ χερσὶν εὐθὺς διψίαν φέρει κόνιν,
ἔκ τ' εὐκροτήτου χαλκέας ἄρδην πρόχου
χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.
χἠμεῖς ἰδόντες ἱέμεσθα, σὺν δέ νιν
θηρώμεθ' εὐθὺς οὐδὲν ἐκπεπληγμένην·
καὶ τάς τε πρόσθεν τάς τε νῦν ἠλέγχομεν
πράξεις· ἄπαρνος δ' οὐδενὸς καθίστατο·
ἀλλ' ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.
τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι
ἥδιστον, ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν
ἀλγεινόν. ἀλλὰ πάντα ταῦθ' ἥσσω λαβεῖν
ἐμοὶ πέφυκε τῆς ἐμῆς σωτηρίας.
ΚΡ. *σὲ δή, σὲ τὴν νεύουσαν ἐς πέδον κάρα,*
φῄς, ἢ καταρνεῖ μὴ δεδρακέναι τάδε;
ΑΝ. *καὶ φημὶ δρᾶσαι κοὐκ ἀπαρνοῦμαι τὸ μή.*
ΚΡ. *σὺ μὲν κομίζοις ἂν σεαυτὸν ᾗ θέλεις*
ἔξω βαρείας αἰτίας ἐλεύθερον·
σὺ δ' εἰπέ μοι μὴ μῆκος, ἀλλὰ σύντομα,
ᾔδης τὰ κηρυχθέντα μὴ πράσσειν τάδε;
ΑΝ. *ᾔδη. τί δ' οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν.*
ΚΡ. *καὶ δῆτ' ἐτόλμας τούσδ' ὑπερβαίνειν νόμους;*

423. πικρᾶς. *iratæ.* Male *lugubrem* vertunt.

432. ἱέμεσθα La. ἰέμεσθα vulgo.

436. ἅμ' ἡδέως ingeniose Dindorfius, collatis duobus Platonis locis ubi ἅμα ita geminatum reperitur. Minime tamen ἀλλ' ineptum dixerim; supplendum autem ἠλέγχομεν ex v. 434. et plenius post καθίστατο interpungendum.

441. σὲ δή. Regitur ab ἐρωτῶ vel simili verbo cogitatione ex v. 442. supplendo: cave autem ellipsin appelles, quæ nulla est. Quæ enim ipsa cogitatio supplet, eorum ellipsin non recte dicimus. εἰς π. Aug. Ven.

ΑΝ. *οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,*
οὐδ' ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη,
οἳ τούσδ' ἐν ἀνθρώποισιν ὥρισαν νόμους.
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
κηρύγμαθ' ὥστ' ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι θνητὸν ὄνθ' ὑπερδραμεῖν.
οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου 'φάνη.
τούτων ἐγὼ οὐκ ἔμελλον, ἀνδρὸς οὐδενὸς
φρόνημα δείσασ', ἐν θεοῖσι τὴν δίκην
δώσειν. θανουμένη γὰρ ἐξῄδη, τί δ' οὔ;
κεἰ μὴ σὺ προὐκήρυξας. εἰ δὲ τοῦ χρόνου
πρόσθεν θανοῦμαι, κέρδος αὔτ' ἐγὼ λέγω.
ὅστις γὰρ ἐν πολλοῖσιν ὡς ἐγὼ κακοῖς
ζῇ, πῶς ὅδ' οὐχὶ κατθανὼν κέρδος φέρει;
οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν
παρ' οὐδὲν ἄλγος· ἀλλ' ἄν, εἰ τὸν ἐξ ἐμῆς
μητρὸς θανόντ' ἄθαπτον ἐσχόμην νέκυν,
κείνοις ἂν ἤλγουν· τοῖσδε δ' οὐκ ἀλγύνομαι.
σοὶ δ' εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν,
σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω.
ΧΟ. *δηλοῖ τὸ γέννημ' ὠμὸν ἐξ ὠμοῦ πατρὸς*
τῆς παιδός· εἴκειν δ' οὐκ ἐπίσταται κακοῖς.
ΚΡ. *ἀλλ' ἴσθι τοι τὰ σκλήρ' ἄγαν φρονήματα*
πίπτειν μάλιστα, καὶ τὸν ἐγκρατέστατον
σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ
θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις.

455. θνητὸν ὄνθ'. i. e. σε θνητὸν ὄντα, pronomine ex τὰ σὰ κηρύγματα repetendo. DINDORF.

458. τούτων. *harum legum violatarum.* IDEM.

467. ἐσχόμην. Ita Eustath. Il. E. p. 529. 20. ἠισχόμην La. ἠνσχόμην A. Ald.

471. δηλοῖ τὸ γέννημ' ὠμόν. Non est activum pro passivo ut putat Brunckius, coll. Aj. 878. ἀνὴρ οὐδαμοῦ δηλοῖ φανείς, sed activum ita usurpatur ut ἑαυτὸ cogitatione supplendum sit. Vid. Wunderlich. Obss. Critt. ad Æsch. p. 104. Sic apud Latinos *movere* pro *moveri*, et similia haud pauca passim apud scriptores reperias.

σμικρῷ χαλινῷ δ' οἶδα τοὺς θυμουμένους
ἵππους καταρτυθέντας. οὐ γὰρ ἐκπέλει
φρονεῖν μέγ' ὅστις δοῦλός ἐστι τῶν πέλας.
αὕτη δ' ὑβρίζειν μὲν τότ' ἐξηπίστατο,
νόμους ὑπερβαίνουσα τοὺς προκειμένους·
ὕβρις δ', ἐπεὶ δέδρακεν, ἥδε δευτέρα,
τούτοις ἐπαυχεῖν καὶ δεδρακυῖαν γελᾶν.
ἦ νῦν ἐγὼ μὲν οὐκ ἀνήρ, αὕτη δ' ἀνήρ,
εἰ ταῦτ' ἀνατὶ τῇδε κείσεται κράτη.
ἀλλ' εἴτ' ἀδελφῆς εἴθ' ὁμαιμονεστέρας
τοῦ παντὸς ἡμῖν Ζηνὸς ἑρκείου κυρεῖ,
αὐτή τε χἠ ξύναιμος οὐκ ἀλύξετον
μόρου κακίστου· καὶ γὰρ οὖν κείνην ἴσον
ἐπαιτιῶμαι τοῦδε βουλεῦσαι τάφου.
καί νιν καλεῖτ'· ἔσω γὰρ εἶδον ἀρτίως
λυσσῶσαν αὐτὴν οὐδ' ἐπήβολον φρενῶν.
φιλεῖ δ' ὁ θυμὸς πρόσθεν ᾑρῆσθαι κλοπεὺς
τῶν μηδὲν ὀρθῶς ἐν σκότῳ τεχνωμένων.
μισῶ γε μέντοι χὤταν ἐν κακοῖσί τις
ἁλοὺς ἔπειτα τοῦτο καλλύνειν θέλῃ.
ΑΝ. *θέλεις τι μεῖζον ἢ κατακτεῖναί μ' ἑλών;*
ΚΡ. *ἐγὼ μὲν οὐδέν· τοῦτ' ἔχων ἅπαντ' ἔχω.*
ΑΝ. *τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων*
ἀρεστὸν οὐδέν, μηδ' (?) ἀρεσθείη ποτέ,

482. *ὕβρις ἥδε δευτέρα.* Similis attractio Prom. V. 753. *ὅτῳ θανεῖν μέν ἐστιν οὐ προκείμενον· αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγή.* Trach. v. 483. *ἥμαρτον, εἴτι τήνδ' ἁμαρτίαν νέμεις.* Aj. 114. *σὺ δ' οὖν, ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν.*

486. *Sive sororis, sive alius ex tota domo mea mihi propinquioris feminæ, filia erit,* qualis sit mater aut filia. SEIDLER.

487. *τοῦ παντὸς Ζηνὸς ἑρκείου. cognatis omnibus,* qui mecum in iisdem ædibus conversantur et eundem Jovem penetralem colunt. BRUNCK.

488. *ἀλύξετον* cum genitivo jungitur. Eadem structura sed significatione paullo diversa El. 626. Nulla tamen hic præpositionis *ἐκ* ellipsis. Illius enim vis in ipso verbo continetur.

490. Duæ locutiones inter se mixtæ sc. *ἐπαιτιῶμαι τοῦδε τάφου* et *ἐπαιτιῶμαι βουλεῦσαι τόνδε τάφον.* Vid. ad Œd. Col. 385.

500. *ἀρεσθείη* valde suspectum est. *ἀρεσθείην* Hermannus. *ἀρέστ' εἴη* Elmsleius.

οὕτω δὲ καὶ σοὶ τἄμ' ἁφανδάνοντ' ἔφυ.
καίτοι πόθεν κλέος γ' ἂν εὐκλεέστερον
κατέσχον ἢ τὸν αὐτάδελφον ἐν τάφῳ
τιθεῖσα; τούτοις τοῦτο πᾶσιν ἁνδάνειν
λέγοιτ' ἄν, εἰ μὴ γλῶσσαν ἐγκλῄοι φόβος.
ἀλλ' ἡ τυραννὶς πολλά τ' ἄλλ' εὐδαιμονεῖ,
κἄξεστιν αὐτῇ δρᾶν λέγειν θ' ἃ βούλεται.
ΚΡ. *σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς.*
ΑΝ. *ὁρῶσι χοὖτοι· σοὶ δ' ὑπίλλουσι στόμα.*
ΚΡ. *σὺ δ' οὐκ ἐπαιδεῖ, τῶνδε χωρὶς εἰ φρονεῖς;*
ΑΝ. *οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν.*
ΚΡ. *οὔκουν ὅμαιμος χὠ καταντίον θανών;*
ΑΝ. *ὅμαιμος ἐκ μιᾶς τε καὶ ταὐτοῦ πατρός.*
ΚΡ. *πῶς δῆτ' ἐκείνῳ δυσσεβῆ τιμᾷς χάριν;*
ΑΝ. *οὐ μαρτυρήσει ταῦθ' ὁ κατθανὼν νέκυς.*
ΚΡ. *εἴ τοί σφε τιμᾷς ἐξ ἴσου τῷ δυσσεβεῖ.*
ΑΝ. *οὐ γάρ τι δοῦλος, ἀλλ' ἀδελφὸς ὤλετο.*
ΚΡ. *πορθῶν γε τήνδε γῆν· ὁ δ' ἀντιστὰς ὕπερ.*
ΑΝ. *ὅμως ὅ γ' Ἅιδης τοὺς νόμους τούτους ποθεῖ.*
ΚΡ. *ἀλλ' οὐχ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσος.*
ΑΝ. *τίς οἶδεν εἰ κάτωθεν εὐαγῆ τάδε;*
ΚΡ. *οὔτοι ποθ' οὑχθρός, οὐδ' ὅταν θάνῃ, φίλος.*
ΑΝ. *οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν ἔφυν.*
ΚΡ. *κάτω νυν ἐλθοῦσ', εἰ φιλητέον, φίλει*
κείνους· ἐμοῦ δὲ ζῶντος οὐκ ἄρξει γυνή.
ΧΟ. *καὶ μὴν πρὸ πυλῶν ἥδ' Ἰσμήνη,*
φιλάδελφα κάτω δάκρυ' εἰβομένη·
νεφέλη δ' ὀφρύων ὕπερ αἱματόεν

505. Vulgo male *ἐγκλείσοι*, quod nimis subtiliter tuetur Hermannus. *ἐγκλῄοι* post Schaeferum Dindorfius.

509. *χοὖτοι* La. R. Aug. *χοἴδε* vulgo. Mox *ὑπίλλουσιν* La.

518. *πορθῶν δὲ* La. R. Aug.

519. *ἴσους ποθεῖ* v. l. in La. et Brunckius ex Schol.

520. *ἴσος* ex La. revocavit Hermannus. *ἴσον* vulgo. *æqualis in sorte fieri debet.*

522. *οὔθ'* vulgo, sed *οὔδ'* La. *οὐδ'* Brunckius.

528. *αἱματόεν ῥέθος.* *Rubidam faciem*: qualis esse solet eorum qui animo vehementer moto lacriman-

ῥέθος αἰσχύνει,
τέγγουσ' εὐῶπα παρειάν.

ΚΡ. σὺ δ', ἣ κατ' οἴκους ὡς ἔχιδν' ὑφειμένη
λήθουσά μ' ἐξέπινες, οὐδ' ἐμάνθανον
τρέφων δύ' ἄτα κἀπαναστάσεις θρόνων,
φέρ', εἰπὲ δή μοι, καὶ σὺ τοῦδε τοῦ τάφου
φήσεις μετασχεῖν, ἢ 'ξομεῖ τὸ μὴ εἰδέναι;

ΙΣ. δέδρακα τοὔργον, εἴπερ ἥδ' ὁμορροθεῖ,
καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας.

ΑΝ. ἀλλ' οὐκ ἐάσει τοῦτό γ' ἡ δίκη σ', ἐπεὶ
οὔτ' ἠθέλησας οὔτ' ἐγὼ 'κοινωσάμην.

ΙΣ. ἀλλ' ἐν κακοῖς τοῖς σοῖσιν οὐκ αἰσχύνομαι
ξύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη.

ΑΝ. ὧν τοὔργον Ἅιδης χοἰ κάτω ξυνίστορες·
λόγοις δ' ἐγὼ φιλοῦσαν οὐ στέργω φίλην.

ΙΣ. μήτοι, κασιγνήτη, μ' ἀτιμάσῃς τὸ μὴ οὐ
θανεῖν τε σὺν σοὶ τὸν θανόντα θ' ἁγνίσαι.

ΑΝ. μή μοι θάνῃς σὺ κοινά, μηδ' ἃ μὴ 'θιγες
ποιοῦ σεαυτῆς. ἀρκέσω θνήσκουσ' ἐγώ.

ΙΣ. καὶ τίς βίος μοι σοῦ λελειμμένῃ φίλος;

ΑΝ. Κρέοντ' ἐρώτα, τοῦδε γὰρ σὺ κηδεμών.

ΙΣ. τί ταῦτ' ἀνιᾷς μ' οὐδὲν ὠφελουμένη;

ΑΝ. ἀλγοῦσα μὲν δῆτ', εἰ γέλωτ' ἐν σοὶ γελῶ.

ΙΣ. τί δῆτ' ἂν ἀλλὰ νῦν σ' ἔτ' ὠφελοῖμ' ἐγώ;

ΑΝ. σῶσον σεαυτήν. οὐ φθονῶ σ' ὑπεκφυγεῖν.

ΙΣ. οἴμοι τάλαινα, κἀμπλάκω τοῦ σοῦ μόρου;

ΑΝ. σὺ μὲν γὰρ εἵλου ζῆν, ἐγὼ δὲ κατθανεῖν.

tur. Dolet autem Ismena sortem futuram sororis. Dindorf.

531. ὑφειμένη. *clam immissa.* Hermann.

533. κἀπαναστάσεις θρόνων. Abstractum pro concreto.

537. τῆς αἰτίας. Propter verbum prius ξυμμετίσχω positum. Cf. ad El. 1005. Paullo diversus sed eadem ratione explicandus v. 22. ubi τάφου ad posterius ἀτιμάσας refertur.

551. Ingeniose Dindorfius: ἀλγοῦσα μὲν δή, κεἰ γέλωτ' ἐν σοι γελῶ. Verte: *etsi te irrideo, cum dolore tamen id facio.* γέλωτ' ἐν σοι γελῶ idem est ac ἐγγελῶ σοι.

554. κἀμπλάκω] καὶ ad τοῦ σοῦ μόρου referendum. De hyperbato monuit Hermannus.

ΙΣ. ἀλλ' οὐκ ἐπ' ἀρρήτοις γε τοῖς ἐμοῖς λόγοις.

ΑΝ. καλῶς σὺ μὲν τοῖς, τοῖς δ' ἐγὼ 'δόκουν φρονεῖν.

ΙΣ. καὶ μὴν ἴση νῷν ἐστιν ἡ 'ξαμαρτία.

ΑΝ. θάρσει. σὺ μὲν ζῇς, ἡ δ' ἐμὴ ψυχὴ πάλαι
τέθνηκεν, ὥστε τοῖς θανοῦσιν ὠφελεῖν.

ΚΡ. τὼ παῖδε φημὶ τώδε τὴν μὲν ἀρτίως
ἄνουν πεφάνθαι, τὴν δ' ἀφ' οὗ τὰ πρῶτ' ἔφυ.

ΙΣ. οὐ γάρ ποτ', ὦναξ, οὐδ' ὃς ἂν βλάστῃ μένει
νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσταται.

ΚΡ. σοὶ γοῦν, ὅθ' εἵλου σὺν κακοῖς πράσσειν κακά.

ΙΣ. τί γὰρ μόνῃ μοι τῆσδ' ἄτερ βιώσιμον;

ΚΡ. ἀλλ' ἥδε μέντοι μὴ λέγ'· οὐ γὰρ ἔστ' ἔτι.

ΙΣ. ἀλλὰ κτενεῖς νυμφεῖα τοῦ σαυτοῦ τέκνου;

ΚΡ. ἀρώσιμοι γὰρ χἀτέρων εἰσὶν γύαι.

ΙΣ. οὐχ ὥς γ' ἐκείνῳ τῇδέ τ' ἦν ἡρμοσμένα.

ΚΡ. κακὰς ἐγὼ γυναῖκας υἱέσι στυγῶ.

ΑΝ. ὦ φίλταθ' Αἷμον, ὥς σ' ἀτιμάζει πατήρ.

ΚΡ. ἄγαν γε λυπεῖς καὶ σὺ καὶ τὸ σὸν λέχος.

556. Recte Wunderus: Supple κατθανεῖν σὺ εἵλου. *sed non ita, ut non dissuaserim, ne faceres, quo mortem tibi conscisceres.*

557. καλῶς—φρονεῖν. Manifestum est τοῖς—τοῖς δὲ ablativos instrumenti esse, referendos ad nomen λόγοις, ita ut hoc dicat Antigone: Tu tibi videbare recte sentire dicendo vivendum nobis potius esse neglecta adversus mortuos pietate, quam violata lege Creontis turpiter obeundum: ego contra mihi videbar recte sentire dicendo obeundum potius neglecta lege Creontis quam vivendum turpiter esse violata adversus mortuos pietate. Quod quum dicit, hoc simul ostendit, sibi moriendum, Ismenæ vivendum esse. Ceterum noli putare σὺ μὲν τοῖς, τοῖς δ' ἐγὼ idem valere atque σὺ τοῖς μέν, τοῖς δ' ἐγώ, quod ipsum metri caussa poni potuit: sed τοῖς primo loco positum proxime hic quidem ad significationem pronominis τούτοις accedit, ut sit τοῖς σοῖς λόγοις. Wunder.

560. ὥστε τοῖς θανοῦσιν ὠφελεῖν. Polynicem dicit.

561. Vid. supr. v. 21.

564. Dicit etiam qui ante recta mente usi sint, rebus adversis perturbatos prava consilia sequi. Hermann.

570. Sed non extant, qui ita secum conjuncti sint, ut Hæmon et Antigone. Wunder. Vel potius sic: connubium quale inter eos pactum erat, nullum aliud esse potest.

571. υἱέσιν Lc. Dresd. a. Vid. Lobeck. ad Phrynich. p. 69. υἱάσιν vulgo.

572. Ismenæ male tribuunt libri. Antigonæ recte assignat Aldus et Turnebus.

ΙΣ. ἦ γὰρ στερήσεις τῆσδε τὸν σαυτοῦ γόνον;
ΚΡ. Ἅιδης ὁ παύσων τούσδε τοὺς γάμους ἔφυ.
ΙΣ. δεδογμέν', ὡς ἔοικε, τήνδε κατθανεῖν.
ΚΡ. καὶ σοί γε κἀμοί. μὴ τριβὰς ἔτ', ἀλλά νιν
κομίζετ' εἴσω, δμῶες· ἐκ δὲ τοῦδε χρὴ
γυναῖκας εἶναι τάσδε μηδ' ἀνειμένας.
φεύγουσι γάρ τοι χοἰ θρασεῖς, ὅταν πέλας
ἤδη τὸν Ἅιδην εἰσορῶσι τοῦ βίου.
ΧΟ. εὐδαίμονες οἷσι κακῶν ἄγευστος αἰών. *στροφὴ α'.*
οἷς γὰρ ἂν σεισθῇ θεόθεν δόμος, ἄτας
οὐδὲν ἐλλείπει, γενεᾶς ἐπὶ πλῆθος ἕρπον·
ὅμοιον ὥστε ποντίαις
οἶδμα δυσπνόοις ὅταν
Θρῄσσαισιν ἔρεβος ὕφαλον ἐπιδράμῃ πνοαῖς,
κυλίνδει βυσσόθεν κελαινὰν
θῖνα καὶ δυσάνεμον,
στόνῳ βρέμουσι δ' ἀντιπλῆγες ἀκταί.
ἀρχαῖα τὰ Λαβδακιδᾶν οἴκων ὁρῶμαι *ἀντιστροφὴ α'.*
πήματα φθιτῶν ἐπὶ πήμασι πίπτοντ',

574. 576. Choro assignat Boeckhius, præeunte Aug. in v. 574. Male.

577. μὴ τριβὰς ἔτ', sc. ποιεῖτε. Cicero de Fin. ii. 6. *Tum ille, Finem, inquit, interrogandi, si videtur.* iv. extr. *Scrupulum, inquit, abeunti: sed videbimus.* Brunck.

578. Acquiescendum videtur in interpretatione quam dedit Musgravius: 'γυναῖκας εἶναι: h. e. *intus in thalamis agere.* Sarcastica phrasis, qua significat eas indecore, nec pro honestarum mulierum more, extra ædes vagari. El. 516. ἀνειμένη μέν, ὡς ἔοικας, αὖ στρέφει.'

585. γενεᾶς ἐπὶ πλῆθος. *ad extremam gentis sobolem.* Wunder.

586. ποντίαις La. em. et Schol. ποντίας ἁλὸς vulgo.

589. ἔρεβος ὕφαλον, *maris nigrities*: quum, ut explicat Erfurdtius, tenebræ ex imo mari prodeunt, hiscentibus sc. undis. Male ἔρεβος ὕφαλον pro accusativis accipiunt nonnulli: constructio est, ὅταν ἔρεβος ὕφαλον ἐπιδράμῃ οἶδμα Θρῄσσαισιν πνοαῖς· Θρῄσσαισιν pro vulgata Θρήσσῃσιν recte rescripsit Ellendtius, qu. v. de hac re Lex. Soph. tom. ii. præf. p. v. seqq.

591. f. l. καὶ δυσάνεμοι στόνῳ βρέμουσιν.

594. ἀρχαῖα adverbiali notione accipiendum esse monuit Wunderus. Vid. ad Trach. v. l. Sensus est: *eam gentis Labdacidarum ab origine conditionem esse sentio, ut jam mortuorum malis alia semper mala succedant.*

595. φθιτῶν Hermannus. Vulgo φθιμένων.

οὐδ' ἀπαλλάσσει γενεὰν γένος, ἀλλ' ἐρείπει
θεῶν τις, οὐδ' ἔχει λύσιν.
νῦν γὰρ ἐσχάτας ὑπὲρ
ῥίζας ὃ τέτατο φάος ἐν Οἰδίπου δόμοις,
κατ' αὖ νιν φοινία θεῶν τῶν
νερτέρων ἀμᾷ κόπις,
λόγου τ' ἄνοια καὶ φρενῶν Ἐρινύς.
τεάν, Ζεῦ, δύνασιν τίς ἀνδρῶν *στροφὴ β'.*
ὑπερβασία κατάσχοι,
τὰν οὔθ' ὕπνος αἱρεῖ ποθ' ὁ παντογήρως
οὔτ' † ἀκάματοι θεῶν
μῆνες, ἀγήρῳ δὲ χρόνῳ δυνάστας
κατέχεις Ὀλύμπου
μαρμαρόεσσαν αἴγλαν.
τό τ' ἔπειτα καὶ τὸ μέλλον
καὶ τὸ πρὶν ἐπαρκέσει
νόμος ὅδ', * * * *
θνατῶν βιότῳ † πάμπολις * * * * *
ἁ γὰρ δὴ πολύπλαγκτος ἐλπὶς *ἀντιστρ. β'.*
πολλοῖς μὲν ὄνασις ἀνδρῶν,
πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων·

600. τέτατο libri. ὃ addidit Hermannus. Camerarius: Respexit ad spem nuptiarum Æmonis et Antigonæ: solæ, inquit, reliquæ erant geminæ puellæ, et elucebat spes quædam: sed et hanc præcidit, etc.

601. κἆτ' vulgo. κατ' Triclinius quod cum ἀμᾷ per tmesin conjungendum. Mox κοπὶς Jortinus pro vulgato κόνις, quæ nullo modo tolerari potest.

605. κατάσχοι] κατάσχῃ E. et sic Brunck. Elmsl. Blomf. ad Choeph. 586. Dindorf. quod quomodo intellexerint nescio. Certe desideratur ἄν, quod tamen haud scio an in melicis melius quam in senariis ferri possit. Cf. ad Œd. Col. v. 1172.

607. οὔτ' ἀκάματοι θεῶν. Sic vulgo, contra metrum. Dindorfius conjicit οὔτ' ἄκοποι θεῶν νιν, quod mire displicet. Forte legendum οὔτε θεῶν ἄκαμπτοι h. e. *indefessi*: lassos enim κῶλα κάμπτειν dici notum est.

612. h. e. τό τ' ἔπειτα καὶ τὸ μέλλον ἐπαρκέσει (*manebit rata*), καὶ τὸ πρὶν (ἐπήρκεσε). Cf. Œd. T. 155.

613, 614. Libri νόμος ὅδ' οὐδὲν ἕρπει | θνατῶν βιότῳ πάμπολις ἐκτὸς ἄτας. Ejicientibus οὐδὲν ἕρπει et mox ἐκτὸς ἄτας ut temere ex v. 618. et 625. huc illata prorsus assentior. Mox πάμπολις nihili esse videtur. πάμπολυς correxit Hermannus: sed in tanta lectionis obscuritate ampliandum est.

616. ὄνησις edd. ante Brunckium.

εἰδότι δ' οὐδὲν ἕρπει,
πρὶν πυρὶ θερμῷ πόδα τις προσαύρῃ.
σοφίᾳ γὰρ ἔκ του
κλεινὸν ἔπος πέφανται,
τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν
τῷδ' ἔμμεν ὅτῳ φρένας
θεὸς ἄγει πρὸς ἄταν·
πράσσει δ' ὀλιγοστὸν χρόνον ἐκτὸς ἄτας.
ὅδε μὴν Αἵμων, παίδων τῶν σῶν
νέατον γέννημ'· ἆρ' ἀχνύμενος
[τῆς μελλογάμου]
τάλιδος ἥκει μόρον Ἀντιγόνης,
ἀπάτας λεχέων ὑπεραλγῶν;

ΚΡ. τάχ' εἰσόμεσθα μαντέων ὑπέρτερον.
ὦ παῖ, τελείαν ψῆφον ἆρα μὴ κλύων
τῆς μελλονύμφου πατρὶ λυσσαίνων πάρει;
ἢ σοὶ μὲν ἡμεῖς πανταχῇ δρῶντες φίλοι;

ΑΙΜΩΝ.

πάτερ, σός εἰμι· καὶ σύ μοι γνώμας ἔχων
χρηστὰς ἀπορθοῖς, αἷς ἔγωγ' ἐφέψομαι.
ἐμοὶ γὰρ οὐδεὶς (?) ἀξίως ἔσται γάμος

618. εἰδότι δ' οὐδέν. *nihil sentienti.* Erfurdt.

619. προσαύρῃ Seidlerus apud Schaef. ad Greg. Cor. p. 915. ubi vid. προσαύσηι [αιρει] La. προσψαύσῃ Ald.

623. ἔμμεν Brunckius. ἔμμεν' La. et veteres.

625. ὀλιγοστὸν] ὀλιγοστός, *paucesimus*, unum de paucis, itaque hic partem exigui temporis notat. Hermann.

628. τῆς μελλογάμου] νύμφης additum in libris veteribus. Totum hoc delevit Triclinius; nec profecto aliud quam vocis τάλιδος interpretamentum videtur. Vid. Dind. in Annot. ad hunc locum.

632. ψῆφον τῆς μελλονύμφου. Cf. ad v. 11.

634. πανταχῇ δρῶντες. *quoquo modo fecerimus.* Æschyl. Eum. 469. πράξας γὰρ ἐν σοὶ πανταχῇ τάδ' αἰνέσω, quæ male vertit Schützius. De σοὶ μὲν sine δὲ sequente vid. Matth. Gr. Gr. 622. 6.

636. ἀπορθοῖς] sc. ἐμέ. ὀρθῶς καθηγῇ. Schol.

637. ἀξίως si verum sit, non cum ἔσται, sed cum μείζων jungendum erit. *Mihi*, inquit, *nullum erit connubium quod ut assequar tua bene suadentis monita negligenda putem.* Ordo erit, οὐδεὶς γάμος ἔσται ἀξίως μείζων φέρεσθαι σοῦ καλῶς ἡγουμένου. Sed legendum puto ἀξιώσεται γάμος μεῖζον φέρεσθαι h. e. *nullum connubium dignum a me habebitur quod tuis consiliis anteponam.* μεῖζον habet Dresd. a.

μείζων φέρεσθαι σοῦ καλῶς ἡγουμένου.

ΚΡ. οὕτω γάρ, ὦ παῖ, χρὴ διὰ στέρνων ἔχειν,
γνώμης πατρῴας πάντ' ὄπισθεν ἑστάναι.
τούτου γὰρ οὕνεκ' ἄνδρες εὔχονται γονὰς
κατηκόους φύσαντες ἐν δόμοις ἔχειν,
ὡς καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς,
καὶ τὸν φίλον τιμῶσιν ἐξ ἴσου πατρί.
ὅστις δ' ἀνωφέλητα φιτύει τέκνα,
τί τόνδ' ἂν εἴποις ἄλλο πλὴν αὑτῷ πόνους
φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων;
μή νύν ποτ', ὦ παῖ, τὰς φρένας γ' ὑφ' ἡδονῆς
γυναικὸς οὕνεκ' ἐκβάλῃς, εἰδὼς ὅτι
ψυχρὸν παραγκάλισμα τοῦτο γίγνεται,
γυνὴ κακὴ ξύνευνος ἐν δόμοις. τί γὰρ
γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός;
ἀλλὰ πτύσας ὡσεί τε δυσμενῆ μέθες
τὴν παῖδ' ἐν Ἅιδου τήνδε νυμφεύειν τινί.
ἐπεὶ γὰρ αὐτὴν εἷλον ἐμφανῶς ἐγὼ
πόλεως ἀπιστήσασαν ἐκ πάσης μόνην,
ψευδῆ γ' ἐμαυτὸν οὐ καταστήσω πόλει,
ἀλλὰ κτενῶ. πρὸς ταῦτ' ἐφυμνείτω Δία
ξύναιμον. εἰ γὰρ δὴ τά γ' ἐγγενῆ φύσει
ἄκοσμα θρέψω, κάρτα τοὺς ἔξω γένους.
ἐν τοῖς γὰρ οἰκείοισιν ὅστις ἔστ' ἀνὴρ
χρηστός, φανεῖται κἀν πόλει δίκαιος ὤν.
ὅστις δ' ὑπερβὰς ἢ νόμους βιάζεται,

653. πτύσας ὡσεί τε δυσμενῆ. *tanquam odio dignum et inimicum.*

654. νυμφεύσειν Ald. quod aliquo modo defendi posset. Vid. ad Œd. T. v. 272. Sed νυμφεύειν La. R. Aug.

659. τά γ' Erfurdtius. Libri τά δ' vel τά τ'.

663. Versus qui infra 668—671. leguntur Seidlero obsecutus huc retraxit Schaeferus. Sed audiendus Matthiæ: 'Ita procedit ratiocinatio Creontis: Ne quis mihi generis propinquitatem objiciat, quasi idcirco Antigonæ parcere debeam, quod mihi genere propinqua sit. Imo qui in suos severus

ἢ τοὐπιτάσσειν τοῖς κρατοῦσιν ἐννοεῖ,
οὐκ ἔστ' ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν.
ἀλλ' ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν,
καὶ σμικρὰ καὶ δίκαια καὶ τἀναντία.
καὶ τοῦτον ἂν τὸν ἄνδρα θαρσοίην ἐγὼ
καλῶς μὲν ἄρχειν, εὖ δ' ἂν ἄρχεσθαι θέλειν,
δορός τ' ἂν ἐν χειμῶνι προστεταγμένον
μένειν δίκαιον κἀγαθὸν παραστάτην.
ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν.
αὕτη πόλεις [τ'] ὄλλυσιν, ἥδ' ἀναστάτους
οἴκους τίθησιν· ἥδε σὺν μάχῃ δορὸς
τροπὰς καταρρήγνυσι· τῶν δ' ὀρθουμένων
σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία.
οὕτως ἀμυντέ' ἐστὶ τοῖς κοσμουμένοις,
κοὔτοι γυναικὸς οὐδαμῶς ἡσσητέα.
κρεῖσσον γάρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν·
κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ' ἄν.
ΧΟ. ἡμῖν μέν, εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα,
λέγειν φρονούντως ὧν λέγεις δοκεῖς πέρι.
ΑΙ. πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας,
πάντων ὅσ' ἐστὶ χρημάτων ὑπέρτατον.
ἐγὼ δ' ὅπως σὺ μὴ λέγεις ὀρθῶς τάδε,
οὔτ' ἂν δυναίμην μήτ' ἐπισταίμην λέγειν·

est, quum deliquerunt, is bonus et justus est. Deliquit vero Antigona: nam edictis regis non paruit, quod deinde ad totum genus refertur, quum proprie de Antigona valeat. Ita vv. 661–662. non nisi ad diluendum id, quod pro Antigona dici possit, valent: vera caussa, cur Antigona supplicio afficienda sit, continetur versibus 663. seqq. ad universum genus relatis iis, quæ proprie ad Antigonam pertinebant.'

664. τοῖς κρατύνουσιν νοεῖ conj. Dind. ex La. pr. ubi τοῖς κρατ . . . οῦσιν νοεῖ. Sed ibi accentus certe ad κρατοῖσιν potius ducere videtur.

666. ὃν στήσειε, h. e. εἴτινα πόλις στήσειε. ἐχρῆν legere maluit Elmsleius ad Heracl. 959. propter optativum στήσειε. Jure contradicit Hermannus. Dicendi rationem melius perspicies ὃν in εἴ τινα resoluto. Vid. ad Œd. T. 917.

673. τ' om. Dresd. a. Legendum forte ἥδ' ἀναστάτους.

681. τῷ χρόνῳ κεκλέμμεθα. *Propter senium fallimur.*

684. κτημάτων La. suprascr. quod fortasse præferendum. Cf. 702. 1050.

686. Quid inter οὔτ' ἂν δυναίμην et μήτ' ἐπισταίμην intercedat, bene

γένοιτο μεντἂν χἀτέρῳ καλῶς ἔχον.
σοῦ δ' οὖν πέφυκα πάντα προσκοπεῖν ὅσα
λέγει τις ἢ πράσσει τις ἢ ψέγειν ἔχει.
τὸ γὰρ σὸν ὄμμα δεινὸν ἀνδρὶ δημότῃ
λόγοις τοιούτοις, οἷς σὺ μὴ τέρψει κλύων·
ἐμοὶ δ' ἀκούειν ἔσθ' ὑπὸ σκότου τάδε,
τὴν παῖδα ταύτην οἷ' ὀδύρεται πόλις,
πασῶν γυναικῶν ὡς ἀναξιωτάτη
κάκιστ' ἀπ' ἔργων εὐκλεεστάτων φθίνει·
ἥτις τὸν αὑτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ' ἄθαπτον μήθ' ὑπ' ὠμηστῶν κυνῶν
εἴασ' ὀλέσθαι μήθ' ὑπ' οἰωνῶν τινός·
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς λαχεῖν;
τοιάδ' ἐρεμνὴ σῖγ' ἐπέρχεται φάτις.
ἐμοὶ δὲ σοῦ πράσσοντος εὐτυχῶς, πάτερ,
οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.
τί γὰρ πατρὸς θάλλοντος εὐκλείας τέκνοις
ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί;
μὴ νῦν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει,
ὡς φῂς σύ, κοὐδὲν ἄλλο, τοῦτ' ὀρθῶς ἔχειν.
ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ,
ἢ γλῶσσαν, ἣν οὐκ ἄλλος, ἢ ψυχὴν ἔχειν,
οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί.
ἀλλ' ἄνδρα, κεἴ τις ᾖ σοφός, τὸ μανθάνειν
πόλλ' αἰσχρὸν οὐδὲν καὶ τὸ μὴ τείνειν ἄγαν.

ex hoc loco perspicient tirones. Hoc sc. εὐκτικόν, illud potentiale est.

687. καλῶς ἔχον, sc. τι λέγειν. Duriuscule ad χρῆμα τῶν φρενῶν refert Hermann. Sine caussa λέγοιτο conjecit Wunderus, χἀτέρως Erfurdt.

688. σοῦ δ' οὖν πέφυκα] σὺ δ' οὐ πέφυκας v. l. apud Schol. et La. quod recepit Hermannus.

691. λόγοις τοιούτοις, sc. *timeris dicturis talia.* HERMANN. Similis dativi usus supra v. 391.

704. ἢ τί πρὸς παίδων πατρί; Verte cum Schol.: *quid majus ornamentum a liberis accipere potest pater quam ut eos florentes videat?* Nam ad τί subaudi ἄγαλμα εὐκλείας μεῖζον, nisi πρὸς pro προσέτι dictum accipere malis.

706. ὡς φῂς σύ. *Ut quod tu dicis, aliud præterea nihil, rectum esse putes.* BRUNCK. Cf. Thucyd. 1. 21. καὶ οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν μᾶλλον πιστεύων.

710. κεἴ τις ᾖ. Vid. ad Œd. T. 1062.

ὁρᾷς παρὰ ῥείθροισι χειμάρροις ὅσα
δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσῴζεται·
τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται.
αὔτως δὲ ναὸς ὅστις ἐγκρατῆ πόδα
τείνας ὑπείκει μηδέν, ὑπτίοις κάτω
στρέψας τὸ λοιπὸν σέλμασιν ναυτίλλεται.
ἀλλ' εἶκε, θυμῷ καὶ μετάστασιν δίδου.
γνώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ νεωτέρου
πρόσεστι, φήμ' ἔγωγε πρεσβεύειν πολὺ
φῦναι τὸν ἄνδρα πάντ' ἐπιστήμης πλέων·
εἰ δ' οὖν, φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν,
καὶ τῶν λεγόντων εὖ καλὸν τὸ μανθάνειν.

ΧΟ. ἄναξ, σέ τ' εἰκός, εἴ τι καίριον λέγει,
μαθεῖν, σέ τ' αὖ τοῦδ'· εὖ γὰρ εἴρηται διπλᾶ.

ΚΡ. οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ
φρονεῖν πρὸς ἀνδρὸς τηλικοῦδε τὴν φύσιν;

ΑΙ. μηδὲν τὸ δὴ δίκαιον· εἰ δ' ἐγὼ νέος,
οὐ τὸν χρόνον χρὴ μᾶλλον ἢ τἄργα σκοπεῖν.

ΚΡ. ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν.

ΑΙ. οὐδ' ἂν κελεύσαιμ' εὐσεβεῖν εἰς τοὺς κακούς.

ΚΡ. οὐχ ἥδε γὰρ τοιᾷδ' ἐπείληπται νόσῳ;

ΑΙ. οὔ φησι Θήβης τῆσδ' ὁμόπτολις λεώς.

ΚΡ. πόλις γὰρ ἡμῖν ἁμὲ χρὴ τάσσειν ἐρεῖ;

ΑΙ. ὁρᾷς τόδ' ὡς εἴρηκας ὡς ἄγαν νέος;

ΚΡ. ἄλλῳ γὰρ ἢ 'μοὶ χρή με τῆσδ' ἄρχειν χθονός;

ΑΙ. πόλις γὰρ οὐκ ἔσθ' ἥτις ἀνδρός ἐσθ' ἑνός.

715. *αὔτως δὲ*] Vid. ad Œd. T. 931.

ἐγκρατῆ πόδα τείνει, sc. *ὥστε ἐγκρατῆ εἶναι*. *firmiter adstringit.* Cf. Eurip. Orest. 706. *καὶ ναῦς γὰρ ἐνταθεῖσα πρὸς βίαν ποδὶ ἔβαψεν.* *ἐγκρατεῖ* La. sed *η* suprascr. *ἐγκρατῆ* Lb. R. V. Aug. Dresd. a. Vulgo *ἐγκρατής*.

718. *εἶκε, θυμῷ καὶ*] Veterem lectionem distinctione mutata restituit Gaisfordius. De collocatione particulæ *καὶ* vid. Dindorf. ad Arist. Ach. 884.

721. *πάντ'*. *in omnibus rebus.* Cf. Trach. v. 338. *τούτων ἔχω γὰρ πάντ' ἐπιστήμην ἐγώ.*

736. *χρή με* Dobræus. *χρή γε* vulgo, unde deceptus Thomas Mag. p. 918. de *χρὴ* apud Sophoclem semel cum dativo constructo falso loquitur. Dindorfius comparat Aj. 1367. *τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν;*

ΚΡ. οὐ τοῦ κρατοῦντος ἡ πόλις νομίζεται;

ΑΙ. καλῶς ἐρήμης γ' ἂν σὺ γῆς ἄρχοις μόνος.

ΚΡ. ὅδ', ὡς ἔοικε, τῇ γυναικὶ συμμαχεῖ.

ΑΙ. εἴπερ γυνὴ σύ· σοῦ γὰρ οὖν προκήδομαι.

ΚΡ. ὦ παγκάκιστε, διὰ δίκης ἰὼν πατρί.

ΑΙ. οὐ γὰρ δίκαιά σ' ἐξαμαρτάνονθ' ὁρῶ.

ΚΡ. ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων;

ΑΙ. οὐ γὰρ σέβεις, τιμάς γε τὰς θεῶν πατῶν.

ΚΡ. ὦ μιαρὸν ἦθος καὶ γυναικὸς ὕστερον.

ΑΙ. οὐ τἂν ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ.

ΚΡ. ὁ γοῦν λόγος σοι πᾶς ὑπὲρ κείνης ὅδε.

ΑΙ. καὶ σοῦ γε κἀμοῦ, καὶ θεῶν τῶν νερτέρων.

ΚΡ. ταύτην ποτ' οὐκ ἔσθ' ὡς ἔτι ζῶσαν γαμεῖς.

ΑΙ. ἥδ' οὖν θανεῖται, καὶ θανοῦσ' ὀλεῖ τινά.

ΚΡ. ἦ κἀπαπειλῶν ὧδ' ἐπεξέρχει θρασύς;

ΑΙ. τίς δ' ἔστ' ἀπειλὴ πρὸς κενὰς γνώμας λέγειν;

ΚΡ. κλάων φρενώσεις, ὢν φρενῶν αὐτὸς κενός.

ΑΙ. εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.

ΚΡ. γυναικὸς ὢν δούλευμα, μὴ κώτιλλέ με.

ΑΙ. βούλει λέγειν τι, καὶ λέγων μηδὲν κλύειν;

ΚΡ. ἄληθες; ἀλλ' οὐ, τόνδ' Ὄλυμπον, ἴσθ' ὅτι
χαίρων ἐπὶ ψόγοισι δεννάσεις ἐμέ.
ἄγετε τὸ μῖσος, ὡς κατ' ὄμματ' αὐτίκα
παρόντι θνήσκῃ πλησία τῷ νυμφίῳ.

ΑΙ. οὐ δῆτ' ἔμοιγε, τοῦτο μὴ δόξῃς ποτέ,
οὔθ' ἥδ' ὀλεῖται πλησία, σύ τ' οὐδαμὰ
τοὐμὸν προσόψει κρᾶτ' ἐν ὀφθαλμοῖς ὁρῶν
ὡς τοῖς θέλουσι τῶν φίλων μαίνῃ ξυνών.

ΧΟ. ἀνήρ, ἄναξ, βέβηκεν ἐξ ὀργῆς ταχύς.
νοῦς θ' ἐστὶ τηλικοῦτος ἀλγήσας βαρύς.

747. *οὐ τἂν* Elmsleius. *οὐκ ἂν* libri, unde *οὐκ ἄν γ'* vulgo. *οὐκ ἂν* Dindorfius, sed vera esse quæ disputavit ille ad Poet. Scen. Præf. p. vii. de particula *ἂν* interdum apud Tragicos producta nondum constat.

751. *τινά*, h. e. *ἐμέ*. Vid. Matth. Gr. Gr. 487. 3. Cf. Aj. 1138. *τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεται τινί.* h. e. *σοί.*

ΚΡ. δράτω, φρονείτω μεῖζον ἢ κατ' ἄνδρ' ἰών·
τὰ δ' οὖν κόρα τάδ' οὐκ ἀπαλλάξει μόρου.
ΧΟ. ἄμφω γὰρ αὐτὰ καὶ κατακτεῖναι νοεῖς;
ΚΡ. οὐ τήν γε μὴ θιγοῦσαν. εὖ γὰρ οὖν λέγεις.
ΧΟ. μόρῳ δὲ ποίῳ καί σφε βουλεύει κτανεῖν;
ΚΡ. ἄγων ἔρημος ἔνθ' ἂν ᾖ βροτῶν στίβος,
κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι,
φορβῆς τοσοῦτον ὡς ἄγος μόνον προθείς,
ὅπως μίασμα πᾶσ' ὑπεκφύγῃ πόλις.
κἀκεῖ τὸν Ἅιδην, ὃν μόνον σέβει θεῶν,
αἰτουμένη που τεύξεται τὸ μὴ θανεῖν,
ἢ γνώσεται γοῦν ἀλλὰ τηνικαῦθ' ὅτι
πόνος περισσός ἐστι τὰν Ἅιδου σέβειν.
ΧΟ. Ἔρως ἀνίκατε μάχαν, στροφὴ α΄.
Ἔρως, ὃς ἐν κτήμασι πίπτεις,
ὃς ἐν μαλακαῖς παρειαῖς
νεάνιδος ἐννυχεύεις,
φοιτᾷς δ' ὑπερπόντιος ἔν τ'
ἀγρονόμοις αὐλαῖς·
καί σ' οὔτ' ἀθανάτων φύξιμος οὐδείς,
οὔθ' ἁμερίων ἐπ' ἀνθρώ-
πων, ὁ δ' ἔχων μέμηνεν.
σὺ καὶ δικαίων ἀδίκους ἀντιστροφὴ α΄.
φρένας παρασπᾷς ἐπὶ λώβᾳ·
σὺ καὶ τόδε νεῖκος ἀνδρῶν
ξύναιμον ἔχεις ταράξας·

775. ὡς ἄγος. *quantum piaculi amoliendi gratia necessarium sit.* Cf. supra v. 256.

782. ἐν κτήμασι πίπτεις. *opulentos, divites invadis.* Sic exponunt: sed duriusculum videtur.

783. Brunckius comparat notum illud Horatianum Od. IV. xiii. 6. *Ille virentis et Doctæ psallere Chiæ Pulchris excubat in genis.*

785. φοιτᾷς ὑπερπόντιος. h. e. ὑπὲρ πόντου. Notus hic utrique linguæ usus, sicut illud Horatii, *Nec vespertinus circumgemit ursus ovile.*

787. σε a φύξιμος regitur. Vid. Matth. Gr. Gr. 422. Lex. nostr. Æschyl. s. v. πόριμος.

790. ἔχων sc. τὸν Ἔρωτα.

791. ἀδίκους παρασπᾷς, h. e. ὥστε ἀδίκους εἶναι.

794. ταράξας. Musgravius confert Plut. Themist. c. 5. δίκας τῷ ἀνθρώπῳ πρὸς οἰκείους τινὰς ταράξειν. Cat. Min. c. 22. στάσεις ὁμοῦ καὶ πολέμους ταράττων. Cf. Choeph. v. 331. γόος ἀμφιλαφὴς ταραχθείς.

νικᾷ δ' ἐναργὴς βλεφάρων
ἵμερος εὐλέκτρου
νύμφας, τῶν μεγάλων (?) πάρεδρος ἐν ἀρχαῖς
θεσμῶν. ἄμαχος γὰρ ἐμπαί-
ζει θεὸς Ἀφροδίτα.
νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν
ἔξω φέρομαι τάδ' ὁρῶν, ἴσχειν δ'
οὐκ ἔτι πηγὰς δύναμαι δακρύων,
τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον
τήνδ' Ἀντιγόνην ἀνύτουσαν.
ΑΝ. ὁρᾶτ' ἔμ', ὦ γᾶς πατρίας πολῖται, στροφὴ β΄.
τὰν νεάταν ὁδὸν
στείχουσαν, νέατον δὲ φέγγος
λεύσσουσαν ἀελίου,
κοὔποτ' αὖθις· ἀλλά μ' ὁ παγ-
κοίτας Ἅιδας ζῶσαν ἄγει
τὰν Ἀχέροντος
ἀκτάν, οὔθ' ὑμεναίων
ἔγκληρον, οὔτ' ἐπινύμφειός

797. Vulgo τῶν μεγάλων πάρεδρος ἐν ἀρχαῖς θεσμῶν, in quibus tria videntur esse incommoda: primum quod si verba ad Creontem referas, nullo pacto potest ille dici amorem suum assessorem habere; deinde, si ad Hæmonem, nihil erit quo verba ἐν ἀρχαῖς referantur: denique, arsis choriambica soluta. His perpensis Dindorfius ἐν ἀρχαῖς ejecit et οὐχὶ verbo πάρεδρος præfixit. 'Quemadmodum,' inquit, 'Eur. Med. 843. τᾷ σοφίᾳ παρέδρους ἔρωτας, παντοίας ἀρετᾶς ξυνεργοὺς amoris laudandi caussa dixit, ita Sophocles e contrario ἵμερον non assidere sanctis legibus dixit, id est dulcis desiderii vi factum esse, ut Hæmon debitam patri legibusque reverentiam violaret. Quam interpretationem egregie confirmant Chori quæ statim sequuntur verba: νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν ἔξω φέρομαι.' His pæne assentior, sed forte tamen τῶν μεγάλων πάρεδρος ἐν ἀρχαῖς θεσμῶν ita dicitur, ut qui imperium non minus validum in homines quam legum sanctitas exerceat. Ita ἐν ἀρχαῖς ad Amoris imperium referendum erit.

805. ἀνύτουσαν. Cf. ad Œd. Col. 1562. De spiritu vide ad ejusdem fabulæ 432.

806. ὁρᾶτ' ἔμ' La. Vulgo ὁρᾶτέ μ'.

814. ἐπινύμφειος restituit Dindorfius, coll. ἐπινίκειος Œd. Col. 1088. Ἐφέσειος fragm. ap. Steph. Byz. s. v. Ἔφεσον. Vulgo ἐπινυμφίδιος.

πώ μέ τις ὕμνος
ὕμνησεν, ἀλλ᾽ Ἀχέροντι νυμφεύσω.
ΧΟ. οὐκοῦν κλεινὴ καὶ ἔπαινον ἔχουσ᾽
ἐς τόδ᾽ ἀπέρχει κεῦθος νεκύων,
οὔτε φθινάσιν πληγεῖσα νόσοις
οὔτε ξιφέων ἐπίχειρα λαχοῦσ᾽,
ἀλλ᾽ αὐτόνομος, ζῶσα, μόνη δὴ
θνατῶν, Ἀΐδαν καταβήσει.
ΑΝ. ἤκουσα δὴ λυγροτάταν ὀλέσθαι — ἀντιστροφὴ β΄.
τὰν Φρυγίαν ξέναν
Ταντάλου Σιπύλῳ πρὸς ἄκρῳ·
τὰν κισσὸς ὡς ἀτενὴς
πετραία βλάστα δάμασεν,
καί νιν ὄμβρῳ τακομέναν,
ὡς φάτις ἀνδρῶν,
χιών τ᾽ οὐδαμὰ λείπει
τέγγει θ᾽ ὑπ᾽ ὀφρύσι παγκλαύτοις
δειράδας· ᾇ με
δαίμων ὁμοιοτάταν κατευνάζει.
ΧΟ. ἀλλὰ θεός τοι καὶ θεογεννής,
ἡμεῖς δὲ βροτοὶ καὶ θνητογενεῖς.
καίτοι φθιμένῳ τοῖς ἰσοθέοις

824. *τὰν Φρυγίαν ξέναν Ταντάλου.* Nioben, Tantali Lydorum regis filiam, Amphioni regi Thebarum nuptam, de qua nota omnia. Ad *Φρυγίαν* notat Wunderus: Debebat Niobe Lydia dici, quemadmodum Sipylus mons Libyæ fuit. Sed Strabo lib. xiii. p. 571. extr. monet montem Sipylum a quibusdam Phrygiæ accenseri et hinc Tantalum et Nioben *Φρυγίους* dici. Cf. Aj. 1292.

826. *ἀτενής.* *firmiter adhærens.*

827. *πετραία βλάστα.* h. e. *πέτρα βλαστήσασα.* Rupem intelligit in quam conversa fuisse Niobe fertur.

831. *τέγγει θ᾽ ὑπ᾽ ὀφρύσι παγκλαύτοις δειράδας.* *lacrimis semper ex oculis manantibus humectat cervicem.* Comparat Wunderus Homericum illud, *ὑπ᾽ ὀφρύσι δάκρυα λείβειν.* *παγκλαύτοις* La. Lb. *παγκλαύστοις* Ald.

836. Vulgo *καί τοι φθιμένᾳ μέγ᾽ ἀκοῦσαι | τοῖς (τοῖσιν T.) ἰσοθέοις ἔγκληρα λαχεῖν.* Meliorem in ordinem coegit Hermannus. De prima in *ἰσοθέοις* Epicorum more producta cf. Porson. ad Eurip. Orest. v. 9. Hermann. de Em. Rat. Gr. Gr. p. 443. Mox *ἔγκληρα* cum dativo construitur, sicut *ἐγγενής τινι* pro *συγγενής τινι*, et similia dici solent, ut monuit Wunderus.

ἔγκληρα λαχεῖν μέγ᾽ ἀκοῦσαι.
ΑΝ. οἴμοι γελῶμαι. τί με, πρὸς θεῶν πατρῴων, — στρ. γ΄.
οὐκ ὀλλυμέναν ὑβρίζεις,
ἀλλ᾽ ἐπίφαντον;
ὦ πόλις, ὦ πόλεως
πολυκτήμονες ἄνδρες·
ἰὼ Διρκαῖαι κρῆναι Θήβας τ᾽
εὐαρμάτου ἄλσος, ἔμπας
ξυμμάρτυρας ὔμμ᾽ ἐπικτῶμαι,
οἵα φίλων ἄκλαυτος, οἵοις νόμοις
πρὸς ἕρμα τυμβόχωστον ἔρ-
χομαι τάφου ποταινίου·
ἰὼ δύστανος,
[οὔτ᾽ ἐν βροτοῖς οὔτ᾽ ἐν νεκροῖσιν]
μέτοικος, οὐ ζῶσιν, οὐ θανοῦσιν.
ΧΟ. προβᾶσ᾽ ἐπ᾽ ἔσχατον θράσους
ὑψηλὸν ἐς Δίκας βάθρον
προσέπεσες, ὦ τέκνον, (?) πολύ.
πατρῷον δ᾽ ἐκτίνεις τιν᾽ ἆθλον.
ΑΝ. ἔψαυσας ἀλγεινοτάτας ἐμοὶ μερίμνας — ἀντιστρ. γ΄.
πατρὸς τριπόλιστον οἶτον,
τοῦ τε πρόπαντος

840. *ὀλλυμέναν* Dresd. a. *ὀλομέναν* vulgo.

844. De genere versus cf. ad Œd. Col. 1560.

845. *ἔμπας.* h. e. *licet* à choro irrisa. De voce *ἔμπας* cf. Blomf. Gloss. ad Prom. v. 48.

847. *ἄκλαυτος* La. Lb. *ἄκλαυστος* E.

848. *ἕρμα.* Sic Hermannus, et Blomf. ad S. c. Th. 552. *ἔργμα* libri. *ἕρμα* significat *aggerem*, quod cum aspero spiritu scribendum esse monuit Blomfieldius. Duos versus in unum conjunxit Dindorfius.

851. *οὔτ᾽ ἐν βροτοῖς οὔτ᾽ ἐν νεκροῖσι.* Non respondent antistrophico *κασίγνητε γάμων κυρήσας.* Recte ejecit Bergkius, tanquam additum, cum versus genuinus excidisset.

855. *πολύ.* *valde, nimis*, quod durum videtur: nec tamen placet *πάλιν* quod conjecit Dindorfius.

856. *Qualem olim pater, talem nunc et ipsa persolvis ærumnam.*

858. *τριπόλιστον οἶτον.* Libri omnes *οἶκτον*, nisi quod *κ* erasum in Lb. Hinc *οἶτον* restituit Brunckius. *τριπόλιστον* non est cur vitii suspectum habeamus. Hujus formæ exemplum attulit Boeckhius Pind. Pyth. vi. 2. *ἢ γὰρ ἑλικώπιδος Ἀφροδίτας ἄρουραν ἢ Χαρίτων ἀναπολίζομεν.* Nec obstat quod Sophocles

ἁμετέρου πότμου
κλεινοῖς Λαβδακίδαισιν.
ἰὼ ματρῷαι λέκτρων ἆται
κοιμήματά τ' αὐτογέννητ'
ἐμῷ πατρὶ δυσμόρου ματρός,
οἵων ἐγώ ποθ' ἁ ταλαίφρων ἔφυν·
πρὸς οὓς ἀραῖος, ἄγαμος, ἅδ'
ἐγὼ μέτοικος ἔρχομαι.
ἰὼ δυσπότμων
κασίγνητε γάμων κυρήσας,
θανὼν ἔτ' οὖσαν κατήναρές με.
ΧΟ. σέβειν μὲν εὐσέβειά τις,
κράτος δ' ὅτῳ κράτος μέλει
παραβατὸν οὐδαμᾶ πέλει,
σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργά.
ΑΝ. ἄκλαυτος, ἄφιλος, ἀνυμέναιος, ἐπῳδός.
ταλαίφρων ἄγομαι (?) τάνδ' ἑτοίμαν ὁδόν.
οὐκ ἔτι μοι τόδε λαμπάδος ἱερὸν ὄμμα
θέμις ὁρᾶν ταλαίνᾳ·

alteram formam usurpavit Phil. 1238. δὶς ταὐτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη; De accusativo vix opus est ut moneam ἔψαυσας μερίμνας idem esse quod ἔλεξας, a quo regitur οἶτον. Deinde v. sequenti ad priorem constructionem redit. Cf. Lex. Nostr. Æschyl. s. v. κλύειν.

860. ἁμετέρου πότμου κλεινοῖς Λαβδακίδαισιν. Schema Colophonium dicunt grammatici: ubi scilicet dativus occurrit ubi potius genitivum expectavisses. Similiter v. 865. κοιμήματα πατρὶ pro κοιμήματα πατρὸς dixit. Quid tamen intersit inter dativi et genitivi usum neminem latebit.

864. κοιμήματά τ' V. solus. Vulgo κοιμήματ'. Male vertit Wunderus: *Miseræ matris concubitus cum eo quem ipsa pepererat patre meo.* Immo sensus est: κοιμήματα δυσμόρου ματρὸς ἃ ἦν ἐμῷ πατρί, αὐτογέννητα ὄντα. αὐτογέννητα concubitum notat cum ea unde ipse procreatus erat.

872. σέβειν μὲν εὐσέβειά τις. Pietatem dicit Antigonæ erga fratrem quum eum sepelire vellet.

873. κράτος δ'—πέλει. *sed nequaquam jussa transgredi licet ejus, penes quem est imperium.* Brunck.

874. οὐδαμᾶ La. οὐδαμῇ vulgo.

876. ἄκλαυτος La. et h. l. etiam Aldus. Gaisford.

877. ταλαίφρων pro spurio delevit Dindorfius, utpote ex v. 866. repetitum. Quid sit τάνδ' ἑτοίμαν ὁδὸν vix intelligo. τὰν πυμάταν ὁδὸν quod in libro de metris Tragicorum exhibuit Dindorfius, verisimile puto.

τὸν δ' ἐμὸν πότμον ἀδάκρυτον οὐδεὶς φίλων στενάζει.
ΚΡ. ἆρ' ἴστ', ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν,
ὡς οὐδ' ἂν εἷς παύσαιτ' ἄν, εἰ χρείη λέγειν;
οὐκ ἄξεθ' ὡς τάχιστα, καὶ κατηρεφεῖ
τύμβῳ περιπτύξαντες, ὡς εἴρηκ' ἐγώ,
ἄφετε μόνην ἔρημον, εἴτε χρῇ θανεῖν
εἴτ' ἐν τοιαύτῃ ζῶσα τυμβεύειν στέγῃ·
ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην·
μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται.
ΑΝ. ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς
οἴκησις αἰείφρουρος, οἷ πορεύομαι
πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς
πλεῖστον δέδεκται Φερσέφασσ' ὀλωλότων·
ὧν λοισθία 'γὼ καὶ κάκιστα δὴ μακρῷ
κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.
ἐλθοῦσα μέντοι κάρτ' ἐν ἐλπίσιν τρέφω
φίλη μὲν ἥξειν πατρί, προσφιλὴς δὲ σοί,
μῆτερ, φίλη δὲ σοί, κασίγνητον κάρα·
ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ
ἔλουσα κἀκόσμησα κἀπιτυμβίους
χοὰς ἔδωκα· νῦν δέ, Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα τοιάδ' ἄρνυμαι.
καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ.

881. ἀδάκρυτον στενάζει. Sic Eurip. H. F. 1070. ἀπόκρυφον δέμας ὑπὸ μελάθρων κρύψω. Vid. Lobeck. ad Aj. 517. Erfurdt. Constructio sc. est, ὥστ' ἀδάκρυτον εἶναι.

884. *Si lamentandum et querendum esset ante mortem, nemo desisteret.* Hermann.

887. ἄφετε quod est in V. reliqui; nam imperativus post futurum οὐκ ἄξετε, quod et ipsum imperandi notionem continet, sequi potest. Nec spernenda tamen v. l. in A. ἄπιτε, quod recepit Hermannus. Mox χρῇ Dindorfius pro vulgato χρή, et hoc certe tueri videntur quæ ille in nota ad h. v. attulit. Hesychius: χρῇς. θέλεις, χρῄζεις. Suidas: χρῇς δὲ τὸ χρῄζεις καὶ δέῃ. Sic etiam Schol.: εἴτε χρὴ θανεῖν· εἰ χρῄζει καὶ θέλει, unde eum χρή, h. e. χρῇ, ita interpretatum fuisse liquet. Atque hoc optime convenit cum meliorum lectione τυμβεύειν, pro qua τυμβεύσει ex Triclinii recensione a Brunckio editum est.

892. ἀείφρουρος La. Lb. Aug. Vulgo αἰείφρουρος.

904. Hæc si corrupta non sunt, εὖ necessario cum ἐτίμησα constru-

οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκνων μήτηρ ἔφυν
οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
βίᾳ πολιτῶν τόνδ' ἂν ᾐρόμην πόνον.
τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,
καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον,
μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.
τοιῷδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ
νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν
καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.
καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβών,
ἄλεκτρον, ἀνυμέναιον, οὔτε του γάμου
μέρος λαχοῦσαν οὔτε παιδείου τροφῆς,
ἀλλ' ὧδ' ἔρημος πρὸς φίλων ἡ δύσμορος
ζῶσ' εἰς θανόντων ἔρχομαι κατασκαφάς·
ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;
τί χρή με τὴν δύστηνον ἐς θεοὺς ἔτι
βλέπειν; τίν' αὐδᾶν ξυμμάχων; ἐπεί γε δὴ
τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην.
ἀλλ' εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλά,
παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες·
εἰ δ' οἵδ' ἁμαρτάνουσι, μὴ πλείω κακὰ

endum erit, quod proposuit Triclinius, et τοῖς φρονοῦσιν *sapientium judicio* erit vertendum. Aliter sententia absurda est: neque enim an honoraverit fratrem, sed an recte honoraverit, quæstio est. Nescio an bene correxerit Arndtius, Quæstt. Soph. p. 10. καίτοι σέ γ' εὖ 'τίμησα τοῖς φρονοῦσιν εὖ. Idem similia εὖ particulæ geminatæ adduxit exempla, infra v. 1031. Phil. 672. Æsch. Agam. 500. Eum. 868. Suppl. 219.

905. ἔφυν ad præteritum tempus refertur. Cf. Æsch. Pers. 772. θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ. Agam. 171. ὅς δ' ἔπειτ' ἔφυ.

908. πρὸς χάριν, sc. ἕνεκα. Cf. infra ad v. 30.

912. βλαστοῖ vulgo. Accentum hic, ut alibi, correxit Schaeferus.

922. εἰς vulgo, sed ἐς La. ἐν Lb.

924. *Pietate obtinui impietatis crimen.* Camerarius. Cf. El. v. 968. Eurip. Med. 218. et vid. Wunderlich. Obss. Critt. in Æsch. p. 65.

925. *Si puniri propter ea, quæ pie feci, apud deos justum habetur, punita fatebor me peccavisse.* Hermann.

927. Imprecatur, *ut non plus*, h. e. tantum, *mali accipiant, quantum dent sibi.* Camerar.

πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.
ΧΟ. ἔτι τῶν αὐτῶν ἀνέμων αὐταὶ
ψυχῆς ῥιπαὶ τήνδε γ' ἔχουσιν.
ΚΡ. τοιγὰρ τούτων τοῖσιν ἄγουσιν
κλαύμαθ' ὑπάρξει βραδυτῆτος ὕπερ.
ΑΝ. οἴμοι, θανάτου τοῦτ' ἐγγυτάτω
τοὔπος ἀφῖκται.
ΧΟ. θαρσεῖν οὐδὲν παραμυθοῦμαι
μὴ οὐ τάδε ταύτῃ κατακυροῦσθαι.
ΑΝ. ὦ γῆς Θήβης ἄστυ πατρῷον
καὶ θεοὶ προγενεῖς,
ἄγομαι δὴ 'γὼ κοὐκ ἔτι μέλλω.
λεύσσετε, Θήβης οἱ κοιρανίδαι,
[τὴν βασιληΐδα μούνην λοιπήν,]
οἵα πρὸς οἵων ἀνδρῶν πάσχω,
τὴν εὐσεβίαν σεβίσασα.
ΧΟ. ἔτλα καὶ Δανάας οὐράνιον φῶς — στροφὴ α'.
ἀλλάξαι δέμας ἐν χαλκοδέτοις
αὐλαῖς· κρυπτομένα δ' ἐν

929. Libri αὐταί, sed αὐταὶ scribendum. Vid. ad Œd. T. 458.

931. τούτων. Eorum quæ modo in scena acta sunt, i. e. quod conqueri et lamentari Antigonam qui eam abducere debebant, passi sunt. Hermann. Jungenda autem τούτων κλαύματα. *Haud impune hæc isti ferent.*

935. Choro recte tribuit Boeckhius. Creonti tribuunt libri.

938. προγενεῖς La. Aug. πατρογενεῖς vulgo. 'Sunt illi antiqui Dii Mars et Venus, Harmoniæ, Cadmi conjugis, parentes.' Herm.

941. βασιληΐδα Seidlerus. βασιλίδα vulgo. Nulla in eo difficultas, quod solam se, nulla sororis habita ratione, ex regia stirpe superstitem dicit Antigona: sed tam languidus et inutilis est versus, ut vix dubitari possit quin recte ejiciendum censuerint Dindorfius et Wunderus.

944. Tria fati Antigonæ fato similia exempla commemorat Chorus. Carminis particulæ hujus nexum ita explicuit Wunderus: 'Toleravit eandem fortunam Danae, ut in carcerem subterraneum includeretur: quanquam enim nobilis erat, et a Jove amabatur, cujus compressu gravida facta est, tamen fato succubuit, cui nulla unquam vis resistere potest.'

Δανάας δέμας. Periphr. pro Δανάα. οὐράνιον φῶς ἀλλάξαι recte vertit Musgravius: *tenebris cœlestem lucem mutare.*

946. Hæc ita constituit Boeckhius: ἀλλάξαι — αὐλαῖς ‖ κρυπτομένα δ' — κατεζεύχθη, et in antistr. Ἠδωνῶν — ὀργαῖς ‖ ἐκ Διονύσου — δεσμῷ.

τυμβήρει θαλάμῳ κατεζεύχθη·
καίτοι καὶ γενεᾷ τίμιος, ὦ παῖ παῖ,
καὶ Ζηνὸς ταμιεύεσκε γονὰς χρυσορύτους.
ἀλλ' ἁ μοιριδία τις δύνασις δεινά·
οὔτ' ἄν νιν ὄλβος οὔτ' Ἄρης,
οὐ πύργος, οὐχ ἁλίκτυποι
κελαιναὶ νᾶες ἐκφύγοιεν.
ζεύχθη δ' ὀξυχόλοις παῖς ὁ Δρύαντος, ἀντιστρ. α΄.
Ἠδωνῶν βασιλεύς, κερτομίοις
ὀργαῖς, ἐκ Διονύσου
πετρώδει κατάφρακτος ἐν δεσμῷ.
οὕτω τᾶς μανίας δεινὸν ἀποστάζει
ἀνθηρόν τε μένος. κεῖνος ἐπέγνω μανίαις
ψαύων τὸν θεὸν ἐν κερτομίοις γλώσσαις.
παύεσκε μὲν γὰρ ἐνθέους
γυναῖκας εὔιόν τε πῦρ,
φιλαύλους τ' ἠρέθιζε Μούσας.

949. καὶ ante γενεᾷ addidit Hermannus.

950. ταμιεύεσκε] ἐν αὐτῇ εἶχε τὰς γονὰς τοῦ Διός· ὅ ἐστιν· ἔγκυος ἦν. Schol. χρυσορύτους. De fabula notissima omnia. Cæterum de χρυσορύτους et similibus simplici ρ scriptis cf. Matth. Gr. Gr. 40.

952. ὄλβος Erfurdtius. Vulgo ὄμβρος. Alterum exemplum est Lycurgi, Thraciæ regis, qui quum Bacchum et ejus comites læsisset, antro et ipse inclusus est. Occæcatum esse narrat Homerus Il. Z. 130. seqq.

955. ζεύχθη. i. q. κατεζεύχθη v. 948. Explicatur infra, πετρώδει κατάφρακτος ἐν δεσμῷ.

ὀξυχόλοις] ὀξυχόλως libri. ὀξύχολος Scaliger. Nescio tamen an recte ὀξυχόλοις, quod facilius in ὀξυχόλως transire potuit, olim conjecerit Hermannus. Est autem cum κερτομίοις ὀργαῖς jungendum: *propter ingenium pervicax et protervum.* Cf. Virg. Æn. iii. 13. Terra procul vastis colitur Mavortia campis (Thraces arant) *acri* quondam regnata Lycurgo.

958. κατάφαρκτος Dindorfius. Vid. supra ad v. 235.

959. οὕτω—μένος. *Tam diram tamque violentam vim exserit insania.* ἀποστάζει dicit, metaphora a viro stillante sumta. Cum voce ἀνθηρὸν Musgravius confert μανίας ἄνθος Trach. 1000. et ἤνθηκεν, ἐξώρμηκεν, sc. νόσος. Ibid. 1089.

960. ἐπέγνω. Sensus est: *ille cognovit Deum, quum eum pro insania sua acerbis dictis læderet.* Hermann.

962. παύεσκε. *cohibere volebat.* Cf. ad Œd. T. 1454. Trach. 363. Aj. 1126.

965. Μούσας. Inter Bacchi comites a Diodoro recensentur Musæ lib. iv. 4. Hermann.

παρὰ δὲ Κυανέων πελαγέων διδύμας ἁλὸς στρ. β΄.
ἀκταὶ Βοσπόριαι ἰδ' ὁ Θρηκῶν * * *
Σαλμυδησός, ἵν' ἀγχίπτολις Ἄρης
δισσοῖσι Φινείδαις
εἶδεν ἀρατὸν ἕλκος
ἀραχθὲν ἐξ ἀγρίας δάμαρτος
ἀλαὸν ἀλαστόροισιν ὀμμάτων κύκλοις
τυφλωθέντων, ὑφ' αἱματηραῖς
χείρεσσι καὶ κερκίδων ἀκμαῖσιν.
κατὰ δὲ τακόμενοι μέλεοι μελέαν πάθαν ἀντιστρ. β΄.
κλαῖον, ματρὸς ἔχοντες ἀνύμφευτον γονάν·

966. Recte ad sensum Wunderus: 'Ne Cleopatra quidem fato resistere potuit, quanquam a diis orta fuit, sed in carcerem conclusa est: cujus calamitatem deplorantes filii misere tabescebant, a noverca occæcati.' Idem recte monet, poetam id quod primarium fuit, extremo in loco posuisse, præpositis iis, quæ ad rem ipsam de qua potissimum agitur, non necessario pertinebant. Quæ enim de Phineidis commemorantur, ea exornandæ orationis caussa adjecta esse. Ferunt autem Cleopatram, filiam Boreæ et Orithyiæ, quum a marito Phineo, Salmydessi rege, repudiata esset, in carcerem longe relegatam esse. Phineus autem Idæam in matrimonium duxit, quæ cum privignos suos vim sibi inferre voluisse marito simulasset, effecit ut sibi insontes oculis privare ille permitteret.

παρὰ—διδύμας ἁλός. Rarissimus genitivi post παρὰ usus, *juxta* significantis. Cf. infra v. 1123. et vid. Abresch. ad Gazophyl Cattier. p. 85.

969. ἀκταὶ Βοσπόριαι. sc. εἰσί. Mox ἰδ' Dresd. a. Turn. Vulgo ἠδ'. Post Θρηκῶν tres desunt syllabæ. ἄξενος addidit Boeckhius.

970. ἀγχίπτολις Aug. Dresd. a. ἀγχίπολις vulgo. ἀγχίπτολις dicitur, cujus præcipue in tutela Thracia esset. *Mavortia regna* appellat Virg. Æn. iii. 13. Martem autem ἀγχίπτολιν, ut qui regionem teneret, pro incolis regionis nominavit; ut bene monuit Hermannus.

973. Non una est in hoc loco difficultas. τυφλωθὲν quod vulgo legitur in v. 973. cum ἕλκος conjungi nullo modo posse videtur. ἀραχθὲν ex v. 975. (ubi ἀραχθὲν ἐγχέων libri et Schol.) recte transtulisse huc videtur Wunderus: qui tamen male ibi intulit ἄτερθ' ἐγχέων ex Hermanni conjectura. Lachmannum ἀραχθέντων in v. 975. legentem partem veri vidisse credo, nam quid ἐγχέων sibi velit nescio. Equidem conjicio voces in v. 973. et 975. esse transponendas, ut ἀραχθὲν in priore, τυφλωθέντων in posteriore loco rescribatur. Ordo erit: εἶδεν ἀρατὸν ἀλαὸν ἕλκος ἀραχθὲν δισσοῖσι Φινείδαις ἐξ ἀγρίας δάμαρτος ἀλαστόροισιν ὀμμάτων κύκλοις, κ. τ. λ.

974. ἀλαστόροισιν] ἄλαστα πεπονθόσιν explicat Scholiasta.

980. ματρὸς ἔχοντες ἀνύμφευτον γονάν. *ex infausto matris connubio nati.* Hermann. κακόνυμφον Schol. Wunderus confert Œd. Col. 972. ὃς οὔτε βλάστας πω γενεθλίους πατρός, οὐ μητρὸς εἶχον.

ἁ δὲ σπέρμα μὲν † ἀρχαιογόνων
ἄντασ' Ἐρεχθειδᾶν,
τηλεπόροις δ' ἐν ἄντροις
τράφη θυέλλαισιν ἐν πατρῴαις
Βορεὰς ἅμιππος ὀρθόποδος ὑπὲρ πάγου
θεῶν παῖς· ἀλλὰ κἀπ' ἐκείνᾳ
Μοῖραι μακραίωνες ἔσχον, ὦ παῖ.

ΤΕΙΡΕΣΙΑΣ.

Θήβης ἄνακτες, ἥκομεν κοινὴν ὁδὸν
δύ' ἐξ ἑνὸς βλέποντε, τοῖς τυφλοῖσι γὰρ
αὕτη κέλευθος ἐκ προηγητοῦ πέλει.
ΚΡ. τί δ' ἔστιν, ὦ γεραιὲ Τειρεσία, νέον;
ΤΕ. ἐγὼ διδάξω· καὶ σὺ τῷ μάντει πιθοῦ.
ΚΡ. οὔκουν πάρος γε σῆς ἀπεστάτουν φρενός.
ΤΕ. τοιγὰρ δι' ὀρθῆς τήνδε ναυκληρεῖς πόλιν.
ΚΡ. ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα.
ΤΕ. φρόνει βεβὼς αὖ νῦν ἐπὶ ξυροῦ τύχης.
ΚΡ. τί δ' ἔστιν; ὡς ἐγὼ τὸ σὸν φρίσσω στόμα.
ΤΕ. γνώσει, τέχνης σημεῖα τῆς ἐμῆς κλύων,

981. *ἀρχαιογόνων.* Versus una syllaba brevior. Forte leg. *ἀρχαιογενέων.* Ita *παλαιογενὴς* Ar. Nub. 358.

982. *ἄντασ'* si verum est, recte cum genitivo construit Wunderus, ita ut *σπέρμα* accusativus sit, sicut in Phil. 239. *ἐγὼ γένος μέν εἰμι τῆς περιρρύτου Σκύρου.* Mirum tamen quantum displicet illud *ἄντασ' Ἐρεχθειδῶν*, sc. *ab Erechthidis ortum duxit.* Nec placent *αὔδασ'* vel *αὔχασ'* quæ proposuit Dindorfius.

984. *θυέλλῃσιν* libri omnes. Cf. supra ad v. 589.

985. *βορεάς.* Boreæ filia. De forma patronymica dixit Matth. Gr. Gr. 101. *ὀρθόποδος ὑπὲρ πάγου.* *super excelso montis cacumine.*

986. *θεῶν παῖς.* Nam ipse Erechtheus Orithyiæ pater inter deos relatus fuit. BRUNCK.

987. *ἔσχον*] *ἐπὶ* ex superiore versu repetendum. *irruebant, invadebant.* Vid. citata ad Eurip. Bacch. 1131. MUSGRAV.

990. *κέλευθος.* *incedendi modus.*

994. *δι' ὀρθῆς.* *recte.* Hunc loquendi usum tetigit Schaefer. ad Bos. Ellips. s. v. *ἀρχή.*

996. *ἐπὶ ξυροῦ τύχης.* *in novacula casus.* Nota proverbialis locutio ex Homero Il. K. 173. *Νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς.* Idem diversis verbis expressit in Aj. 786. *ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο μὴ χαίρειν τινά.* Vid. Eustath. p. 796. BRUNCK.

εἰς γὰρ παλαιὸν θᾶκον ὀρνιθοσκόπον
ἵζων, ἵν' ἦν μοι παντὸς οἰωνοῦ λιμήν,
ἀγνῶτ' ἀκούω φθόγγον ὀρνίθων, κακῷ
κλάζοντας οἴστρῳ καὶ βεβαρβαρωμένῳ·
καὶ σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς
ἔγνων· πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν.
εὐθὺς δὲ δείσας ἐμπύρων ἐγευόμην
βωμοῖσι παμφλέκτοισιν· ἐκ δὲ θυμάτων
Ἥφαιστος οὐκ ἔλαμπεν, ἀλλ' ἐπὶ σποδῷ
μυδῶσα κηκὶς μηρίων ἐτήκετο
κἄτυφε κἀνέπτυε, καὶ μετάρσιοι
χολαὶ διεσπείροντο, καὶ καταρρυεῖς
μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.
τοιαῦτα παιδὸς τοῦδ' ἐμάνθανον πάρα
φθίνοντ' ἀσήμων ὀργίων μαντεύματα.
ἐμοὶ γὰρ οὗτος ἡγεμών, ἄλλοις δ' ἐγώ.
καὶ ταῦτα τῆς σῆς ἐκ φρενὸς νοσεῖ πόλις.
βωμοὶ γὰρ ἡμῖν ἐσχάραι τε παντελεῖς
πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς
τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου.
κᾆτ' οὐ δέχονται θυστάδας λιτὰς ἔτι

1000. *λιμήν.* *receptaculum.* Sic Œd. T. 420. Æschyl. Pers. 250. Eurip. Orest. 1077. ERFURDT.

1001. *σχῆμα πρὸς τὸ σημαινόμενον.* Nempe *φθόγγον ὀρνίθων* valet sensu et potestate *ὄρνιθας.* MUSGRAV.

1003. *φοναῖς* substantivum est a *φονή*, neque (quod credidit tamen Scholiasta) adjectivum, quod nemo hodie ignorabit.

1005. *γεύεσθαι* hic valet *experiri, periculum facere*, ut Trach. 1101. Eur. Hipp. 663. *τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος*, h. e. juxta Schol. *πεπειραμένος.* Vid. ad Arist. Ran. 462. BRUNCK.

1012. *καλυπτῆς.* *superpositæ.* Alii active accipiunt pro *καλυπτούσης.* Sed Homerico ex usu dictum est *καλυπτῆς.* Ellendtius comparat Il. E. 315. *πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμα κάλυψεν.* Ita Φ. 321. X. 313.

1013. Nihil aliud dicit quam irrita fuisse sacra, ut nihil eorum quæ optasset portenderent. HERMANN. *ἀσήμων*, sc. *ὥστε ἄσημα εἶναι.* Cf. Trach. 106.

1016. *παντελεῖς.* *omnes.*

1017. *πλήρεις* sc. quas carnibus ex corpore Polynicis inhumato direptis impleverant canes alitesque. Jungenda *βορᾶς τοῦ δυσμόρου.* Cf. Æschyl. Ag. v. 1593. *δαῖτα παιδείων κρεῶν.*

θεοὶ παρ' ἡμῶν οὐδὲ μηρίων φλόγα,
οὐδ' ὄρνις εὐσήμους ἀπορροιβδεῖ βοάς,
ἀνδροφθόρου βεβρῶτες αἵματος λίπος.
ταῦτ' οὖν, τέκνον, φρόνησον. ἀνθρώποισι γὰρ
τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν·
ἐπεὶ δ' ἁμάρτῃ, κεῖνος οὐκ ἔτ' ἔστ' ἀνὴρ
ἄβουλος οὐδ' ἄνολβος, ὅστις ἐς κακὸν
πεσὼν ἀκεῖται μηδ' ἀκίνητος πέλει.
αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει.
ἀλλ' εἶκε τῷ θανόντι μηδ' ὀλωλότα
κέντει. τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;
εὖ σοι φρονήσας εὖ λέγω· τὸ μανθάνειν δ'
ἥδιστον εὖ λέγοντος, εἰ κέρδος φέροι.

ΚΡ. ὦ πρέσβυ, πάντες ὥστε τοξόται σκοποῦ
τοξεύετ' ἀνδρὸς τοῦδε, κοὐδὲ μαντικῆς
ἄπρακτος ὑμῖν εἰμι, τῶν δ' ὑπαὶ γένους
ἐξημπόλημαι κἀκπεφόρτισμαι πάλαι.
κερδαίνετ', ἐμπολᾶτε τὸν πρὸς Σάρδεων
ἤλεκτρον, εἰ βούλεσθε, καὶ τὸν Ἰνδικὸν
χρυσόν· τάφῳ δ' ἐκεῖνον οὐχὶ κρύψετε,
οὐδ' εἰ θέλουσ' οἱ Ζηνὸς ἀετοὶ βορὰν
φέρειν νιν ἁρπάζοντες ἐς Διὸς θρόνους,
οὐδ' ὣς μίασμα τοῦτο μὴ τρέσας ἐγὼ
θάπτειν παρήσω κεῖνον. εὖ γὰρ οἶδ' ὅτι

1022. *βεβρῶτες*. Refertur ad *ὄρνιθες* quod præcedentibus verbis inest. Dindorf.

1025. *ἐπεὶ δ' ἁμαρτῇ*. Notanda syntaxis, cui cognata est ea qua *εἰ* cum conjunctivo jungitur. Cf. Œd. Col. 1226.

1032. *λέγοι* La. recte fortasse, et hoc præfert Dindorfius. *φέροι* Aug. cum gl. *λέγοι*. *φέρει* E. T. V. *λέγει* A. Ald.

1035. *Et ne a vaticiniis quidem intentatus vobis sum.* Hermann. Angl. *unpractised upon.* Mox *ὑπαὶ τῶν γένους a cognatis* significare monuit Hermannus.

1036. *ἐξημπόλημαι κἀκπεφόρτισμαι*. Cf. 1063. Phil. 978. Hæc verba *prodendi* et *decipiendi* notione usurpata passim videmus.

1037. h. e. in rebus in quibus illud licet, hoc (sc. *κερδαίνετ', ἐμπολᾶτε*) exercete, non autem in re tali qualis hæc est.

1038. *ἤλεκτρον*. Aurum dicit. Vid. Plin. H. N. 33. 23.

1040. *αἰετοὶ* codd. Vid. ad Œd. T. 401.

θεοὺς μιαίνειν οὔτις ἀνθρώπων σθένει.
πίπτουσι δ', ὦ γεραιὲ Τειρεσία, βροτῶν
χοἰ πολλὰ δεινοὶ πτώματ' αἴσχρ', ὅταν λόγους
αἰσχροὺς καλῶς λέγωσι τοῦ κέρδους χάριν.

ΤΕ. φεῦ·
ἆρ' οἶδεν ἀνθρώπων τις, ἆρα φράζεται,
ΚΡ. τί χρῆμα; ποῖον τοῦτο πάγκοινον λέγεις;
ΤΕ. ὅσῳ κράτιστον κτημάτων εὐβουλία;
ΚΡ. ὅσῳπερ, οἶμαι, μὴ φρονεῖν πλείστη βλάβη.
ΤΕ. ταύτης σὺ μέντοι τῆς νόσου πλήρης ἔφυς.
ΚΡ. οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς.
ΤΕ. καὶ μὴν λέγεις, ψευδῆ με θεσπίζειν λέγων.
ΚΡ. τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος.
ΤΕ. τὸ δ' ἐκ τυράννων αἰσχροκέρδειαν φιλεῖ.
ΚΡ. ἆρ' οἶσθα ταγοὺς ὄντας ἂν λέγῃς λέγων;
ΤΕ. οἶδ'. ἐξ ἐμοῦ γὰρ τήνδ' ἔχεις σώσας πόλιν.
ΚΡ. σοφὸς σὺ μάντις, ἀλλὰ τἀδικεῖν φιλῶν.
ΤΕ. ὄρσεις με τἀκίνητα διὰ φρενῶν φράσαι.
ΚΡ. κίνει. μόνον δὲ μὴ 'πὶ κέρδεσιν λέγων.
ΤΕ. οὕτω γὰρ ἤδη καὶ δοκῶ τὸ σὸν μέρος.
ΚΡ. ὡς μὴ 'μπολήσων ἴσθι τὴν ἐμὴν φρένα.
ΤΕ. ἀλλ' εὖ γέ τοι κάτισθι μὴ πολλοὺς ἔτι
τροχοὺς ἁμιλλητῆρας ἡλίου τελῶν,
ἐν οἷσι τῶν σῶν αὐτὸς ἐκ σπλάγχνων ἕνα
νέκυν νεκρῶν ἀμοιβὸν ἀντιδοὺς ἔσει,
ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω,
ψυχήν τ' ἀτίμως ἐν τάφῳ κατῴκισας·
ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ' αὖ θεῶν

1046. *οἱ πολλὰ δεινοί*. Cf. Œd. Col. 1514. *αἱ πολλὰ βρονταὶ διατελεῖς*.

1060. *τὰ ἀκίνητα διὰ φρενῶν*. h. e. *quæ nunc quidem in animo immota manent*. Cf. supr. v. 639. *διὰ στέρνων ἔχειν*.

1066. *μὴ πολλοὺς — τελῶν ἐν οἷσι*. h. e. *ἐν οὐ πολλοῖς τροχοῖς ἁμιλλητῆρσιν*. *τροχοὺς* autem negligentius dixit pro spatio quod rota volvente peragitur.

1068. *τῶν ἄνω* sc. Antigonam.

1070. *τῶν κάτωθεν θεῶν ἄμοιρον*. Communione cum inferis prohibitum. Hermann.

ἄμοιρον, ἀκτέριστον, ἀνόσιον νέκυν.
ὧν οὔτε σοὶ μέτεστιν οὔτε τοῖς ἄνω
θεοῖσιν, ἀλλ' ἐκ σοῦ βιάζονται τάδε.
τούτων σε λωβητῆρες ὑστεροφθόροι
λοχῶσιν Ἅιδου καὶ θεῶν Ἐρινύες,
ἐν τοῖσιν αὐτοῖς τοῖσδε ληφθῆναι κακοῖς.
καὶ ταῦτ' ἄθρησον εἰ κατηργυρωμένος
λέγω. φανεῖ γάρ, οὐ μακροῦ χρόνου τριβή,
ἀνδρῶν γυναικῶν σοῖς δόμοις κωκύματα.
ἐχθραὶ δὲ πᾶσαι συνταράσσονται πόλεις
ὅσων σπαράγματ' ἢ κύνες καθήγισαν,
ἢ θῆρες, ἤ τις πτηνὸς οἰωνός, φέρων
ἀνόσιον ὀσμὴν ἑστιοῦχον ἐς πόλιν.
τοιαῦτά σου, λυπεῖς γάρ, ὥστε τοξότης,
ἀφῆκα θυμῷ καρδίας τοξεύματα
βέβαια, τῶν σὺ θάλπος οὐχ ὑπεκδραμεῖ.
ὦ παῖ, σὺ δ' ἡμᾶς ἄπαγε πρὸς δόμους, ἵνα

1072. ὧν generis neutrius est, cui respondet in versu sequenti τάδε, ut recte monuit Boeckhius. Sensum ita reddidit Wunderus: *cujus rei jus sive potestas* (ut Polynices insepultus jaceat) *neque tibi est neque dis superis, sed a te coguntur* (di superi) *ut in ditione sua retineant corpus Polynicis.*

1073. βιάζονται τάδε. Hoc non ipsorum, sed Creontis culpa, accidere dicit quod Polynicem inhumatum vident.

1074. τούτων. Genitivo utitur quia in sequentibus notio ulciscendi inest. De masculino λωβητῆρες cum feminino Ἐρινύες juncto cf. Brunck. ad Phil. 1471.

1079. ἀνδρῶν γυναικῶν. Pro ἀνδρῶν καὶ γυναικῶν. Nam Græci in hoc genere loquendi copulam fere omittere solent. Arist. Ran. 157. θιάσους εὐδαίμονας ἀνδρῶν, γυναικῶν, quem ad locum de hoc usu exposuit Kusterus. Vid. etiam Schaef. ad Long. Past. p. 403. ERFURDT.

1080. 1084. Hos versus ejicit Wunderus Dindorfio assentiente. Hermannus annotat: 'Constructio est: πόσαι πόλεις ἐχθραὶ συνταράσσονται (h. e. ὥστε γίγνεσθαι ἐχθραί,) ὅσων ἀνδρῶν σπαράγματα ἢ κύνες καθήγισαν, ἢ θῆρες, ἤ τις πτηνὸς οἰωνός, ὀσμὴν φέρων ἐς ἑστιοῦχον πόλιν. ἑστιοῦχον πόλιν dicit eam urbem, quæ cujusque ducis domum habet. Hic est enim verborum sensus: Omnes civitates ad bellum concitantur, quotquot virorum lacera membra aut canes contaminarunt, aut feræ, aut avis aliqua, scelestum odorem in patriam cujusque urbem ferens. καθαγίζειν proprie est *consecrare*: quod quum sit communi usu eximere, apertum est, ubi usurpatur de iis qui quid fœdant, significare contaminando facere ut quivis sese abstineat.'

τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῇ,
καὶ γνῷ τρέφειν τὴν γλῶσσαν ἡσυχαιτέραν
τὸν νοῦν τ' ἀμείνω τῶν φρενῶν ἢ νῦν φέρει.
ΧΟ. ἀνήρ, ἄναξ, βέβηκε δεινὰ θεσπίσας.
ἐπιστάμεσθα δ', ἐξ ὅτου λευκὴν ἐγὼ
τήνδ' ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα,
μή πώ ποτ' αὐτὸν ψεῦδος ἐς πόλιν λακεῖν.
ΚΡ. ἔγνωκα καὐτὸς καὶ ταράσσομαι φρένας.
τό τ' εἰκαθεῖν γὰρ δεινόν· ἀντιστάντα δὲ
ἄτῃ πατάξαι θυμὸν ἐν δεινῷ πάρα.
ΧΟ. εὐβουλίας δεῖ, παῖ Μενοικέως Κρέον.
ΚΡ. τί δῆτα χρὴ δρᾶν; φράζε· πείσομαι δ' ἐγώ.
ΧΟ. ἐλθὼν κόρην μὲν ἐκ κατώρυχος στέγης
ἄνες· κτίσον δὲ τῷ προκειμένῳ τάφον.
ΚΡ. καὶ ταῦτ' ἐπαινεῖς καὶ δοκεῖς παρεικαθεῖν;
ΧΟ. ὅσον γ', ἄναξ, τάχιστα. συντέμνουσι γὰρ
θεῶν ποδώκεις τοὺς κακόφρονας βλάβαι.
ΚΡ. οἴμοι· μόλις μέν, καρδίας δ' ἐξίσταμαι
τὸ δρᾶν· ἀνάγκῃ δ' οὐχὶ δυσμαχητέον.
ΧΟ. δρᾶ νυν τάδ' ἐλθὼν μηδ' ἐπ' ἄλλοισιν τρέπε.
ΚΡ. ὧδ' ὡς ἔχω στείχοιμ' ἄν· ἴτ' ἴτ' ὀπάονες
οἵ τ' ὄντες οἵ τ' ἀπόντες, ἀξίνας χεροῖν
ὁρμᾶσθ' ἑλόντες εἰς ἐπόψιον τόπον.
ἐγὼ δ', ἐπειδὴ δόξα τῇδ' ἐπεστράφη,
αὐτός τ' ἔδησα, καὶ παρὼν ἐκλύσομαι.

1089. ἡσυχαιτέραν Schaeferus. Vulgo ἡσυχωτέραν.

1090. Duæ locutiones mixtæ. ἀμείνω ἢ νῦν φέρει et ἀμείνω τῶν φρενῶν ὧν νῦν φέρει. Vid. ad Œd. Col. 385.

1102. Hic certe requiritur aoristus παρεικαθεῖν, unde fides Elmsleiano canoni accedere possit.

1105. καρδίας δ' ἐξίσταμαι τὸ δρᾶν. h. e. ταρβῶ, ὀκνῶ. Cf. Phil. 1252. πείθομαι τὸ δρᾶν. Male ad ἀνάγκῃ in nominativo casu a quibusdam trahitur τὸ δρᾶν. ἀνάγκη Aug. et Matth. Gr. Gr. 543. obs. 2.

1108. οἵ τ' ὄντες. *qui præsto estis*, quod ex sequenti ἀπόντες intelligitur.

1110. Lacunæ signum post h. v. recte posuisse videtur Hermannus. Nam alioqui valde exilis sententia erit.

1111. δόξα τῇδ' ἐπεστράφη] δόξᾳ τῇδ' ἐπεστράφην La. Lb.

δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους
ἄριστον ᾖ σῴζοντα τὸν βίον τελεῖν.
ΧΟ. πολυώνυμε, Καδμείας στροφὴ α΄.
Νύμφας ἄγαλμα, καὶ Διὸς
βαρυβρεμέτα γένος,
κλυτὰν ὃς ἀμφέπεις
Ἰταλίαν, μέδεις δὲ παγ-
κοίνοις Ἐλευσινίας
Δηοῦς ἐν κόλποις, Βακχεῦ, βακχᾶν
ὁ ματρόπολιν Θήβαν
ναιετῶν παρ' ὑγρῶν
Ἰσμηνοῦ ῥείθρων, ἀγρίου τ'
ἐπὶ σπορᾷ δράκοντος·
σὲ δ' ὑπὲρ διλόφου πέτρας ἀντιστροφὴ α΄.
στέροψ ὄπωπε λιγνύς, ἔν-
θα Κωρύκιαι Νύμφαι
στείχουσι Βακχίδες,
Κασταλίας τε νᾶμα. καί

1115. Καδμείας hic et διλόφοιο in v. 1126. corrigit Dindorfius, ut versus scilicet numerosior exeat.

1116. ἄγαλμα. Matris ἀγάλματα, *deliciæ*, sollenni poetarum usu dicuntur liberi. Vid. Ruhnk. ad Tim. s. v. ἄγαλμα. ERFURDT.

1119. Ἰταλίαν. Italiam dicit inferiorem sive magnam Græciam, quæ quia vini feracissima erat, inter Bacchi domicilia refertur. Schol. διὰ τὸ πολυάμπελον τῆς χώρας. Monuit Wexius.

1120. παγκοίνοις] ἐν οἷς πάντες συναγείρονται διὰ τὰς πανηγύρεις. Schol. De mensura vocis Ἐλευσινίας Boeckhius confert Hom. Hymn. Cer. 105. 266. Antimach. fr. 55. Eratosth. fr. Merc. xv. 15.

1121. Versus vulgo sic descripti: Δηοῦς ἐν κόλποις | ὦ Βακχεῦ, Βακχᾶν μητρόπολιν Θήβαν. Correxit Dindorfius deleto ὦ, et ὁ ante μητρόπολιν addito. Illud antea viderat Erfurdtius: hoc Musgravius. Ita versus 1121. evadit molossicus: cf. ad Œd. Col. 1560.

1122. ὁ ante ματρόπολιν addidit Musgravius. μητρόπολιν edd. ante Dindorfium. Vulgatam tuetur Hermannus, coll. Æsch. Pers. 895.

1123. ναιετῶν metri caussa correxit Dindorfius. ναίων vulgo. De παρὰ cum gen. vid. supra v. 966.

1124. ῥείθρων Hermannus. ῥεέθρων T. vulgo ὑγρὸν Ἰσμηνοῦ ῥέεθρον.

1126. Eur. Bacch. 306. ἔτ' αὐτὸν ὄψει κἀπὶ Δελφίσιν πέτραις πηδῶντα σὺν πεύκαισι δικόρυφον πλάκα. BRUNCK.

1129. στίχουσι Dindorfius, ut versus cum antistrophico exæquetur.

σε Νυσαίων ὀρέων
κισσήρεις ὄχθαι, χλωρά τ' ἀκτὰ
πολυστάφυλος πέμπει
ἀβρότων ἐπέων
εὐαζόντων Θηβαίας
ἐπισκοποῦντ' ἀγυιάς·
τὰν ἔκπαγλα τιμᾷς στροφὴ β΄.
ὑπὲρ πασᾶν πόλεων
ματρὶ σὺν κεραυνίᾳ·
καὶ νῦν, ὡς βιαίας
ἔχεται πάνδημος * * πόλις ἐπὶ νόσου
μολεῖν καθαρσίῳ ποδὶ Παρνασίαν
ὑπὲρ κλιτύν, ἢ στονόεντα πορθμόν.
ἰὼ πῦρ πνεόντων
χοράγ' ἄστρων, νυχίων
φθεγμάτων ἐπίσκοπε,

1131. Νυσαίων. Eubœensem Nysam intelligendam esse vix dubitari potest, quum in seqq. prægressa itidem Parnassi mentione, venire jubeatur Bacchus ὑπὲρ στονόεντα πορθμόν. HERMANN.

1135. ἄβροτα ἔπεα sunt *voces sanctæ, voces in sacris auditæ*. WUNDER.

1138. Vulgo τὰν ἐκ πασᾶν τιμᾷς ὑπερτάταν. Præclare correxit Dindorfius. τὰν autem ad πόλιν, quod latet in plurali Θηβαίας ἀγυιάς, referri monuit Brunckius.

1142. Vulgo ἔχεται πάνδημος | πόλις ἐπὶ νόσου μολεῖν ‖ καθαρσίῳ. Correxit Boeckhius, qui et ἀμὰ post πάνδημος probabiliter supplevit. Notanda insolentior locutio ἔχεσθαι ἐπὶ νόσου, h. e. *in morbo esse, laborare morbo*. Similis præpositionis usus in Il. K. 173. supra ad v. 996. citato, ἐπὶ γὰρ ξυροῦ ἵσταται ἀκμῆς. μολεῖν autem pro imperativo est, ut sæpe.

1144. Παρνασίαν Aug. Παρνησίαν reliqui.

1147. χοράγ' ἄστρων. Brunckius laudat Virgil. Georg. i. 5. *Vos, o clarissima mundi Lumina, labentem cœlo quæ ducitis annum; Liber et alma Ceres.* Melius docuit Naekius apud Hermannum, Sophoclem sententiam, quæ detracto poetico ornatu hæc sit, noctu per siderum lucem choros Bacchum ducere, præclara imagine sic extulisse, ut partem esse Bacchici chori sidera, quippe quæ et ipsa chori quasi cujusdam speciem præ se ferant moveanturque re vera, et Bacchum præsidem eorum fingeret: non, inquit, quod res ita se habeat, nihil enim inter siderum meatus et Bacchi choreas commune est: sed quod ita se habere videatur ei, qui in terris omnia, quatiente Deo potentissimo, vehementi concita motu, saltatione et clamore plena, eodemque tempore siderum quasi saltantium in cœlo chorum conspexerit.

νυχίων] καὶ ante νυχίων delevit Brunckius.

παῖ Ζηνὸς γένεθλον,
προφάνηθ' ὦ Ναξίαις σαῖς ἅμα περιπόλοις
Θυίαισιν, αἵ σε μαινόμεναι πάννυχοι
χορεύουσι, τὸν ταμίαν Ἴακχον.

ΑΓΓΕΛΟΣ.

Κάδμου πάροικοι καὶ δόμων Ἀμφίονος,
οὐκ ἔσθ' ὁποῖον στάντ' ἂν ἀνθρώπου βίον
οὔτ' αἰνέσαιμ' ἂν οὔτε μεμψαίμην ποτέ.
τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταρρέπει
τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ' ἀεί·
καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.
Κρέων γὰρ ἦν ζηλωτός, ὡς ἐμοί, ποτέ,
σώσας μὲν ἐχθρῶν τήνδε Καδμείαν χθόνα,
λαβών τε χώρας παντελῆ μοναρχίαν
εὔθυνε, θάλλων εὐγενεῖ τέκνων σπορᾷ·
καὶ νῦν ἀφεῖται πάντα. τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα,
καὶ ζῆ τύραννον σχῆμ' ἔχων· ἐὰν δ' ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.
ΧΟ. τί δ' αὖ τόδ' ἄχθος βασιλέων ἥκεις φέρων;
ΑΓ. τεθνᾶσιν· οἱ δὲ ζῶντες αἴτιοι θανεῖν.
ΧΟ. καὶ τίς φονεύει; τίς δ' ὁ κείμενος; λέγε.

1149. Ζηνὸς] Διὸς vulgo. Correxit Bothius. Hæc autem jungenda esse, ut idem sint quod ἐκ Διὸς γεγὼς παῖς, recte monuit Hermannus. Mox προφάνηθ' ὦ Musgravius. Vulgo προφάνηθι.

1152. θυίαισιν Boeckhius. Libri θυιάσιν.

1154. χορεύουσι. *choreis celebrant.* Dindorf.

1156. ὁποῖον στάντα. *quæcunque sit ejus vitæ conditio.* Ita vertit Hermannus, sed ad μεμψαίμην malim πεσόντα intelligere. Hoc etiam Wundero in mentem venisse video. De ἂν cum μεμψαίμην repetendo vid. ad Œd. T. 937.

1161. ὡς ἐμοί. *me judice.*

1170. καπνοῦ σκιᾶς. Cf. Æsch. Ag. 839. Phil. 946.

ΑΓ. Αἵμων ὄλωλεν· αὐτόχειρ δ' αἱμάσσεται.
ΧΟ. πότερα πατρῴας, ἢ πρὸς οἰκείας χερός;
ΑΓ. αὐτὸς πρὸς αὑτοῦ, πατρὶ μηνίσας φόνου.
ΧΟ. ὦ μάντι, τοὔπος ὡς ἄρ' ὀρθὸν ἤνυσας.
ΑΓ. ὡς ὧδ' ἐχόντων τἄλλα βουλεύειν πάρα.
ΧΟ. καὶ μὴν ὁρῶ τάλαιναν Εὐρυδίκην ὁμοῦ
δάμαρτα τὴν Κρέοντος· ἐκ δὲ δωμάτων
ἤτοι κλύουσα παιδὸς ἢ τύχῃ πάρα.

ΕΥΡΥΔΙΚΗ.

ὦ πάντες ἀστοί, τῶν λόγων ἐπῃσθόμην
πρὸς ἔξοδον στείχουσα, Παλλάδος θεᾶς
ὅπως ἱκοίμην εὐγμάτων προσήγορος.
καὶ τυγχάνω τε κλῆθρ' ἀνασπαστοῦ πύλης
χαλῶσα καί με φθόγγος οἰκείου κακοῦ
βάλλει δι' ὤτων· ὑπτία δὲ κλίνομαι
δείσασα πρὸς δμωαῖσι κἀποπλήσσομαι.
ἀλλ' ὅστις ἦν ὁ μῦθος αὖθις εἴπατε·
κακῶν γὰρ οὐκ ἄπειρος οὖσ' ἀκούσομαι.
ΑΓ. ἐγώ, φίλη δέσποινα, καὶ παρὼν ἐρῶ,
κοὐδὲν παρήσω τῆς ἀληθείας ἔπος.
τί γάρ σε μαλθάσσοιμ' ἂν ὧν ἐς ὕστερον
ψεῦσται φανούμεθ'; ὀρθὸν ἀλήθει' ἀεί.
ἐγὼ δὲ σῷ ποδαγὸς ἑσπόμην πόσει
πεδίον ἐπ' ἄκρον, ἔνθ' ἔκειτο νηλεὲς

1178. ἤνυσας. *edixisti.* Cf. ad Œd. T. 156.

1184. θεᾶς εὐγμάτων προσήγορος. Notandus duplex genitivus: *ut preces ad deam funderem.*

1186. τε La. Mox κλῆθρ' La. Lb. Vulgo κλεῖθρ'. Vid. ad Œd. T. 1262. γε retinet Hermannus, hoc sensu; *et quidem aperiebam fores,* h. e. in eo ipso eram, ut fores aperirem. Idem autem bene monet recte se habere etiam τε, collatis Xen. Anab. iv. 6. 2. ab Heindorfio citato; καὶ ἤδη τε ἦν ἐν τῷ τρίτῳ σταθμῷ, καὶ ὁ Χειρίσοφος αὐτῷ ἐχαλεπάνθη, ὅτι οὐκ εἰς κώμας ἦγεν. ὁ δὲ ἔλεγεν, ὅτι οὐκ εἶεν ἐν τῷ τόπῳ τούτῳ. necnon ejusdem Cyrop. i. 4. 28. καὶ ὁδόν τε οὔπω πολλὴν διηνύσθαι αὐτοῖς, καὶ τὸν Μῆδον ἥκειν πάλιν ἱδροῦντι τῷ ἵππῳ. Cf. ad Œd. T. 717. Phil. 354.

1195. ἀλήθει' Hermannus. ἡ 'λήθει' vulgo.

κυνοσπάρακτον σῶμα Πολυνείκους ἔτι·
καὶ τὸν μέν, αἰτήσαντες ἐνοδίαν θεὸν
Πλούτωνά τ᾽ ὀργὰς εὐμενεῖς κατασχεθεῖν,
λούσαντες ἁγνὸν λουτρόν, ἐν νεοσπάσιν
θαλλοῖς ὃ δὴ λέλειπτο συγκατῄθομεν,
καὶ τύμβον ὀρθόκρανον οἰκείας χθονὸς
χώσαντες αὖθις πρὸς λιθόστρωτον κόρης
νυμφεῖον Ἅιδου κοῖλον εἰσεβαίνομεν.
φωνῆς δ᾽ ἄπωθεν ὀρθίων κωκυμάτων
κλύει τις ἀκτέριστον ἀμφὶ παστάδα,
καὶ δεσπότῃ Κρέοντι σημαίνει μολών·
τῷ δ᾽ ἀθλίας ἄσημα περιβαίνει βοῆς
ἕρποντι μᾶλλον ἆσσον, οἰμώξας δ᾽ ἔπος
ἵησι δυσθρήνητον, ὦ τάλας ἐγώ,
ἆρ᾽ εἰμὶ μάντις; ἆρα δυστυχεστάτην
κέλευθον ἕρπω τῶν παρελθουσῶν ὁδῶν;
παιδός με σαίνει φθόγγος. ἀλλά, πρόσπολοι,
ἴτ᾽ ἆσσον ὠκεῖς, καὶ παραστάντες τάφῳ
ἀθρήσαθ᾽, ἁρμὸν χώματος λιθοσπαδῆ
δύντες πρὸς αὐτὸ στόμιον, εἰ τὸν Αἵμονος
φθόγγον συνίημ᾽, ἢ θεοῖσι κλέπτομαι.
τάδ᾽ ἐξ ἀθύμου δεσπότου κελεύσμασιν
ἠθροῦμεν· ἐν δὲ λοισθίῳ τυμβεύματι
τὴν μὲν κρεμαστὴν αὐχένος κατείδομεν,
βρόχῳ μιτώδει σινδόνος καθημμένην,
τὸν δ᾽ ἀμφὶ μέσσῃ περιπετῆ προσκείμενον,

1199. *ἐνοδίαν θεόν.* Hecaten.

1200. *ὀργὰς εὐμενεῖς κατασχεθεῖν,* *animum mitem et propitium habere.* Eurip. Troad. 53. *ἐπῄνεσ᾽ ὀργὰς ἠπίους.* MUSGRAV.

1204. *λιθόστρωτον κόρης νυμφεῖον Ἅιδου.* Verba *νυμφεῖον Ἅιδου* unam efficiunt notionem, quare genitivum *κόρης* adsciscunt. Vid. Matth. Gr. Gr. 380. Obs. 1. et cf. Phil. 489.

1207. *παστάδα* dixit, *νυμφεῖον Ἅιδου* respiciens, qui thalamus, quoniam sepulcri instar erat, *ἀκτέριστον* vocat. HERMANN.

1209. *ἄσημα βοῆς.* Vid. ad Œd. T. 261. et cf. infra v. 1265.

1216. *ἁρμὸς λιθοσπαδὴς* est *rima evulsis saxis facta.* ERFURDT.

1219. Junge *κελεύσμασιν ἐξ ἀθύμου δεσπότου.* Forte corrigendum *τὰ δ᾽ ἐξ ἀθύμου.*

εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθορὰν
καὶ πατρὸς ἔργα καὶ τὸ δύστηνον λέχος.
ὁ δ᾽ ὡς ὁρᾷ σφε, στυγνὸν οἰμώξας ἔσω
χωρεῖ πρὸς αὐτὸν κἀνακωκύσας καλεῖ·
ὦ τλῆμον, οἷον ἔργον εἴργασαι· τίνα
νοῦν ἔσχες; ἐν τῷ ξυμφορᾶς διεφθάρης;
ἔξελθε, τέκνον, ἱκέσιός σε λίσσομαι.
τὸν δ᾽ ἀγρίοις ὄσσοισι παπτήνας ὁ παῖς,
πτύσας προσώπῳ κοὐδὲν ἀντειπὼν ξίφους
ἕλκει διπλοῦς κνώδοντας· ἐκ δ᾽ ὁρμωμένου
πατρὸς φυγαῖσιν ἤμπλακ᾽· εἶθ᾽ ὁ δύσμορος
αὑτῷ χολωθείς, ὥσπερ εἶχ᾽, ἐπενταθεὶς
ἤρεισε πλευραῖς μέσσον ἔγχος, ἐς δ᾽ ὑγρὸν
ἀγκῶν᾽ ἔτ᾽ ἔμφρων παρθένῳ προσπτύσσεται·
καὶ φυσιῶν ὀξεῖαν ἐκβάλλει πνοὴν
λευκῇ παρειᾷ φοινίου σταλάγματος.
κεῖται δὲ νεκρὸς περὶ νεκρῷ, τὰ νυμφικὰ
τέλη λαχὼν δείλαιος εἰν Ἅιδου δόμοις,
δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν
ὅσῳ μέγιστον ἀνδρὶ πρόσκειται, κακόν.

ΧΟ. τί τοῦτ᾽ ἂν εἰκάσειας; ἡ γυνὴ πάλιν
φρούδη, πρὶν εἰπεῖν ἐσθλὸν ἢ κακὸν λόγον.

ΑΓ. καὐτὸς τεθάμβηκ᾽· ἐλπίσιν δὲ βόσκομαι,
ἄχη τέκνου κλύουσαν ἐς πόλιν γόους
οὐκ ἀξιώσειν, ἀλλ᾽ ὑπὸ στέγης ἔσω
δμωαῖς προθήσειν πένθος οἰκεῖον στένειν.

1224. *εὐνῆς τῆς κάτω.* *conjugis jam apud inferos agentis.* MUSGR.

1229. *ἐν τῷ ξυμφορᾶς.* Vid. ad Œd. T. 1174.

1232. *πτύσας προσώπῳ.* *vultu abominans patrem.* ERFURDT. Post Scholiastam.

1236. 1237. *Implicatur virgini, recipiens eam in languescentem ulnam.* HERMANN.

1238. Leg. fort. *κἀκφυσιῶν*, coll. Æsch. Ag. 1389. *κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγήν.*

1241. *ἐν Ἅιδου* La. V. *εἰν Ἅιδου* Lb. quod mutare nolui. *εἰν* ex Homerico *εἰν Ἀΐδαο* tuetur Hermannus. Cf. *ἐνὶ* Trach. 7.

1248. Ad *ἀξιώσειν* cum Dorvillio e sequentibus intelligo *προτιθέναι.* *Non totam civitatem in societatem lamentationis vocaturam esse.* SCHAEFER.

Y

γνώμης γὰρ οὐκ ἄπειρος, ὥσθ' ἁμαρτάνειν.
ΧΟ. οὐκ οἶδ'· ἐμοὶ δ' οὖν ἥ τ' ἄγαν σιγὴ βαρὺ
δοκεῖ προσεῖναι χἠ μάτην πολλὴ βοή.
ΑΓ. ἀλλ' εἰσόμεσθα, μή τι καὶ κατάσχετον
κρυφῇ καλύπτει καρδίᾳ θυμουμένῃ,
δόμους παραστείχοντες. εὖ γὰρ οὖν λέγεις.
καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος.
ΧΟ. καὶ μὴν ὅδ' ἄναξ αὐτὸς ἐφήκει
μνῆμ' ἐπίσημον διὰ χειρὸς ἔχων,
εἰ θέμις εἰπεῖν, οὐκ ἀλλοτρίαν
ἄτην, ἀλλ' αὐτὸς ἁμαρτών.
ΚΡ. ἰὼ φρενῶν δυσφρόνων ἁμαρτήματα   στροφὴ α΄.
στερεὰ θανατόεντ'·
ὦ κτανόντας τε καὶ
θανόντας βλέποντες ἐμφυλίους.
ὤμοι ἐμῶν ἄνολβα βουλευμάτων.
ἰὼ παῖ, νέος νέῳ ξὺν μόρῳ,
αἰαῖ αἰαῖ,
ἔθανες, ἀπελύθης,
ἐμαῖς οὐδὲ σαῖσι δυσβουλίαις.
ΧΟ. οἴμ' ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν.
ΚΡ. οἴμοι,
ἔχω μαθὼν δείλαιος· ἐν δ' ἐμῷ κάρᾳ
θεὸς τότ' ἄρα τότε μέγα βάρος μ' ἔχων
ἔπαισεν, ἐν δ' ἔσεισεν ἀγρίαις ὁδοῖς,

1253. κατάσχετον. *repressum.* Erfurdt.

1258. μνῆμα. *monumentum.* Filii corpus dicit.

1259. οὐκ ἀλλοτρίαν. Cujus ipse scilicet in caussa fuerat.

1264. βλέποντες. Chorum alloquitur.

1265. ἐμῶν ἄνολβα βουλευμάτων. Cf. ad Œd. T. 261.

1268. ἀπελύθης sc. τοῦ βίου. Cf. κἀπελύσατο infra v. 1314.

1270. οἴμ' ὡς ἔοικας. Hermannus intelligit: οἴμοι, ὡς ἔοικας, εἶδες, ut scilicet mixta sit constructio. Simplicius et fortasse rectius Dindorfius explicat, *heu, quam videris.* Similis structura Aj. v. 354.

1272. ἐν δ' ἐμῷ κάρᾳ. Cf. Œd. Col. 564.

1274. ἐν δ' ἔσεισεν ἀγρίαις ὁδοῖς. Mentem sibi divinitus concussam ait. Male Musgravius: *instigavit ad sæva consilia, vel sævas actiones.* De ἐν vid. ad Œd. T. 27.

οἴμοι λακπάτητον ἀντρέπων χαράν.
φεῦ φεῦ, ὦ πόνοι βροτῶν δύσπονοι.

ΕΞΑΓΓΕΛΟΣ.

ὦ δέσποθ', ὡς ἔχων τε καὶ κεκτημένος,
τὰ μὲν πρὸ χειρῶν τάδε φέρων, τὰ δ' ἐν δόμοις
ἔοικας ἥκειν καὶ τάχ' ὄψεσθαι κακά.
ΚΡ. τί δ' ἔστιν αὖ; κάκιον ἢ κακῶν ἔτι;
ΕΞ. γυνὴ τέθνηκε, τοῦδε παμμήτωρ νεκροῦ,
δύστηνος, ἄρτι νεοτόμοισι πλήγμασιν.
ΚΡ. ἰὼ ἰὼ δυσκάθαρτος Ἅιδου λιμήν,   ἀντιστροφὴ α΄.
τί μ' ἄρα τί μ' ὀλέκεις;
ὦ κακάγγελτά μοι
προπέμψας ἄχη, τίνα θροεῖς λόγον;
αἰαῖ, ὀλωλότ' ἄνδρ' ἐπεξειργάσω.
τί φής, τίνα λέγεις νέον μοι νέον,
αἰαῖ αἰαῖ,
σφάγιον ἐπ' ὀλέθρῳ
γυναικεῖον ἀμφικεῖσθαι μόρον;

1275. λακπάτητον La. V. λαξπάτητον Lb. λεωπάτητον A. Ald.

1278. ἔχων τε καὶ κεκτημένος, *et habens et nunc ipsum nactus res adversas.* Erfurdt.

1279. Constructio est, ἔοικας ἥκειν τὰ μὲν τάδε πρὸ χειρῶν φέρων, τὰ δὲ [ἔοικας ἥκειν] καὶ τάχ' ὄψεσθαι ἐν δόμοις κακά. τάδε autem ὧδε valet.

1281. ἢ Hermannus. κάκιον ἐκ κακῶν Canterus. Vulgabatur κάκιον ἢ κακῶν. Valde probabilis est Dindorfii suspicio hæc addita esse senarii conficiendi caussa, quum re vera monometrum sit trimetris interjectum, sicut ἔχ' ἥσυχος, Iph. Aul. 1133.

1282. παμμήτωρ. *vere,* nec nomine tantum *mater.*

1284. δυσκάθαρτος Ἅδου λιμήν. Portum necis difficilem ad purgandum dicit poeta, quia cædes cædi succedat neque usquam finis occidendi inveniatur. Hermann.

1290. Libri τί φῄς, ὦ παῖ; τίνα λέγεις μοι νέον λόγον. Unde Hermannus refinxit, τί φῄς; τίνα λέγεις νέον μοι λόγον; sed veriorem jure censet Dindorfius alteram ejusdem emendationem quam in textum recipiendam putavi. Ita demum sensus evadit idoneus: ordo est; τίνα νέον μόρον λέγεις μοι σφάγιον γυναικεῖον ἀμφικεῖσθαι ἐπ' ὀλέθρῳ, *quo tandem novo hocce fato narras mihi fœminæ cædem ad* (filii) *cædem accedere?* ἀμφικεῖσθαι de malo malis addito duriuscule dictum videtur: sed inest notio victimæ novæ super alia victima jacentis.

ΧΟ. ὁρᾶν πάρεστιν. οὐ γὰρ ἐν μυχοῖς ἔτι.
ΚΡ. οἴμοι,
κακὸν τόδ' ἄλλο δεύτερον βλέπω τάλας·
τίς ἄρα, τίς με πότμος ἔτι περιμένει;
ἔχω μὲν ἐν χείρεσσιν ἀρτίως τέκνον,
τάλας, τὸν δ' ἔναντα προσβλέπω νεκρόν.
φεῦ φεῦ μᾶτερ ἀθλία, φεῦ τέκνον.
ΕΞ. † ἡ δ' ὀξύθηκτος ἥδε βωμία πέριξ
λύει κελαινὰ βλέφαρα, κωκύσασα μὲν
τοῦ πρὶν θανόντος Μεγαρέως κλεινὸν λάχος,
αὖθις δὲ τοῦδε, λοίσθιον δὲ σοὶ κακὰς
πράξεις ἐφυμνήσασα τῷ παιδοκτόνῳ.
ΚΡ. αἰαῖ, αἰαῖ, στροφὴ β'.
ἀνέπταν φόβῳ. τί μ' οὐκ ἀνταίαν
ἔπαισέν τις ἀμφιθήκτῳ ξίφει;
δείλαιος ἐγώ, αἰαῖ,
δειλαίᾳ δὲ συγκέκραμαι δύᾳ.
ΕΞ. ὡς αἰτίαν γε τῶνδε κἀκείνων ἔχων
πρὸς τῆς θανούσης τῆσδ' ἐπεσκήπτου μόρων.

1293. Nuncio tribuunt libri. Choro Erfurdtius.

1299. *τὸν δ'—νεκρόν.* alterum (sc. uxoris) cadaver juxta aspicio.

1301. *ὀξύθηκτος. furore ad insaniam redacta. βωμία πέριξ, prope ad aram,* quæ mira est, et vix dubie corrupta locutio. Ingeniose Arndtius Quæstt. Soph. p. 12. in *πέριξ* vestigia vocis *ξίφει* investigasse sibi videtur, et vix dubito quin recte is scripserit, *ἥδ' ὀξυθήκτῳ βωμία περὶ ξίφει.* Notum est *περὶ ξίφει* dici solere de gladio se jugulantibus, e. g. Aj. 828. *πεπτῶτα τῷδε περὶ νεορράντῳ ξίφει.* Idem recte *βωμία* illustrat collato Trach. 904. *βρυχᾶτο μὲν βωμοῖσι προσπίπτουσ', ὅτι κ. τ. λ.* Nec ferri posse videtur *δ'* particula in sententiæ initio: quæ invecta videtur postquam alterum *ἥδε* ad versum explendum interpolatum fuerat.

1302. *κελαινὰ* de caligine oculis morientum obvoluta recte intellexit Boeckhius.

1303. *λέχος* vulgo. Correxit Bothius. Sortem dicit Megarei filii, quem Menœceum vocat Euripides in Phœnissis, qui se pro patria devoverat.

1304. *τοῦδε.* Hæmonis.

1307. *ἀνταίαν ἔπαισε* sc. *πληγήν.* Ellipsis notissima. Cf. ad Œd. Col. 543.

1310. *αἰαῖ* correxit Erfurdtius. *φεῦ φεῦ* vulgo. Versus dochmiacus est hac mensura ◡◡◡ ◡◡◡ ◡. De *ἐγὼ* hic et *ἴτω* v. 1332. correptis cf. Dindorfium ad Œd. T. 661.

1312. 1313. Sensus est: affirmabaris a mortua hacce utriusque necis (Megarei et Hæmonis) culpam habere. HERMANN.

ΚΡ. ποίῳ δὲ κἀπελύσατ' ἐν φοναῖς τρόπῳ;
ΕΞ. παίσασ' ὑφ' ἧπαρ αὐτόχειρ αὑτήν, ὅπως
παιδὸς τόδ' ᾔσθετ' ὀξυκώκυτον πάθος.
ΚΡ. ὤμοι, μοι, τάδ' οὐκ ἐπ' ἄλλον βροτῶν στροφὴ γ'.
ἐμᾶς ἁρμόσει ποτ' ἐξ αἰτίας.
ἐγὼ γάρ σ' ἐγὼ ἔκανον, ὦ μέλεος,
ἐγώ, φάμ' ἔτυμον. ἰὼ πρόσπολοι,
ἄγετέ μ' ὅτι τάχος, ἄγετέ μ' ἐκποδών,
τὸν οὐκ ὄντα μᾶλλον ἢ μηδένα.
ΧΟ. κέρδη παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς·
βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.
ΚΡ. ἴτω ἴτω, ἀντιστροφὴ β'.
φανήτω μόρων ὁ κάλλιστ' ἐμῶν
ἐμοὶ τερμίαν ἄγων ἁμέραν
ὕπατος· ἴτω ἴτω,
ὅπως μηκέτ' ἆμαρ ἄλλ' εἰσίδω.
ΧΟ. μέλλοντα ταῦτα. τῶν προκειμένων τι χρὴ
πράσσειν. μέλει γὰρ τῶνδ' ὅτοισι χρὴ μέλειν.
ΚΡ. ἀλλ' ὧν ἐρῶμεν, ταῦτα συγκατευξάμην.

1314. *κἀπελύσατ'* (sc. *τὸν βίον*) *ἐν φοναῖς. mortem sibi conscivit.*

1317. *Hoc a mea culpa, nunquam in alium conveniet.* i. e. nunquam mea hæc culpa in alium transferetur. HERMANN.

1319. *ἐγώ σ' ἔκανον* Hermannus, hiatus vitandi caussa.

1326. Utile Chorus dicit, quod in domum se abduci Creon jubet, ut malorum adspectum fugiat, quorum ipse auctor fuit. WUNDER.

1327. *βράχιστα—κακά. præsentia mala optimum est si quam brevissima sint,* i. e. optimum est, præsens malum quam primum missum facere. HERMANN.

1329. Ordo est: *φανήτω μόρων ἐμῶν ὕπατος, ὁ κάλλιστα ἄγων ἐμοὶ τερμίαν ἁμέραν.* BRUNCK.

1330. *ἁμέραν* Aug. Vulgo *ἡμέραν.*

1335. *τῶνδε*] *τῶν μελλόντων.*

1336. *ἐρῶμεν* Bothius. *ἐρῶ μὲν* vulgo. Mox *συγκατηυξάμην* libri, pro quo *συγκατευξάμην* cum Erfurdtio et aliis rescribendum. Augmentum in hujusmodi verbis addidisse Tragicos valde improbabile est: *ευ* autem antiquiorem, *ηυ* recentiorem fuisse scripturam conjectari potest. Rarissime in Sophocle auctæ formæ exempla reperiuntur. In Phil. 1019. *ηὐξάμην* habet La. altera tamen suprascripta. Reliqui *εὐξάμην.* Supra in hujus fabulæ v. 406. La. *εὑρέθη* (η suprascr.) habet. *ηὑρέθη* Ald. Junt. quæ alias augmentum omittunt. Hinc recte Schaeferi emendationem ad Greg. Cor. p. 533. *ηὑρέθη* admisit Hermannus. Vete-

ΧΟ. μὴ νῦν προσεύχου μηδέν· ὡς πεπρωμένης
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή.
ΚΡ. ἄγοιτ' ἂν μάταιον ἄνδρ' ἐκποδών, ἀντιστροφὴ γ'.
ὅς, ὦ παῖ, σέ τ' οὐχ ἑκὼν κάκτανον,
σέ τ' αὖ τάνδ'. ὤμοι μέλεος, οὐδ' ἔχω
ὅπα πρὸς πότερον ἴδω· πάντα γὰρ
λέχρια τἀν χεροῖν, τὰ δ' ἐπὶ κρατί μοι
πότμος δυσκόμιστος εἰσήλατο.
ΧΟ. πολλῷ τὸ φρονεῖν εὐδαιμονίας
πρῶτον ὑπάρχει· χρὴ δὲ τά γ' εἰς θεοὺς
μηδὲν ἀσεπτεῖν· μεγάλοι δὲ λόγοι
μεγάλας πληγὰς τῶν ὑπεραύχων
ἀποτίσαντες
γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν.

rum grammaticorum testimonia pleraque ηὐ scripturam damnant, cf. Lobeck. ad Phryn. p. 140.: contra tamen tuetur eam Elmsl. ad Heracl. 305. ad Med. 191. et Præf. ad Œd. T. p. x. consentiente Porsono ad Prom. V. 463. ubi tamen cf. Blomfieldii notam.

1340. *κάκτανον* Hermannus. *κατέκτανον* libri.

1341. Vulgo *ὅς σέ τ' αὐτάν*. *ὅς* ejecit Hermannus. *σέ τ' αὖ τάνδ'* correxit Seidlerus.

1344. *πᾶ καὶ θῶ* quæ vulgo post *ἴδω* legebantur olim delevit Hermannus.

1345. *τἀν* Brunckius. *τάδ' ἐν* vel *τά τ' ἐν* libri. Sensus est: *omnia quæ præsentia sunt, jam inclinata jacent: ad futura autem quod attinet* (*τὰ δ'*) *intolerabile fatum capiti meo imminet.*

1349. *χρὴ δὲ τά γ' εἰς θεούς*. Ita Tricliniani. *τά τ' εἰς θεοὺς* veteres. Dindorfius scribendum suspicatur *χρὴ δ' ἐς τὰ θεῶν*.

ΤΡΑΧΙΝΙΑΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΗΙΑΝΕΙΡΑ.

ΘΕΡΑΠΑΙΝΑ.

ΥΛΛΟΣ.

ΧΟΡΟΣ Παρθένων Τραχινίων.

ΑΓΓΕΛΟΣ.

ΛΙΧΑΣ.

ΤΡΟΦΟΣ.

ΠΡΕΣΒΥΣ.

ΗΡΑΚΛΗΣ.

ΥΠΟΘΕΣΙΣ.

ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ (II. 7, 5.).

Ἡρακλῆς παραγενόμενος εἰς Καλυδῶνα τὴν Οἰνέως θυγατέρα Δηϊάνειραν ἐμνηστεύσατο, καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς τὸν Ἀχελῷον ἀπεικασθέντα ταύρῳ, περιέκλασε τὸ ἕτερον τῶν κεράτων. καὶ τὴν μὲν Δηϊάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου· τοῦτο δέ, ὡς Φερεκύδης φησί, δύναμιν εἶχε τοιαύτην ὥστε ποτὸν ἢ βρωτόν, ὅπερ ἂν εὔξαιτό τις, παρέχειν ἄφθονον. στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτούς, καὶ πόλιν ἑλὼν Ἐφύραν, ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθών, πατὴρ Τληπολέμου γίνεται. γενομένων δὲ τούτων εὐωχούμενος παρὰ Οἰνεῖ, κονδύλῳ παίσας ἀπέκτεινεν Εὔνομον τὸν Ἀρχιτέλους παῖδα, κατὰ χειρῶν διδόντα· συγγενὴς δὲ οὗτος Οἰνέως. καὶ ὁ μὲν πατὴρ τοῦ παιδὸς ἀκουσίου γενομένου τοῦ συμβεβηκότος συνεγνωμόνει· Ἡρακλῆς δὲ κατὰ τὸν νόμον φυγὴν ὑπομένειν ἤθελε, καὶ δὴ ἔγνω πρὸς Κήϋκα εἰς Τραχῖνα ἀπιέναι. ἄγων δὲ Δηϊάνειραν εἰς ποταμὸν Εὔηνον ἦλθεν, ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος τοὺς παριόντας διεπόρθμευε μισθοῦ, λέγων παρὰ θεῶν ταύτην τὴν πορείαν εἰληφέναι διὰ τὸ δίκαιος εἶναι. αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν ποταμὸν διέβη. Δηϊάνειραν δὲ μισθὸν αἰτηθεὶς ἐπέτρεψε Νέσσῳ διακομίζειν. ὁ δὲ πορθμεύων αὐτὴν ἐπεχείρει βιάζεσθαι. τῆς δὲ ἀνακραγούσης αἰσθόμενος ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν· ὁ δὲ μέλλων τελευτᾶν, προσκαλεσάμενος Δηϊάνειραν, εἶπε τηρεῖν λαβοῦσαν ἐν κόχλῳ, εἰ θέλοι πρὸς Ἡρακλέα φιλίαν ἔχειν, τόν τε ἰὸν ἀφῆκε κατὰ τῆς κόχλου καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξας δέδωκεν·* ἡ δὲ λαβοῦσα ἐφύλαττε παρ' ἑαυτῇ. διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, καὶ τροφῆς ἀπορῶν, ὑπαντήσαντος αὐτῷ Θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων λύσας καὶ σφάξας εὐωχεῖτο. ὡς δὲ ἧκεν εἰς Τραχῖνα πρὸς Κήϋκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ Δρύοπας κατεπολέμησεν. αὖθις ἐκεῖθεν Αἰγιμίῳ βασιλεῖ συνεμάχησε Δωριέων· Λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν, Κορώνου στρατηγοῦντος. ὁ δὲ πολιορκούμενος ἐπεκαλέσατο Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. βοηθήσας δὲ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ καὶ ἄλλων, καὶ τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν· ἀπέκτεινε δὲ καὶ Λαγόραν μετὰ τῶν παίδων, βασιλέα Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει, Λαπιθῶν σύμμαχον.

* ἔδωκεν Brunckius.

παριόντα δὲ Ἴτωνα εἰς μονομαχίαν προὐκαλεῖτο αὐτὸν Κύκνος ὁ Ἄρεος καὶ Πελοπίας· συστὰς δὲ καὶ τοῦτον ἀπέκτεινεν. ὡς δὲ εἰς Ὀρμένιον ἧκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς οὐκ εἴασε μεθ' ὅπλων παριέναι, κωλυόμενος δὲ παρελθεῖν καὶ τοῦτον ἀπέκτεινεν. ἀφικόμενος δὲ εἰς Τραχῖνα στρατιὰν ἐπ' Οἰχαλίαν συνήθροισεν, Εὔρυτον τιμωρήσασθαι θέλων. συμμαχούντων δ' Ἀρκάδων αὐτῷ καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος καὶ Λοκρῶν τῶν Ἐπικνημιδίων, κτείνας μετὰ τῶν παίδων Εὔρυτον, αἱρεῖ τὴν πόλιν, καὶ θάψας τῶν σὺν αὐτῷ στρατευσαμένων τοὺς ἀποθανόντας, Ἵππασον τὸν Κήϋκος, καὶ Ἀργεῖον καὶ Μέλανα, τοὺς Λικυμνίου παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην αἰχμάλωτον. καὶ προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας ἀκρωτηρίῳ Διὸς Κηναίου ἱερὸν ἱδρύσατο. μέλλων δὲ ἱερουργεῖν κήρυκα ἔπεμψε λαμπρὰν ἐσθῆτα οἴσοντα. παρὰ τούτου δὲ τὰ περὶ τὴν Ἰόλην Δηϊάνειρα πυθομένη, καὶ δείσασα μὴ πάλιν ἐκείνην ἀγαπήσῃ, νομίσασα τῇ ἀληθείᾳ φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος ὁ ἰὸς τῆς ὕδρας ἠσθίετο, τὸν μὲν Λίχαν κατέβαλεν, εἰς Τραχῖνα δὲ ἐπὶ νεὼς κομίζεται. Δηϊάνειρα δὲ ἀχθεσθεῖσα ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς αὐτῷ ἐκ Δηϊανείρας ἦν παῖς πρεσβύτερος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι, παραγενόμενος εἰς Οἴτην, ὅ ἐστιν ὄρος Τραχῖνος, πυρὰν ποιήσας, ἐκέλευσεν ἐπιβὰς ὑφάπτειν. τοῦ δὲ μὴ θέλοντος Ποίας παριὼν ἐπὶ ζήτησιν ποιμνίων ὑφάψας ἔλαβε τὰ τόξα παρ' αὐτοῦ δωρεάν. καιομένης δὲ τῆς φλογὸς λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι· ἔνθα τυχὼν ἀθανασίας γήμας Ἥβην τὴν Ἥρας θυγατέρα ποιεῖ παῖδας Ἀλεξιάρην καὶ Ἀνίκητον.

ΑΘΛΟΙ ΗΡΑΚΛΕΟΥΣ.*

Πρῶτα μὲν ἐν Νεμέᾳ βριαρὸν κατέπεφνε λέοντα.
δεύτερον ἐν Λέρνῃ πολυαύχενον ὤλεσεν ὕδραν.
τὸ τρίτον αὖτ' ἐπὶ τοῖς Ἐρυμάνθιον ἔκτανε κάπρον.
χρυσόκερων ἔλαφον μετὰ ταῦτ' ἤγρευσε, τέταρτον.
πέμπτον δ', ὄρνιθας Στυμφηλίδας ἐξεδίωξεν.
ἕκτον, Ἀμαζονίδος κόμισε ζωστῆρα φαεινόν.
ἕβδομον, Αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.
ὄγδοον, ἐκ Κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον.
ἐκ Θρῄκης, ἔνατον, Διομήδεος ἤγαγεν ἵππους.
Γηρυόνου, δέκατον, βόας ἤλασεν ἐξ Ἐρυθείης.
ἑνδέκατον δ', ἀνάγει κύνα Κέρβερον ἐξ Ἀΐδαο.
δωδέκατον δ', ἤνεγκεν ἐς Ἑλλάδα χρύσεα μῆλα.
Θεστίεω θυγατρῶν τρισκαιδέκατος πέλεν ἆθλος.

* Hos versus primum vulgavit Brunckius.

ΤΡΑΧΙΝΙΑΙ.

ΔΗΙΑΝΕΙΡΑ.

Λόγος μέν ἐστ' ἀρχαῖος ἀνθρώπων φανείς,
ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοις βροτῶν, πρὶν ἂν
θάνῃ τις, οὔτ' εἰ χρηστὸς οὔτ' εἴ τῳ κακός·
ἐγὼ δὲ τὸν ἐμόν, καὶ πρὶν εἰς Ἅιδου μολεῖν,
ἔξοιδ' ἔχουσα δυστυχῆ τε καὶ βαρύν,
ἥτις πατρὸς μὲν ἐν δόμοισιν Οἰνέως
ναίουσ' ἐνὶ Πλευρῶνι νυμφείων ὄκνον
ἄλγιστον ἔσχον, εἴ τις Αἰτωλὶς γυνή.
μνηστὴρ γὰρ ἦν μοι ποταμός, Ἀχελῷον λέγω,
ὅς μ' ἐν τρισὶν μορφαῖσιν ἐξῄτει πατρός,
φοιτῶν ἐναργὴς ταῦρος, ἄλλοτ' αἰόλος
δράκων ἑλικτός, ἄλλοτ' ἀνδρείῳ κύτει

1. φανεὶς cum ἀρχαῖος jungendum: *qui dudum innotuit.*

2. ἐκμάθοις La. T. Suidas. Stobæus Floril. 105. 38. ἐκμάθοι alii, sc. ut τις intelligatur. Simile erratum in Aj. 155. indicavit Dindorfius.

3. θάνῃ La. Lb. V. Stobæus l. c. et duo codd. Suidæ. θάνοι defendi posse monuit Hermannus in præfatione, cujus verba sunt: 'Ubi in recta oratione πρὶν ἂν et similes particulæ conjunctivum requirunt, in oratione obliqua manet ἄν, sed conjunctivo substituitur optativus, ut proprius orationis obliquæ modus.' Nec tamen sequitur poetam non ad rectam orationem h. l. redire maluisse.

7. ναίουσ' ἐν La. Lb. ναίουσά γ' ἐν V. ναίουσα δ' ἐν B. ναίουσ' ἔτ' ἐν Erfurdtius. ναίουσ' ἐνὶ dubium videtur. Cf. ad Ant. 1241.

νυμφείων ὄκνον] ὄτλον v. l. apud Schol. recepit Hermannus.

11. ἐναργὴς ταῦρος dicit propter sequentia: *nunc aperte taurus*, i. e. integra tauri specie, nunc *capite taurino homo*. Hermann.

12. ἀνδρείῳ κύτει βούπρῳρος. Ita legitur apud Strabonem l. x. p. 703. Vulgo ἀνδρείῳ τύπῳ βούκρανος.

βούπρῳρος· ἐκ δὲ δασκίου γενειάδος
κρουνοὶ διερραίνοντο κρηναίου ποτοῦ.
τοιόνδ' ἐγὼ μνηστῆρα προσδεδεγμένη
δύστηνος ἀεὶ κατθανεῖν ἐπευχόμην,
πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε.
χρόνῳ δ' ἐν ὑστέρῳ μέν, ἀσμένῃ δέ μοι,
ὁ κλεινὸς ἦλθε Ζηνὸς Ἀλκμήνης τε παῖς·
ὃς εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης
ἐκλύεταί με. καὶ τρόπον μὲν ἂν πόνων
οὐκ ἂν διείποιμ'· οὐ γὰρ οἶδ'· ἀλλ' ὅστις ἦν
θακῶν ἀταρβὴς τῆς θέας, ὅδ' ἂν λέγοι.
ἐγὼ γὰρ ἥμην ἐκπεπληγμένη φόβῳ
μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ.
τέλος δ' ἔθηκε Ζεὺς ἀγώνιος καλῶς,
εἰ δὴ καλῶς. λέχος γὰρ Ἡρακλεῖ κριτὸν
ξυστᾶσ' ἀεί τιν' ἐκ φόβου φόβον τρέφω,
κείνου προκηραίνουσα. νὺξ γὰρ εἰσάγει
καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.
κἀφύσαμεν δὴ παῖδας, οὓς κεῖνός ποτε,
γήτης ὅπως ἄρουραν ἔκτοπον λαβὼν

βούπρῳρος cum iota subscripto scribendum esse docuit Dindorfius ad Phil. 482. Cf. v. 223.

15. *προσδεδεγμένη*. *cum accepissem.* Male *expectans* vertunt alii: quod *προσδεχομένη* foret.

17. *κοίτης ἐμπελασθῆναι*. Sic *προσπελασθεῖσα* genitivum adsciscit Œd. T. 1101. *πελασθεὶς* Phil. 1327. *πελάσαι* Aj. 709. Locus Phil. 1407. interpolatus videtur.

21. *ἐκλύεται*. Media vox active sumitur. Cf. Ant. 1112. Œd. T. 1003. Aj. 531.

28. *ἀταρβὴς τῆς θέας* non est qui non reformidat spectare, sed quem spectatio non implet formidine. Hermann.

27. *λέχος κριτόν*. *uxor quam sibi delegit Hercules.* Nominativus est. Diversum est *ἐπεὶ τὸ σὸν λέχος ξυνῆλθον* Aj. 491.

29. *προκηραίνουσα* gl. *φροντίζουσα*.

29. 30. Locus intellectu difficilis. Alii cum Schol. ad *εἰσάγει* et *ἀπωθεῖ* subaudiunt *τὸν Ἡρακλέα*, ut sensus sit, *Eadem qua advenit nocte rursus abit, novum suscepturus laborem.* Verterim potius: *Nox ubi advenit, mihi sollicitudinem adducit, eademque vicissim ubi abit, curam levat*, i. e. per noctes semper sollicitudine angor, ne viro meo mali aliquid acciderit, quæ sollicitudo nonnisi redeunte luce dispellitur. Cf. v. 149.

31. *κεῖνός ποτε*. sc. *ἅπαξ μόνον προσεῖδε*, e. v. 33. repetenda.

32. *γήτης* recte ex La. Dindorfius. *γήτης* vulgo.

σπείρων μόνον προσεῖδε κἀξαμῶν ἅπαξ.
τοιοῦτος αἰὼν εἰς δόμους τε κἀκ δόμων
ἀεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τῳ.
νῦν δ' ἡνίκ' ἄθλων τῶνδ' ὑπερτελὴς ἔφυ,
ἐνταῦθα δὴ μάλιστα ταρβήσασ' ἔχω.
ἐξ οὗ γὰρ ἔκτα κεῖνος Ἰφίτου βίαν,
ἡμεῖς μὲν ἐν Τραχῖνι τῇδ' ἀνάστατοι
ξένῳ παρ' ἀνδρὶ ναίομεν· κεῖνος δ' ὅπου
βέβηκεν οὐδεὶς οἶδε. πλὴν ἐμοὶ πικρὰς
ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται·
σχεδὸν δ' ἐπίσταμαί τι πῆμ' ἔχοντά νιν.
χρόνον γὰρ οὐχὶ βαιόν, ἀλλ' ἤδη δέκα
μῆνας πρὸς ἄλλοις πέντ' ἀκήρυκτος μένει.
κἄστιν τι δεινὸν πῆμα· τοιαύτην ἐμοὶ
δέλτον λιπὼν ἔστειχε, τὴν ἐγὼ θαμὰ
θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν.

ΘΕΡΑΠΑΙΝΑ.

δέσποινα Δῃάνειρα, πολλὰ μέν σ' ἐγὼ
κατεῖδον ἤδη πανδάκρυτ' ὀδύρματα
τὴν Ἡράκλειον ἔξοδον γοωμένην·
νῦν δ', εἰ δίκαιον τοὺς ἐλευθέρους φρενοῦν
γνώμαισι δούλαις, κἀμὲ χρὴ φράσαι τόσον·
πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
ἀνδρὸς κατὰ ζήτησιν οὐ πέμπεις τινά,
μάλιστα δ' ὅνπερ εἰκὸς Ὕλλον, εἰ πατρὸς

35. *ἀεὶ*] *αἰεὶ* Turn.

40. *ὅπου βέβηκεν*. *ubi sit.* Hermann.

42. *ὠδῖνας αὐτοῦ*] *ἀντὶ τοῦ, ὑπὲρ αὐτοῦ* Schol. Ita explica, sed noli tamen de ellipsi cogitare. Cf. Ant. 931. *τούτων τοῖσιν ἄγουσι κλαύμαθ' ὑπάρξει.*

46. *τοιαύτην*. sc. unde mihi mali quid illi accidisse conjicere liceat. Simili fere modo in v. 143. *τοιοῖσδε* ad antecedentia verba *νῦν δ' ἄπειρος εἶ* videtur referri.

48. *ἀρῶμαι λαβεῖν*. *precor me accepisse.*

50. De duplici accusativo cf. Porson. ad Eurip. Phœn. v. 300.

53. *τὸ σὸν* La. gl. B. V. Schol. Pors. ad Med. v. 461. Sed longe aptius videtur *τόσον*.

νέμοι τιν' ὥραν τοῦ καλῶς πράσσειν δοκεῖν;
ἐγγὺς δ' ὅδ' αὐτὸς ἀρτίπους θρώσκει δόμους·
ὥστ' εἴ τί σοι πρὸς καιρὸν ἐννέπειν δοκῶ,
πάρεστι χρῆσθαι τἀνδρὶ τοῖς τ' ἐμοῖς λόγοις.
ΔΗ. ὦ τέκνον, ὦ παῖ, κἀξ ἀγεννήτων ἄρα
μῦθοι καλῶς πίπτουσιν. ἥδε γὰρ γυνὴ
δούλη μέν, εἴρηκεν δ' ἐλεύθερον λόγον.

ΥΛΛΟΣ.

ποῖον; δίδαξον, μῆτερ, εἰ διδακτά μοι.
ΔΗ. σὲ πατρὸς οὕτω δαρὸν ἐξενωμένου
τὸ μὴ πυθέσθαι ποῦ 'στιν αἰσχύνην φέρει.
ΥΛ. ἀλλ' οἶδα, μύθοις εἴ τι πιστεύειν χρεών.
ΔΗ. καὶ ποῦ κλύεις νιν, τέκνον, ἱδρῦσθαι χθονός;
ΥΛ. τὸν μὲν παρελθόντ' ἄροτον ἐν μήκει χρόνου
Λυδῇ γυναικί φασί νιν λάτριν πονεῖν.
ΔΗ. πᾶν τοίνυν, εἰ καὶ τοῦτ' ἔτλη, κλύοι τις ἄν.
ΥΛ. ἀλλ' ἐξαφεῖται τοῦδέ γ', ὡς ἐγὼ κλύω.
ΔΗ. ποῦ δῆτα νῦν ζῶν ἢ θανὼν ἀγγέλλεται;
ΥΛ. Εὐβοΐδα χώραν φασίν, Εὐρύτου πόλιν,
ἐπιστρατεύειν αὐτόν, ἢ μέλλειν ἔτι.
ΔΗ. ἆρ' οἶσθα δῆτ', ὦ τέκνον, ὡς ἔλειπέ μοι
μαντεῖα πιστὰ τῆσδε τῆς χώρας πέρι;
ΥΛ. τὰ ποῖα, μῆτερ; τὸν λόγον γὰρ ἀγνοῶ.

57. Mixta constructio: sc. εἰ νέμοι τιν' ὥραν τοῦ πατρὸς ὥστε καλῶς πράσσειν δοκεῖν, et τοῦ τὸν πατέρα καλῶς πράσσειν δοκεῖν. Exemplum ex Alexidis verbis apud Athen. 10. p. 431. e. comparavit Dindorfius, sc. τῶν δ' ὠνουμένων προνοούμενοι τοῦ τὰς κεφαλὰς ὑγιεῖς ἔχειν. Cf. ad Œd. Col. 385.

58. ἀρτίπους. Schol. ἀρτίως καὶ ἡρμοσμένως τῷ καιρῷ πορεύεται. Quomodo ἀρτίπους hoc significare possit non intelligo. Sensus esse videtur, Hyllum celeri quidem sed firmo et æquali gradu ad ædes accedere. Suidas: ἀρτίπους. ὑγιεῖς τοὺς πόδας ἔχων.

59. εἴ τί σοι Hermannus. εἴ τι σοὶ vulgo.

65. Constructio est: σὲ τὸ μὴ πυθέσθαι ποὔστιν ὁ πατήρ, αἰσχύνην φέρει, i. e. σοί. *Turpe est te non exquirere patrem, ubi est.* GAISFORD. Σὲ autem præmittitur ut increpationi vis accedat. Cf. Ant. 710.

67. μύθοις] γ' additum in Harl. Ald.

73. θανὼν] γ' additum in B. V.

ΔΗ. ὡς ἢ τελευτὴν τοῦ βίου μέλλει τελεῖν,
ἢ τοῦτον ἄρας ἆθλον † εἰς τὸν ὕστερον
τὸ λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν.
ἐν οὖν ῥοπῇ τοιᾷδε κειμένῳ, τέκνον,
οὐκ εἶ ξυνέρξων, ἡνίκ' ἢ σεσώσμεθα
[ἢ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος;]
κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα;
ΥΛ. ἀλλ' εἶμι, μῆτερ· εἰ δὲ θεσφάτων ἐγὼ
βάξιν κατῄδη τῶνδε, κἂν πάλαι παρῆν.
[νῦν δ' ὁ ξυνήθης πότμος οὐκ (?) ἐᾷ πατρὸς
ἡμᾶς προταρβεῖν, οὐδὲ δειμαίνειν ἄγαν.]
νῦν δ' ὡς ξυνίημ', οὐδὲν ἐλλείψω τὸ μὴ οὐ
πᾶσαν πυθέσθαι τῶνδ' ἀλήθειαν πέρι.
ΔΗ. χώρει νυν, ὦ παῖ, καὶ γὰρ ὑστέρῳ τό γ' εὖ
πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ.

ΧΟΡΟΣ.

ὃν αἰόλα νὺξ ἐναριζομένα — στροφὴ α'.
τίκτει κατευνάζει τε, φλογιζόμενον
Ἅλιον Ἅλιον αἰτῶ,
τοῦτο καρῦξαι, τὸν Ἀλκμή-
νας, πόθι μοι πόθι παῖς

80. εἰς τὸν ὕστερον. Vix dubium quin his verbis, ubi χρόνον supplendum dicunt, lacuna substituenda sit, et hoc vidit Dindorfius. Ferri enim vix possunt sequentibus statim τὸ λοιπὸν ἤδη. Cf. ad Œd. Col. 1584. El. 1075.

81. τὸ λοιπὸν V. τὸν λοιπὸν La. et reliqui: sed illud paullo melius videtur. Cf. v. 168.

84. Delevit Bentleius: et vel hunc, vel sequentem versum delendum esse dubitari non potest. Sic infra vv. 88. 89. Hos versus e prima hujus fabulæ recensione depromtos esse non sine magna probabilitate statuit Hermannus.

87. κατήδειν lib. Correxit Brunck.

88. εἴα cum Vauvillersio scribendum videtur: nam hæc verba tempus præteritum respiciunt.

93. *Prospera fortuna enim* [etiam] *ei, qui sero de ea resciscit, quando tamen resciscit, lucrum adfert.* ERFURDT. De optativo vid. ad Œd. T. 917.

94. αἰόλα. *astris distincta.* ἐναριζομένα, *die redeunte fugata.*

97. καρύξαι libri. Accentum correxit Hermannus.

98. τὸν Ἀλκμήνας, sc. παῖδα, quod non per ellipsin omittitur, sed mox recto casu infertur sc. πόθι μοι πόθι παῖς ναίει.

ναίει ποτ', ὦ λαμπρᾷ στεροπᾷ φλεγέθων,
ἢ ποντίους αὐλῶνας, ἢ
δισσαῖσιν ἀπείροις κλιθείς,
εἴπ', ὦ κρατιστεύων κατ' ὄμμα.
ποθουμένᾳ γὰρ φρενὶ πυνθάνομαι ἀντιστροφὴ α'.
τὰν ἀμφινεικῆ Δηϊάνειραν ἀεί,
οἷά τιν' ἄθλιον ὄρνιν,
οὔ ποτ' εὐνάζειν ἀδακρύ-
των βλεφάρων πόθον, ἀλλ'
εὔμναστον ἀνδρὸς δεῖμα φέρουσαν ὁδοῦ
ἐνθυμίοις εὐναῖς ἀναν-
δρώτοισι τρύχεσθαι, κακὰν
δύστανον ἐλπίζουσαν αἶσαν.
πολλὰ γὰρ ὥστ' ἀκάμαντος στροφὴ β'.

99. *ναίει.* Vid. ad Œd. Col. v. 117.

100. *ποντίας* (ου written above) La. De particulis *ἢ—ἢ* vid. ad Œd. Col. 80.

101. *δισσαῖσιν ἀπείροις.* Veteres totum orbem terrarum plerumque in Asiæ et Europæ continentes dividere solitos esse ostendit Schaef. Melet. Crit. l. p. 37. et, quæ facilius tirones conferre possunt, ad L. Bos. Ellips. s. v. *χέρσος.*

κλιθείς. Musgravius comparavit Hom. Il. E. 709. *λίμνῃ κεκλιμένος Κηφισίδι.* O. 740. *πόντῳ κεκλιμένος.* Eurip. Troad. 798. *τὰς ἐπικεκλιμένας ὄχθοις ἱεροῖς.* Recte autem vertit Wunderus *in alterutra continente.* *δισσαῖσιν* enim h. l. *alterum ex duobus* significat. Nec aliter *ἀμφότερα* Æsch. Eumen. v. 448. si recte ibi *ἀμφότερά μ' ἑλεῖν* emendare conatus sum.

103. *ποθουμένᾳ.* Mediæ vocis h. l. pro activa usum notavit Eustathius Il. K. p. 806. 56. Vid. ad Œd. T. 148.

106. *εὐνάζειν ἀδακρύτων,* i. e. *ὥστε ἀδάκρυτα εἶναι.*

108. *φέρουσαν*] *τρέφουσαν* Casaubonus, de quo Gaisfordius: 'Perelegans haud dubie nec a verisimilitudine abhorrens emendatio: non adeo tamen certa ut repugnantibus MSS. admitti debeat.' Quod eximii viri dictum permulta in loca a criticis emendata cadere arbitror.

109. *εὐναῖς.* Dativus est loci, Wundero frustra repugnante. Similis sententia apud Ovid. Heroid. i. l. 7. *Non ego deserto jacuissem frigida lecto, Nec quererer tardos ire relicta dies.*

111. *ἐλπίζουσαν metuendi* notione, ut sæpe, positum. Cf. infr. v. 951. Aj. 799.

112. *πολλὰ γὰρ κ. τ. λ.* Hujus loci constructionem quum minus perspexerint interpretes, in eo præcipue a vero videntur aberrasse quod *τὸ βιότου πολύπονον* conjunxerunt: hoc autem interpositis verbis *δ' αὔξει* fieri nullo modo potest. Deinde non viderunt nominativum verbi *τρέφει* esse *πολλὰ κύματα,* quæ voces, licet in constructione præcedentibus accommodatæ, ad sequentia facillime repetuntur: sic enim procedit sententia: *πολλὰ γὰρ κύματα, ὥστ' ἀκαμ. Νότ. ἢ Βορ. βάντ' ἐπιόντα τ'*

ἢ Νότου ἢ Βορέα τις
κύματ' ἂν εὐρέϊ πόντῳ
βάντ' ἐπιόντα τ' ἴδοι,
οὕτω δὲ τὸν Καδμογενῆ
τρέφει, τὸ δ' αὔξει βιότου
πολύπονον ὥσπερ πέλαγος
Κρήσιον. ἀλλά τις θεῶν
αἰὲν ἀναμπλάκητον Ἅι-
δα σφε δόμων ἐρύκει.
ὧν ἐπιμεμφομένα σ', ἁ- ἀντιστροφὴ β'.
δεῖα μέν, ἀντία δ' οἴσω.
φαμὶ γὰρ οὐκ ἀποτρύειν

ἴδοι ἂν ἐν εὐρέϊ πόντῳ, οὕτω δὲ (hæc particula apodosi inservit) *τρέφει τὸν Καδμογενῆ, τὸ δέ, πολύπονον ὥσπερ Κρήσιον πέλαγος βιότου, αὔξει.* Ubi duo notanda: *αὔξει* media notione pro *augeri* accipiendum; articulum autem *τὸ* sequentibus ita præmitti sicut iis in locis de quibus diximus ad Œd. Col. 1221.

ἀκάμαντος ἢ Νότου, ἢ Βορέα sc. *πνέοντος,* ellipsi Homero frequentata. Iliad. B. 397. *τὸν δ' οὔποτε κύματα λείπει, παντοίων ἀνέμων, ὅτ' ἂν ἔνθ' ἢ ἔνθα γένωνται.* E. 522. *ἀλλ' ἔμενον, νεφέλῃσιν ἐοικότες, ἅς τε Κρονίων νηνεμίης ἔστησεν ἐπ' ἀκροπόλοισιν ὄρεσσιν.*

114. *κύματ' ἂν* Porsonus. Vulgo *κύματ'.*

115. *ἴδῃ* Erfurdtius, quod plerisque placuit. Verum *ἴδοι* eodem modo positum quo infra v. 700. *ὥστε πρίονος ἐκβρώματ' ἂν βλέψειας ἐν τομῇ ξύλου.* *ἴδῃ* si legas, *κύματ' ἐν* cum eodem scribendum erit. Non infrequens certe hic subjunctivi usus, præsertim apud Epicos. Cf. Matth. Gr. Gr. 521. Obs. 3. Fefellisse videtur hæc constructio Porsonum ad Hec. v. 1010. qui ibi *ἦν* vel *ὅταν* subaudiri putat.

118. *βιότου πολύπονον ὥσπερ πέλαγος Κρήσιον.* Hæc sine distinctione prolata sunt: *vitæ laboriosus quidam Creticus pontus.* De Cretico mari procellis agitari solito conferunt Horat. Od. I. xxvi. 2.

120. *ἀναμπλάκητον* Camerarius. Libri *ἀμπλάκητον.* Sensus est: *ab Orco arcet, ne felici successu careat.* De vocis scriptura consulendi sunt Pors. et Elmsl. ad Med. 115. quibus adversatur Hermannus Opusc. vol. iii. p. 146. Forma *ἀναπλάκητος* certe aliquot librorum auctoritate commendatur in Œd. T. 472. Ibi tamen *ἀναμπλάκητοι* habent Γ. Δ. Θ. Ald.

122. *ὧν* refertur ad querelas Deianiræ, de quibus in antistropha prima dixerat Chorus. *ἁδεῖα* femininum singulare, *ἀντία* neutrum plurale esse, vix monèndi erunt vel tirones. Frustra locum tentavit Wunderus. Recte fere explicuit Hermannus: Propter illam ærumnosam sed Deorum præsidio tutam Herculis sortem ego, improbans querelas tuas, læta quidem et lubens, sed tamen contradicam. *ἁδεῖα* autem non *læta,* sed *tibi grata, accepta,* vertendum erat. Cf. Œd. T. 82. Phil. 166. Gratum enim se dominæ facturum sciebat Chorus, si illius sententiæ adversa dixisset.

ἐλπίδα τὰν ἀγαθὰν
χρῆναί σ᾽. ἀνάλγητα γὰρ οὐδ᾽
ὁ πάντα κραίνων βασιλεὺς
ἐπέβαλε θνατοῖς Κρονίδας.
ἀλλ᾽ ἐπὶ πῆμα καὶ χαρὰ
πᾶσι κυκλοῦσιν, οἷον ἄρ-
κτου στροφάδες κέλευθοι.
μένει γὰρ οὔτ᾽ αἰόλα ἐπῳδός.
νὺξ βροτοῖσιν οὔτε Κῆρες,
οὔτε πλοῦτος, ἀλλ᾽ ἄφαρ
βέβακε, τῷ δ᾽ ἐπέρχεται
χαίρειν τε καὶ στέρεσθαι.
ἃ καὶ σὲ τὰν ἄνασσαν ἐλπίσιν λέγω
τάδ᾽ αἰὲν ἴσχειν· ἐπεὶ τίς ὧδε
τέκνοισι Ζῆν᾽ ἄβουλον εἶδεν;

ΔΗ. πεπυσμένη μέν, ὡς ἐπεικάσαι, πάρει
πάθημα τοὐμόν· ὡς δ᾽ ἐγὼ θυμοφθορῶ
μήτ᾽ ἐκμάθοις παθοῦσα, νῦν δ᾽ ἄπειρος εἶ.

126. *γὰρ οὐδ᾽.* Expectasses *οὐδὲ γὰρ ἀνάλγητα κ. τ. λ. οὐδ᾽* non potest non ad sequentia referri: sed eodem redit sententia si cum Ellendtio interpreteris *οὐδ᾽ ἐπέβαλε ne imposuit quidem omnino.* Idem recte explicat El. 630. *οὔκουν ἐάσεις οὐδ᾽ ὑπ᾽ εὐφήμου βοῆς θῦσαί μ᾽;* ubi proprie dicendum fuit, *οὐδὲ θῦσαί με ἐάσεις;*

129. *ἐπὶ πᾶσι κυκλοῦσιν. omnibus perpetuo quasi gyro circumvolvuntur. ἐπικυκλοῦσιν* per tmesin dictum.

130. *οἷον ἄρκτου.* Nemini non in mentem veniet Homeri illud Il. Σ. 487. *Ἄρκτον θ᾽, ἣν καὶ ἄμαξαν κ. τ. λ.* quod expressit Virgil. Georg. i. 246. *Arctos, Oceani metuentes æquore tingi.*

136. *βέβακε, τῷ δ᾽ ἐπέρχεται,* h. e. *τῷ μὲν βέβακε, τῷ δ᾽ ἐπέρχεται.*

137. *χαίρειν τε καὶ στέρεσθαι. gaudere et mox privari,* h. e. gaudium quod cito quis cum dolore commutaturus est.

138. *ἃ* si per *quæ* explices, ut pronomen deinde repetatur, comparari poterit Phil. v. 315. *οἷς Ὀλύμπιοι Θεοὶ δοῖέν ποτ᾽ αὐτοῖς ἀντίποιν᾽ ἐμοῦ παθεῖν.* Miror Hermannum quidem simpliciorem interpretandi rationem sc. *quapropter,* h. l. prætulisse, de quo usu cf. Pors. ad Hec. 9.

139. *ὧδ᾽ ἄβουλον.* sc. ut Herculi suo reditum neget.

141. *ἐπεικάσαι* Hermannus. Forte *ὡς σάφ᾽ εἰκάσαι.* Cf. Œd. Col. v. 16. Quod vulgo legitur *ἀπεικάσαι* alienum est.

143. *νῦν τ᾽* Harl. et Schaeferus. Sed quid inter *τε* et *δὲ* in tali structura intersit nemo non videt. Bene

τὸ γὰρ νεάζον ἐν τοιοῖσδε βόσκεται
† χώροισιν αὑτοῦ, καί νιν οὐ θάλπος θεοῦ,
οὐδ᾽ ὄμβρος, οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ,
ἀλλ᾽ ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον
ἐς τοῦθ᾽, ἕως τις ἀντὶ παρθένου γυνὴ
κληθῇ, λάβῃ τ᾽ ἐν νυκτὶ φροντίδων μέρος,
ἤτοι πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη.
τότ᾽ ἄν τις εἰσίδοιτο, τὴν αὑτοῦ σκοπῶν
πρᾶξιν, κακοῖσιν οἷς ἐγὼ βαρύνομαι.
πάθη μὲν οὖν δὴ πόλλ᾽ ἔγωγ᾽ ἐκλαυσάμην,
ἓν δ᾽, οἷον οὔπω πρόσθεν, αὐτίκ᾽ ἐξερῶ.
ὁδὸν γὰρ ἦμος τὴν τελευταίαν ἄναξ
ὡρμᾶτ᾽ ἀπ᾽ οἴκων Ἡρακλῆς, τότ᾽ ἐν δόμοις
λείπει παλαιὰν δέλτον ἐγγεγραμμένην
ξυνθήμαθ᾽, ἁμοὶ πρόσθεν οὐκ ἔτλη ποτέ,
πολλοὺς ἀγῶνας ἐξιών, οὕτω φράσαι,
ἀλλ᾽ ὥς τι δράσων εἷρπε κοὐ θανούμενος.
νῦν δ᾽ ὡς ἔτ᾽ οὐκ ὢν εἶπε μὲν λέχους ὅ τι

sed paucioribus verbis rationem reddidit Hermannus: 'Hanc ut potiorem sententiam, jam non ut partem cum priore conjungit, sed opponit ei, quod vel vocabulum *νῦν* arguit.' Cf. infra vv. 333. 334.

145. *χώροισιν αὑτοῦ.* Locus sine dubio corruptus. Verte tamen Angl. *in such places of its own*: ita *τοιοῖσδε* ad præcedentia *νῦν δ᾽ ἄπειρος εἶ* refertur, sicut supra in v. 46. sc. *ubi miseriam nondum experta est. ἵν᾽ αὑτοῦ* Hermannus: h. e. *ubi sui juris est.* Gaisfordius *τοιοῖσδε* ad sequentia refert ita ut *καὶ* ubi expectasses *ὅπου*, dixisse putet poetam. Sed hæc omnia sunt durissima. Vix dubium quin *χώροις ἵν᾽* cum Musgr. scribendum et *αὑτοῦ καί νιν* pro corruptis habenda sint. *αὐαίνοντος* pro verbis *αὑτοῦ καί νιν* conjicit Wunderus.

147. *ἄμοχθον ἐξαίρει. vitam erigit jucunditatibus, ut vacua sit dolore.* Hermann.

149. *ἐν νυκτὶ φροντίδων. nocturnas curas* recte explicat Hermannus. Cf. supra vv. 29. 30.

151. *αὑτοῦ σκοπῶν.* Masculino utitur, quia universe enunciata sententia est. Vid. ad Viger. 50. Hermann.

152. *κακοῖσιν οἷς* per attractionem dictum pro *κακά, οἷς,* non pro *οἷς κακοῖσιν.* Hermann.

157. *ἐγγεγραμμένην ξυνθήμαθ᾽.* Elegans structura quam imitatur Virgilius, Ecl. iii. *Flores inscripti nomina regum.* Brunck. Cf. Matth. Gr. Gr. 424. 2.

159. *ἀγῶνας ἐξιών.* Thucyd. i. 15. *ἐκδήμους στρατείας πολὺ ἀπὸ τῆς ἑαυτῶν οὐκ ἐξῄεσαν οἱ Ἕλληνες.*

161. *ὅτι* vulgo. Sed melius convenit quod Musgravius conjecit *ὅ τι*: *quid me ut connubio partum*

χρείη μ' ἑλέσθαι κτῆσιν, εἶπε δ' ἣν τέκνοις
μοῖραν πατρῴας γῆς διαιρετὴν νέμοι,
χρόνον προτάξας ὡς τρίμηνον ἡνίκ' ἂν
χώρας ἀπείη κἀνιαύσιος βεβώς,
τότ' ἢ θανεῖν χρείη σφε τῷδε τῷ χρόνῳ,
ἢ τοῦθ' ὑπεκδραμόντα τοῦ χρόνου τέλος
τὸ λοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ.
τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα
[τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων,]
ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε
Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη.
καὶ τῶνδε ναμέρτεια συμβαίνει χρόνου
τοῦ νῦν παρόντος, ὡς τελεσθῆναι χρεών.
ὥσθ' ἡδέως εὕδουσαν ἐκπηδᾶν ἐμὲ
φόβῳ, φίλαι, ταρβοῦσαν, εἴ με χρὴ μένειν
πάντων ἀρίστου φωτὸς ἐστερημένην.

ΧΟ. εὐφημίαν νῦν ἴσχ'· ἐπεὶ καταστεφῆ
στείχονθ' ὁρῶ τιν' ἄνδρα πρὸς χαρὰν λόγων.

accipere oporteret. λέχους κτῆσιν Angl. *jointure.*

163. διαιρετὴν Harl. Ricc. διαίρετον vulgo.

164. τρίμηνος Erfurdtius, sed elegantior vulgata. Structura scilicet variatur. Ordo est: προτάξας ὡς ἡνίκ' ἂν ἀπείη χώρας τρίμηνον χρόνον καὶ ἐνιαύσιος βεβώς (h. e. καὶ ἐνιαυτόν), τότε χρείη κ. τ. λ.

ἡνίκ' ἂν] ἡνίκα Elmsleius. Vid. ad v. 3.

166—168. Oraculum in utramque partem interpretatur, et recte quidem, Deianira 76—81. Sed hic, ubi omnia pessima ominatur, inepta sunt ista 166—168. neque audivisse videtur Chorus 823—842. Deinde tres versus adeo frigidi, ut eo solo nomine suspectos haberem. Satis sunt τοιαῦτ', etc. ut 46. DOBRÆUS.

170. τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων. *talem Herculis laborum sortem exituram dicebat.* HERMANN. Hunc versum quem a Sophocle non profectum dudum suspicatus eram, Wunderum uncinis primum inclusisse video. Quis enim ἐκτελευτᾶσθαι πόνων dixisset? A librario adjectus videtur, qui versu præcedente non satis bene claudi sententiam putaverit.

172. πελειάδων. Vid. Hored. ii. 57.

173. ναμέρτεια συμβαίνει χρόνου κ. τ. λ. *hæc, si accurate computentur, cum præsenti tempore conveniunt.* συμβαίνειν genitivum regit. Cf. Matth. Gr. Gr. 379.

179. πρὸς χαρὰν λόγων. Conjunge καταστεφῆ πρὸς χαράν. *propter lætum nuncium.* GAISFORD. Malim construere: *coronatum advenientem ut qui lætum aliquid allaturus sit.* Cæterum comparari potest Œd. T. 82. seq.

ΑΓΓΕΛΟΣ.

δέσποινα Δῃάνειρα, πρῶτος ἀγγέλων
ὄκνου σε λύσω. τὸν γὰρ Ἀλκμήνης τόκον
καὶ ζῶντ' ἐπίστω καὶ κρατοῦντα κἀκ μάχης
ἄγοντ' ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.

ΔΗ. τίν' εἶπας, ὦ γεραιέ, τόνδε μοι λόγον;

ΑΓ. τάχ' ἐς δόμους σοὺς τὸν πολύζηλον πόσιν
ἥξειν, φανέντα σὺν κράτει νικηφόρῳ.

ΔΗ. καὶ τοῦ τόδ' ἀστῶν ἢ ξένων μαθὼν λέγεις;

ΑΓ. ἐν βουθερεῖ λειμῶνι πρὸς πολλοὺς θροεῖ
Λίχας ὁ κῆρυξ ταῦτα· τοῦ δ' ἐγὼ κλύων
ἀπῇξ', ὅπως τοι πρῶτος ἀγγείλας τάδε
πρὸς σοῦ τι κερδάναιμι καὶ κτῴμην χάριν.

ΔΗ. αὐτὸς δὲ πῶς ἄπεστιν, εἴπερ εὐτυχεῖ;

ΑΓ. οὐκ εὐμαρείᾳ χρώμενος πολλῇ, γύναι.
κύκλῳ γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς
κρίνει παραστάς, οὐδ' ἔχει βῆναι πρόσω.
τὸ γὰρ ποθοῦν, ἕκαστος ἐκμαθεῖν θέλων,
οὐκ ἂν μεθεῖτο, πρὶν καθ' ἡδονὴν κλύειν.
οὕτως ἐκεῖνος οὐχ ἑκών, ἑκοῦσι δὲ

187. καὶ τοῦτο δ' libri veteres. καί του τόδ' Canterus, unde correxit Brunckius.

188. πρὸς πολλοὺς Hermannus. πρόσπολος vulgo. Vv. 193. 352. 371. 423. comparat Dindorfius.

189. τοῦ δ' Hermannus. τοῦδ' vulgo.

190. ὅπως τοι. *ut scilicet.* ὅπως σοὶ Brunckius. Xenophont. Anab. iii. 1. 18. comparavit Seidlerus, ἀλλ' ὅπως τοι μὴ ἐπ' ἐκείνῳ γενησόμεθα, πάντα ποιητέον. Sic Electr. 1469. a Dindorfio citatus.

191. De sententia cf. Œd. T. 1005. 1006.

192. αὐτὸς sc. Lichas; qui mox εὐτυχεῖν dicitur. Minister enim cujus dominus bona fortuna utitur, et ipse εὐτυχεῖν recte dici potest. Cf. v. 230. Alii minus bene εὐτυχεῖν ad Herculem referunt.

194. Μηλιεὺς] Μηλιεὺς Ionica forma dicit, quoniam Dorica nominis forma, qua Maliacus Sinus, et Malienses appellantur, in vulgarem usum venerat, ob eamque rem a poesi arceri debebat. HERMANN.

195. κρίνει. *interrogat.* Cf. infra v. 314. 388.

196. τὸ ποθοῦν i. q. ὁ πόθος, cujus explicandi caussa adjecta sunt ἕκαστος ἐκμαθεῖν θέλων. Cæterum τὸ ποθοῦν οὐκ ἂν μεθεῖτο eodem redit ac ποθοῦντες οὐκ ἂν μεθεῖντο, unde fit ut ἕκαστος ἐκμαθεῖν θέλων recte in nominativo casu dicantur.

ξύνεστιν. ὄψει δ' αὐτὸν αὐτίκ' ἐμφανῆ.
ΔΗ. ὦ Ζεῦ, τὸν Οἴτης ἄτομον ὃς λειμῶν' ἔχεις,
ἔδωκας ἡμῖν ἀλλὰ σὺν χρόνῳ χαράν.
φωνήσατ', ὦ γυναῖκες, αἵ τ' ἔσω στέγης
αἵ τ' ἐκτὸς αὐλῆς, ὡς ἄελπτον ὄμμ' ἐμοὶ
φήμης ἀνασχὸν τῆσδε νῦν καρπούμεθα.
ΧΟ. ἀνολολύξατε δόμοις
ἐφεστίοις ἀλαλαγαῖς·
ὁ μελλόνυμφος, ἐν δὲ κοινὸς ἀρσένων
ἴτω κλαγγὰ τὸν εὐφαρέτραν
Ἀπόλλωνα προστάταν·
ὁμοῦ δὲ παιᾶνα παιᾶν'
ἀνάγετ', ὦ παρθένοι,
βοᾶτε τὰν ὁμόσπορον
Ἄρτεμιν Ὀρτυγίαν,
ἐλαφαβόλον, ἀμφίπυρον,
γείτονάς τε Νύμφας.
ἀείρομ', οὐδ' ἀπώσομαι
τὸν αὐλόν, ὦ τύραννε τᾶς ἐμᾶς φρενός.
ἰδού μ' ἀναταράσσει
εὐοῖ μ' ὁ κισσὸς ἄρτι βακχίαν

203. ὄμμα. Dictum sicut ὀφθαλμὸς Œd. T. 987. ubi vid.

205. ἀνολολύξατε B. ἀνολολύξετε La. Ald. ἀνολολυξάτω δόμος est non necessaria Dindorfii conjectura. δόμος antea conjecerat Elmsleius. Mox ἀλαλαγαῖς B. V. Turn. ἀλαλαῖς plerique.

207. ὁ μελλόνυμφος. Recte Hermannus: *quisquis nubilis est.* De masculino vid. ad v. 151. Cæterum ex sequentibus subaudiendum κλαζέτω. Jungere tamen possis ἀνολολύξατε ὁ μελλόνυμφος, modo minus plene post ἀλαλαγαῖς interpungas.

ἐν δέ. Vid. ad Œd. T. v. 27.

208. τὸν εὐφαρέτραν. Accusativum ponit, quia præcedentia ad sensum valent κλαζόντων. Non absimile est Agam. 174. Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων. Eadem fortasse constructio infra v. 210. seqq. παιᾶνα ἀνάγετε, βοᾶτε (sc. παιᾶνα) Ἄρτεμιν.

209. Ἀπόλλω Dindorfius.

210. παιᾶνα, παιᾶνα vulgo. Correxit Brunckius.

214. ἐλαφαβόλον La. V. ἐλαφηβόλον vulgo. Cf. Œd. T. 180. ἀμφίπυρος ea est de qua Sophocles Œ. T. v. 206. τάς τε πυρφόρους Ἀρτέμιδος αἴγλας ξὺν αἷς Λύκι' ὄρεα διᾴσσει. Cujusmodi fuerint faces illæ, quibus ornata depicta est Diana, non constat inter mythologos.

218. ἰδοῦ μ'] μ' cum ὑποστρέφων jungendum: *huc illuc me circumagens ut similis Bacchi in honorem*

ὑποστρέφων ἅμιλλαν
ἰὼ ἰὼ Παιάν·
† ἴδε ἴδ', ὦ φίλα γύναι,
τάδ' ἀντίπρῳρα δή σοι
βλέπειν πάρεστ' ἐναργῆ.
ΔΗ. ὁρῶ, φίλαι γυναῖκες, οὐδέ μ' ὄμματος
φρουρὰν παρῆλθε, τόνδε μὴ λεύσσειν στόλον·
χαίρειν δὲ τὸν κήρυκα προὐννέπω, χρόνῳ
πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρεις.

ΛΙΧΑΣ.

ἀλλ' εὖ μὲν ἵγμεθ', εὖ δὲ προσφωνούμεθα,
γύναι, κατ' ἔργου κτῆσιν· ἄνδρα γὰρ καλῶς
πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.
ΔΗ. ὦ φίλτατ' ἀνδρῶν, πρῶθ' ἃ πρῶτα βούλομαι
δίδαξον, εἰ ζῶνθ' Ἡρακλέα προσδέξομαι.
ΛΙ. ἔγωγέ τοι σφ' ἔλειπον ἰσχύοντά τε
καὶ ζῶντα καὶ θάλλοντα κοὐ νόσῳ βαρύν.
ΔΗ. ποῦ γῆς; πατρῴας, εἴτε βαρβάρου; λέγε.

certatim saltantium videar. Duplex est accusativus.

219. εὐοῖ μ'] εὐοῖ extra versum esse censet Dindorfius: delet ergo μ'. Idem geminat ἰδοῦ v. præc. et h. v. εὐοῖ. Mox βακχείαν edd. ante Brunckium.

ὁ κισσός. Non coronata capita virginum hedera fuisse censenda sunt, sed, ut recte monitum ab Hermanno est, *videntur sibi* illæ præ gaudio exsultantes hedera coronatæ esse. Wunder.

221. Παιὰν bis Dindorfius, qu. v. ad Arist. Ach. 1212. coll. Aj. 694. Æsch. Agam. 410. 1489.

222. ἴδε, ἴδ' ὦ φίλα γύναι] ἴδ' ἴδ' Brunckius. ἴδ' ὦ φίλα γυναικῶν correxit nuper Dindorfius, qui mox ἀντίπρῳρα recto accentu notavit. Cf. supra ad v. 12.

226. φρουρὰν optime correxit Musgravius. Vulgo φρουρά. Cæterum duplex est accusativus, quocum confert Wunderus notum illud Homeri, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

227.228. χαίρειν—χαρτόν. Ludit in voce χαίρειν ut sæpe; e.g. Eurip. Hec. 426. χαῖρ' ὦ τεκοῦσα, χαῖρε Κασάνδρα τέ μοι. Ἑκ. χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστιν τόδε. Cæterum cum Turnebo post φανέντα interpunxi. Cæteri post χαρτόν. φέρεις autem La. Suid. Vulgo φέρει.

203. κατ' ἔργου κτῆσιν] κατὰ τὸ ἔργον ὃ κεκτήμεθα, i. e. *expugnatio Œchaliæ.* Hermann.

233. Ἡρακλῆ Dindorfius. Cf. 476.

ΛΙ. ἀκτή τις ἔστ' Εὐβοιΐς, ἔνθ' ὁρίζεται
βωμοὺς τέλη τ' ἔγκαρπα Κηναίῳ Διί.
ΔΗ. εὐκταῖα φαίνων, ἢ 'πὸ μαντείας τινός;
ΛΙ. εὐχαῖς, ὅθ' ᾕρει τῶνδ' ἀνάστατον δορὶ
χώραν γυναικῶν ὧν ὁρᾷς ἐν ὄμμασιν.
ΔΗ. αὗται δέ, πρὸς θεῶν, τοῦ ποτ' εἰσὶ καὶ τίνες;
οἰκτραὶ γάρ, εἰ μὴ ξυμφοραὶ κλέπτουσί με.
ΛΙ. ταύτας ἐκεῖνος Εὐρύτου πέρσας πόλιν
ἐξείλεθ' αὑτῷ κτῆμα καὶ θεοῖς κριτόν.
ΔΗ. ἦ κἀπὶ ταύτῃ τῇ πόλει τὸν ἄσκοπον
χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον;
ΛΙ. οὔκ, ἀλλὰ τὸν μὲν πλεῖστον ἐν Λυδοῖς χρόνον
κατείχεθ', ὥς φησ' αὐτός, οὐκ ἐλεύθερος,
ἀλλ' ἐμπολήθεις. τοῦ λόγου δ' οὐ χρὴ φθόνον,
γύναι, προσεῖναι, Ζεὺς ὅτου πράκτωρ φανῇ.
κεῖνος δὲ πραθεὶς Ὀμφάλῃ τῇ βαρβάρῳ
ἐνιαυτὸν ἐξέπλησεν, ὡς αὐτὸς λέγει.
χοὔτως ἐδήχθη τοῦτο τοὔνειδος λαβών,
ὥσθ' ὅρκον αὑτῷ προσβαλὼν διώμοσεν,
ἦ μὴν τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθους

237. *ὁρίζεται. statuit, erigit.* Medium pro activo: activum infra de eadem re habes v. 754.

238. τέλη ἔγκαρπα. sc. θύει, quod ἀπὸ κοινοῦ repetendum. Mira Jovi sacra τέλη ἔγκαρπα putat Hermannus propter urbem expugnatam: itaque Valckenaerium sequitur de *luco* intelligentem. Sed dubitandum potius an τέλη ἔγκαρπα *lucum* non significare possint: neque in verbis τεμενίαν τε φυλλάδα v. 754. idem respexisse poetam necessario existimandum est. Quidni sacra ex frugibus cum Scholiasta intelligamus, quæ victoriæ gratia nunc offerebat Hercules?

239. φαίνων. *rata faciens.* Cf. Œd. Col. v. 721.

240. εὐχαῖς, ὅθ' ᾕρει. *propter vota tum facta quum* etc. εὐχαῖς habent La. B. V. εὐκταῖ' vulgo, quod fateor aptius videri. Cæterum cf. notam nostram ad Æschyl. Eumen. v. 22. ᾕρει autem in imperfecto *quum capere vellet* significare vix opus est ut moneam. Cf. ad Œd. T. 1454.

243. *Dignæ enim sunt miseratione, si de calamitatibus earum recte judico.* SCHAEFER.

246. ἄσκοπον. *inexpectatum, incredibilem.* Mox cum verbis ἡμερῶν ἀνήριθμον cf. Œd. T. 179. Aj. 602. El. 232.

250. *Narratio rei, cujus Jupiter auctor inveniatur, carere debet invidia.* HERMANN.

256. ἀγχιστῆρα πάθους. *qui admovit hoc malum.* SEIDLER.

ξὺν παιδὶ καὶ γυναικὶ δουλώσειν ἔτι.
κοὐχ ἠλίωσε τοὔπος. ἀλλ' ὅθ' ἁγνὸς ἦν,
στρατὸν λαβὼν ἐπακτὸν ἔρχεται πόλιν
τὴν Εὐρυτείαν. τόνδε γὰρ μεταίτιον
μόνον βροτῶν ἔφασκε τοῦδ' εἶναι πάθους·
ὃς αὐτὸν ἐλθόντ' ἐς δόμους ἐφέστιον,
ξένον παλαιὸν ὄντα, πολλὰ μὲν λόγοις
ἐπερρόθησε, πολλὰ δ' ἀτηρᾷ φρενί,
λέγων χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη
τῶν ὧν τέκνων λείποιτο πρὸς τόξου κρίσιν·
φωνεῖ δὲ δοῦλος ἀνδρὸς ὡς ἐλευθέρου
ῥαίοιτο· δείπνοις δ' ἡνίκ' ἦν οἰνωμένος,
ἔρριψεν ἐκτὸς αὐτόν. ὧν ἔχων χόλον,
ὡς ἵκετ' αὖθις Ἴφιτος Τιρυνθίαν
πρὸς κλιτύν, ἵππους νομάδας ἐξιχνοσκοπῶν,
τότ' ἄλλοσ' αὐτὸν ὄμμα, θατέρᾳ δὲ νοῦν
ἔχοντ', ἀπ' ἄκρας ἧκε πυργώδους πλακός.
ἔργου δ' ἕκατι τοῦδε μηνίσας ἄναξ,
ὁ τῶν ἁπάντων Ζεὺς πατὴρ Ὀλύμπιος,
πρατόν νιν ἐξέπεμψεν, οὐδ' ἠνέσχετο,
ὁθούνεκ' αὐτὸν μοῦνον ἀνθρώπων δόλῳ
ἔκτεινεν. εἰ γὰρ ἐμφανῶς ἠμύνατο,

257. ξὺν παιδὶ καὶ γυναικί. Angl. *with wife and child.* h. e. cum tota domo. Recte veterem scripturam revocavit Hermannus, cui Turnebus παισὶ substituit. Mox ἔτι *aliquando posthac* significare monuit Brunckius, citato Dorvill. ad Chariton. p. 98.

260. τόνδε. sc. *Eurytum*, quod facile ex Εὐρυτείαν intelligitur.

267. φώνει La. Lb. Simile olim mendum in Œd. T. 1245.

267. *quod servus ab Eurystheo, qui liber esset, frangi se pateretur.* HERMANN.

268. ᾠνωμένος Dindorfius. De hac scriptura videndus Elmsl. ad Bacch. 686. οἰνωμένος autem de Hercule intelligendum. Neque enim (inquit Hermannus) quisquam sobrium ausus esset Herculem ejicere; sed ejicere ut posset eum, prius vino debilitare debebat.

272. θατέρᾳ recte scriptum in B. T. Turn. Alii θἠτέρᾳ.

273. πυργώδους πλακός. a montis cacumine turris in modum eminenti.

275. Junge: Ζεὺς Ὀλύμπιος ὁ τῶν ἁπάντων πατήρ.

277. μοῦνον ἀνθρώπων. *solum, auxilio carentem.*

Ζεὺς τὰν συνέγνω ξὺν δίκῃ χειρουμένῳ.
ὕβριν γὰρ οὐ στέργουσιν οὐδὲ δαίμονες.
κεῖνοι δ' ὑπερχλιδῶντες ἐκ γλώσσης κακῆς,
αὐτοὶ μὲν Ἅιδου πάντες εἴσ' οἰκήτορες,
πόλις δὲ δούλη· τάσδε δ' ἅσπερ εἰσορᾷς
ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον
χωροῦσι πρὸς σέ. ταῦτα γὰρ πόσις τε σὸς
ἐφεῖτ', ἐγὼ δέ, πιστὸς ὢν κείνῳ, τελῶ.
αὐτὸν δ' ἐκεῖνον, εὖτ' ἂν ἁγνὰ θύματα
ῥέξῃ πατρῴῳ Ζηνὶ τῆς ἁλώσεως,
φρόνει νιν ὡς ἥξοντα. τοῦτο γὰρ λόγου
πολλοῦ καλῶς λεχθέντος ἥδιστον κλύειν.
ΧΟ. ἄνασσα, νῦν σοι τέρψις ἐμφανὴς κυρεῖ,
τῶν μὲν παρόντων, τὰ δὲ πεπυσμένῃ λόγῳ.
ΔΗ. πῶς δ' οὐκ ἐγὼ χαίροιμ' ἄν, ἀνδρὸς εὐτυχῆ
κλύουσα πρᾶξιν τήνδε, πανδίκῳ φρενί;
πολλή 'στ' ἀνάγκη τῇδε τοῦτο συντρέχειν.
ὅμως δ' ἔνεστι τοῖσιν εὖ σκοπουμένοις
ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε.
ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη, φίλαι,
ταύτας ὁρώσῃ δυσπότμους ἐπὶ ξένης
χώρας ἀοίκους ἀπάτοράς τ' ἀλωμένας,
αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως
ἀνδρῶν, τανῦν δὲ δοῦλον ἴσχουσιν βίον.
ὦ Ζεῦ τροπαῖε, μή ποτ' εἰσίδοιμί σε
πρὸς τοὐμὸν οὕτω σπέρμα χωρήσαντά ποι,
μηδ', εἴ τι δράσεις, τῆσδέ γε ζώσης ἔτι.

283. *τάσδε δ' ἅσπερ εἰσορᾷς χωροῦσι*] *τάσδε* attractione dictum. Cf. ad Œd. Col. 1150.

289. *φρόνει νιν.* De pronomine repetito cf. Pors. præf. ad Hec. p. xi.

294. *τῇδε τοῦτο συντρέχειν*] *τοῦτο* sc. *τὸ χαίρειν.* Cave autem *τῇδε* ad *πρᾶξιν* referas. Ad *συντρέχειν* sub. *τούτοις τοῖς πράγμασι.* Verte: *Temperare mihi nequeo quin hoc modo gaudium ob lætam mihi allatam fortunam ostendam.*

304. *ποι.* *quoquam.* Optat Deianira ut Jupiter *nulli non suorum* parcat. SCHAEF.

305. *τῆσδέ γε.* h. e. *ἐμοῦ.* Cf. ad Œd. Col. 450.

οὕτως ἐγὼ δέδοικα τάσδ' ὁρωμένη.
ὦ δυστάλαινα, τίς ποτ' εἶ νεανίδων;
ἄνανδρος, ἢ τεκνοῦσσα; πρὸς μὲν γὰρ φύσιν
πάντων ἄπειρος τῶνδε, γενναία δέ τις.
Λίχα, τίνος ποτ' ἐστὶν ἡ ξένη βροτῶν;
τίς ἡ τεκοῦσα, τίς δ' ὁ φιτύσας πατήρ;
ἔξειπ'· ἐπεί νιν τῶνδε πλεῖστον ᾤκτισα
βλέπουσ', ὅσῳπερ καὶ φρονεῖν οἶδεν μόνη.
ΛΙ. τί δ' οἶδ' ἐγώ; τί δ' ἄν με καὶ κρίνοις; ἴσως
γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις.
ΔΗ. μὴ τῶν τυράννων; Εὐρύτου σπορά τις ἦν;
ΛΙ. οὐκ οἶδα. καὶ γὰρ οὐδ' ἀνιστόρουν μακράν.
ΔΗ. οὐδ' ὄνομα πρός του τῶν ξυνεμπόρων ἔχεις;
ΛΙ. ἥκιστα· σιγῇ τοὐμὸν ἔργον ἤνυτον.
ΔΗ. εἴπ', ὦ τάλαιν', ἀλλ' ἡμὶν ἐκ σαυτῆς· ἐπεὶ
καὶ ξυμφορά τοι μὴ εἰδέναι σέ γ' ἥτις εἶ.
ΛΙ. οὔ τἄρα τῷ γε πρόσθεν οὐδὲν ἐξ ἴσου
χρόνῳ διοίσει γλῶσσαν, ἥτις οὐδαμὰ
προὔφηνεν οὔτε μείζον' οὔτ' ἐλάσσονα,
ἀλλ' αἰὲν ὠδίνουσα συμφορᾶς βάρος
δακρυρροεῖ δύστηνος, ἐξ ὅτου πάτραν
διήνεμον λέλοιπεν. ἡ δέ τοι τύχη
κακὴ μὲν αὐτῇ γ', ἀλλὰ συγγνώμην ἔχει.
ΔΗ. ἡ δ' οὖν ἐάσθω, καὶ πορευέσθω στέγας

316. Interrogationis notam post *τυράννων* posuit Schaeferus. Idem recte monet vocis *τύραννος* significationem passim latius patere, dici enim de omni stirpe regia: quod et animadvertit Erfurdtius.

320. *ἐκ σαυτῆς.* *Tua sponte.*

321. Indicat Deianira se illi bene facere velle, si quænam sit primum resciverit, quare eleganter dolendum esse ait, quod nondum quæ sit cognitum habet. Cf. v. 328.

323. *διοίσει γλῶσσαν* fieri vix potest quin sensu *vocis emittendæ* dictum sit. Nescio an recte Passovius *linguam in ore movere, huc illuc ferre*, explicuerit. Valde contortam interpretandi rationem protulit Hermannus. *διήσει* conjecit Wunderus, quod non probo, neque omnino similia sunt quæ attulit exempla.

326. *δακρυρρόει* libri. Correctum in Lb. Ita etiam Brunckius.

329. *ἡ δ' οὖν* Dindorfius. *ἥδ' οὖν* vulgo. Vid. ad Œd. T. 669.

οὕτως ὅπως ἥδιστα, μηδὲ πρὸς κακοῖς
(?) τοῖς οὖσι λύπην πρός γ' ἐμοῦ λύπῃ λάβοι·
ἅλις γὰρ ἡ παροῦσα. πρὸς δὲ δώματα
χωρῶμεν ἤδη πάντες, ὡς σύ θ' οἷ θέλεις
σπεύδῃς, ἐγὼ δὲ τἄνδον ἐξαρκῆ τιθῶ.
ΑΓ. αὐτοῦ γε πρῶτον βαιὸν ἀμμείνασ', ὅπως
μάθῃς, ἄνευ τῶνδ', οὕστινάς τ' ἄγεις ἔσω
ὧν τ' οὐδὲν εἰσήκουσας ἐκμάθῃς ἃ δεῖ.
τούτων ἔχω γὰρ πάντ' ἐπιστήμην ἐγώ.
ΔΗ. τί δ' ἐστί; τοῦ με τήνδ' ἐφίστασαι βάσιν;
ΑΓ. σταθεῖσ' ἄκουσον· καὶ γὰρ οὐδὲ τὸν πάρος
μῦθον μάτην ἤκουσας, οὐδὲ νῦν δοκῶ.
ΔΗ. πότερον ἐκείνους δῆτα δεῦρ' αὖθις πάλιν
καλῶμεν, ἢ 'μοὶ ταῖσδέ τ' ἐξειπεῖν θέλεις;
ΑΓ. σοὶ ταῖσδέ τ' οὐδὲν εἴργεται· τούτους δ' ἔα.
ΔΗ. καὶ δὴ βεβᾶσι, χὠ λόγος σημαινέτω.
ΑΓ. ἀνὴρ ὅδ' οὐδὲν ὧν ἔλεξεν ἀρτίως
φωνεῖ δίκης ἐς ὀρθόν, ἀλλ' ἢ νῦν κακός,
ἢ πρόσθεν οὐ δίκαιος ἄγγελος παρῆν.
ΔΗ. τί φῄς; σαφῶς μοι φράζε πᾶν ὅσον νοεῖς.

330. *οὕτως ὅπως ἥδιστα.* Discas ex hoc exemplo plenæ locutionis, quomodo intelligi oporteat *ὅπως* similesque particulas junctas superlativis. SCHAEFER.

331. *λύπην πρός γ' ἐμοῦ λύπῃ.* Ita Hermannus. Cf. Œd. T. 175. *λύπην* bis habet La. *λύπης* in secundo loco Ald. Brunck. quod vereor ut defendi possit. *τοῖς οὖσιν ἄλλην* et mox *λύπην* V. Ven.

334. *ἐγὼ δὲ*] *ἐγώ τε* edidit Turnebus, et ita Schaeferus. Sed *δὲ* sequitur *τε* sicut supra vv. 143. 285. 286. Cf. Œd. T. 696.

336. *οὕστινάς τ'.* De mulieribus dictum. Vid. supr. v. 151. *τ'* Erfurdtius. *γ'* vulgo. *οὕστινας* sine *γ'* La. Lb. Lc. alii.

337. *ἐκμάθῃς θ'* La. Lb. Lc. sed *θ'* recte omittit Turn.

338. *πάντ' ἐπιστήμην.* Vid. Ant. 721.

339. Vid. ad Œd. T. 1144. Sensum recte explicuit Brunckius: *cur meum sistis gradum.* Idem est quod *τί με ὧδε βαίνουσαν ἐφίστης;* Medium pro activo. Vid. ad Œd. T. 148.

344. *τούτους.* Lichas cum captivis intelligendus. HERMANN.

345. *οὐδὲν εἴργεται.* *nihil vetitum est*, h. e. omnia fas est, *dicere.* Possis et *εἴργεται* pro activo habere, *ἐξειπεῖν* subaudito.

347. *δίκης ἐς ὀρθόν.* *ad veritatis normam.* Locutio paullo insolentior. Cf. ad Œd. T. 853.

ἃ μὲν γὰρ ἐξείρηκας ἀγνοίᾳ μ' ἔχει.
ΑΓ. τούτου λέγοντος τἀνδρὸς εἰσήκουσ' ἐγώ,
πολλῶν παρόντων μαρτύρων, ὡς τῆς κόρης
ταύτης ἕκατι κεῖνος Εὔρυτόν θ' ἕλοι
τήν θ' ὑψίπυργον Οἰχαλίαν, Ἔρως δέ νιν
μόνος θεῶν θέλξειεν αἰχμάσαι τάδε,
οὐ τἀπὶ Λυδοῖς οὐδ' ἐπ' Ὀμφάλῃ πόνων
λατρεύματ', οὐδ' ὁ ῥιπτὸς Ἰφίτου μόρος·
ὃν νῦν παρώσας οὗτος ἔμπαλιν λέγει.
ἀλλ' ἡνίκ' οὐκ ἔπειθε τὸν φυτοσπόρον
τὴν παῖδα δοῦναι, κρύφιον ὡς ἔχοι λέχος,
ἔγκλημα μικρὸν αἰτίαν θ' ἑτοιμάσας
ἐπιστρατεύει πατρίδα τὴν ταύτης, ἐν ᾗ
τῶν Εὐρύτου τόνδ' εἶπε δεσπόζειν θρόνων,
κτείνει τ' ἄνακτα πατέρα τῆσδε καὶ πόλιν
ἔπερσε. καὶ νῦν, ὡς ὁρᾷς, ἥκει δόμους
ὡς τούσδε πέμπων οὐκ ἀφροντίστως, γύναι,
οὐδ' ὥστε δούλην· μηδὲ προσδόκα τόδε·
οὐδ' εἰκός, εἴπερ ἐντεθέρμανται πόθῳ.
ἔδοξεν οὖν μοι πρὸς σὲ δηλῶσαι τὸ πᾶν,
δέσποιν', ὃ τοῦδε τυγχάνω μαθὼν πάρα.

350. *ἀγνοία.* Ultimam hujus vocis productam notabunt tirones. Cf. Eurip. Androm. 520. Æschyl. S. c. Theb. 412. Nostri Phil. 129.

355. *αἰχμάσαι τάδε.* *hoc bellum suscipere.*

357. *ῥιπτὸς μόρος*] *λιθόλευστον Ἄρη* Aj. v. 254. confert Schaeferus. Addere poterat *φόνον δημόλευστον* Ant. 36.

358. *ὃν* refer ad *Ἔρως.* Sæpius relativum spectat nomen remotius. SCHAEFERUS post Brunckium. *παρώσας.* Hesychius recte explicat *ἐάσας.* Retrusit enim et dissimulavit Lichas amorem Iolæ. HERMANN.

360. *λέχος.* Cf. supra v. 27.

363. *τῶν Εὐρύτου τόνδ εἶπε δεσπόζειν θρόνων.* *bello petit hujus patriam, in qua Lichas Euryti regnum tenere illum velle dicebat.* Id propterea addit nuncius, ut indicet, Licham hoc prætexuisse, ut veram belli caussam celaret. De volendi significatione sæpe verbis adhærente dictum ad Aj. 1126. HERMANN. *τῶν Εὔρυτον τῶνδ'* La. Ald. *τὸν Ἔυρυτον τῶνδ* A. T. V. *τὸν Ἔυρυτον τόνδ'* B. quorum nihil admittit sensus: nec melius quid novi quam quod protulit Hermannus. Dindorfius versum ejiciendum jubet.

366. *ὡς τούσδε.* *ἐς* Brunckius. Cf. Hermanni notam ad h. l. quam antea laudavi ad Œd. T. v. 1481.

καὶ ταῦτα πολλοὶ πρὸς μέσῃ Τραχινίων
ἀγορᾷ συνεξήκουον ὡσαύτως ἐμοί,
ὥστ' ἐξελέγχειν· εἰ δὲ μὴ λέγω φίλα,
οὐχ ἥδομαι, τὸ δ' ὀρθὸν ἐξείρηχ' ὅμως.
ΔΗ. οἴμοι τάλαινα, ποῦ ποτ' εἰμὶ πράγματος;
τίν' εἰσδέδεγμαι πημονὴν ὑπόστεγον
λαθραῖον; ὦ δύστηνος, ἆρ' ἀνώνυμος
πέφυκεν, ὥσπερ οὑπάγων διώμνυτο;
ΑΓ. ἦ κάρτα λαμπρὰ καὶ κατ' ὄμμα καὶ φύσιν,
πατρὸς μὲν οὖσα γένεσιν Εὐρύτου ποτὲ
'Ιόλη 'καλεῖτο, τῆς ἐκεῖνος οὐδαμὰ
βλάστας ἐφώνει, δῆθεν οὐδὲν ἱστορῶν.
ΧΟ. ὄλοιντο μή τι πάντες οἱ κακοί, τὰ δὲ
λαθραῖ' ὃς ἀσκεῖ μὴ πρέποντ' αὐτῷ κακά.
ΔΗ. τί χρὴ ποιεῖν, γυναῖκες; ὡς ἐγὼ λόγοις
τοῖς νῦν παροῦσιν ἐκπεπληγμένη κυρῶ.
ΧΟ. πεύθου μολοῦσα τἀνδρός, ὡς τάχ' ἂν σαφῆ
λέξειεν, εἴ νιν πρὸς βίαν κρίνειν θέλοις.
ΔΗ. ἀλλ' εἶμι. καὶ γὰρ οὐκ ἄπο γνώμης λέγεις.
ΑΓ. ἡμεῖς δὲ προσμένωμεν; ἢ τί χρὴ ποιεῖν;
ΔΗ. μίμν', ὡς ὅδ' ἀνὴρ οὐκ ἐμῶν ὑπ' ἀγγελων,
ἀλλ' αὐτόκλητος ἐκ δόμων πορεύεται.
ΛΙ. τί χρή, γύναι, μολόντα μ' Ἡρακλεῖ λέγειν;
δίδαξον, ὡς ἕρποντος, εἰσορᾷς, ἐμοῦ.
ΔΗ. ὡς ἐκ ταχείας σὺν χρόνῳ βραδεῖ μολὼν
ᾄσσεις, πρὶν ἡμᾶς κἀννεώσασθαι λόγους.

371. *πρὸς μέσῃ ἀγορᾷ.* *ad medium forum.* Cf. infra v. 423.

372. *ἐμοὶ* regitur a *ξυνεξήκουον.*

379. *κάρτα* Canterus. *καὶ τὰ* libri. H. v. Deianiræ tribuunt codices nonnulli.

380. *ποτὲ* additum quia *οὖσα γένεσιν* sensu valet *βλαστοῦσα.*

381. *οὐδαμᾶ* vulgo. Correxit Hermannus.

383. Post *ὄλοιντο* lineolam, signum abruptæ corrigendæque orationis, posuit Schaeferus.

388. *μιν* libri. Correxit Brunck.

390. Nuncio tribuit Hermannus. Choro Turnebus. Deianiræ veteres.

394. *εἰσορᾷς*, ut *ὁρᾷς*, ceteris intersertum sermonis est familiaris. V. Dawes. Misc. Crit. p. 326. et Brunck. ad Phil. 862. SCHAEFER.

396. Ita Hermannus. *καὶ νεώσασθαι* vulgo. *ἀνανεώσασθαι* Canterus.

ΛΙ. ἀλλ' εἴ τι χρῄζεις ἱστορεῖν, πάρειμ' ἐγώ.
ΔΗ. ἦ καὶ τὸ πιστὸν τῆς ἀληθείας νέμεις;
ΛΙ. ἴστω μέγας Ζεύς, ὧν γ' ἂν ἐξειδὼς κυρῶ.
ΔΗ. τίς ἡ γυνὴ δῆτ' ἐστὶν ἣν ἥκεις ἄγων;
ΛΙ. Εὐβοΐς· ὧν δ' ἔβλαστεν οὐκ ἔχω λέγειν.
ΑΓ. οὗτος, βλέφ' ὧδε. πρὸς τίν' ἐννέπειν δοκεῖς;
ΛΙ. σὺ δ' εἰς τί δή με τοῦτ' ἐρωτήσας ἔχεις;
ΑΓ. τόλμησον εἰπεῖν, εἰ φρονεῖς, ὅ σ' ἱστορῶ.
ΛΙ. πρὸς τὴν κρατοῦσαν Δηάνειραν, Οἰνέως
κόρην, δάμαρτά θ' Ἡρακλέους, εἰ μὴ κυρῶ
λεύσσων μάταια, δεσπότιν τε τὴν ἐμήν.
ΑΓ. τοῦτ' αὔτ' ἔχρῃζον, τοῦτό σου μαθεῖν. λέγεις
δέσποιναν εἶναι τήνδε σήν; ΛΙ. δίκαια γάρ.
ΑΓ. τί δῆτα; ποίαν ἀξιοῖς δοῦναι δίκην,
ἣν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν;
ΛΙ. πῶς μὴ δίκαιος; τί ποτε ποικίλας ἔχεις;
ΑΓ. οὐδέν. σὺ μέντοι κάρτα τοῦτο δρῶν κυρεῖς.
ΛΙ. ἄπειμι. μῶρος δ' ἦν πάλαι κλύων σέθεν.
ΑΓ. οὔ, πρίν γ' ἂν εἴπῃς ἱστορούμενος βραχύ.
ΛΙ. λέγ', εἴ τι χρῄζεις. καὶ γὰρ οὐ σιγηλὸς εἶ.
ΑΓ. τὴν αἰχμάλωτον, ἣν ἔπεμψας ἐς δόμους,
κάτοισθα δήπου; ΛΙ. φημί· πρὸς τί δ' ἱστορεῖς;
ΑΓ. οὔκουν σὺ ταύτην ἣν ὑπ' ἀγνοίας ὁρᾷς,
'Ιόλην ἔφασκες Εὐρύτου σπορὰν ἄγειν;
ΛΙ. ποίοις ἐν ἀνθρώποισι; τίς πόθεν μολὼν
σοὶ μαρτυρήσει ταῦτ' ἐμοῦ κλύειν παρών;

398. *νέμεις.* *colis, observas.*

402—431. Per hos versus Nuncii verba in libris et Scholiis Deianiræ tribuuntur. Detexit errorem Tyrwhittus, qui etiam in vv. 403. 412. *ἐρωτήσας* et *ποικίλας* restituit, ubi vulgo leguntur *ποικίλασ'* et *ἐρωτήσασ'.* Idem error conjecturis *παρστήτω* quam Scholiasta, et *ἐπιστήτω* quam Triclinius in v. 434. invexit, occasionem præbuit.

412. *πῶς μὴ δίκαιος.* Observent tirones *μή.* Respicit Lichas verba *ἣν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν.* De *ποικίλας* cf. ad v. 402.

419. *ὑπ' ἀγνοίας ὁρᾷς.* *scire te dissimulas.*

421. *τίς πόθεν μολὼν*] *τίς πόθεν εἷς ἀνδρῶν*; Odyss. T. v. 105. Cf. Phil. v. 56. ubi additur copula, quæ in hac loquendi formula sæpius desideratur.

ΑΓ. πολλοῖσιν ἀστῶν. ἐν μέσῃ Τραχινίων
ἀγορᾷ πολύς σου ταῦτά γ' εἰσήκουσ' ὄχλος.
ΛΙ. ναί.
κλύειν γ' ἔφασκον. ταὐτὸ δ' οὐχὶ γίγνεται
δόκησιν εἰπεῖν κἀξακριβῶσαι λόγον.
ΑΓ. ποίαν δόκησιν; οὐκ ἐπώμοτος λέγων
δάμαρτ' ἔφασκες Ἡρακλεῖ ταύτην ἄγειν;
ΛΙ. ἐγὼ δάμαρτα; πρὸς θεῶν, φράσον, φίλη
δέσποινα, τόνδε τίς ποτ' ἐστὶν ὁ ξένος.
ΑΓ. ὃς σου παρὼν ἤκουσεν ὡς ταύτης πόθῳ
πόλις δαμείη πᾶσα, κοὐχ ἡ Λυδία
πέρσειεν αὐτήν, ἀλλ' ὁ τῆσδ' ἔρως φανείς.
ΛΙ. ἄνθρωπος, ὦ δέσποιν', ἀποστήτω. τὸ γὰρ
νοσοῦντι ληρεῖν ἀνδρὸς οὐχὶ σώφρονος.
ΔΗ. μή, πρός σε τοῦ κατ' ἄκρον Οἰταῖον νάπος
Διὸς καταστράπτοντος, ἐκκλέψῃς λόγον.
οὐ γὰρ γυναικὶ τοὺς λόγους ἐρεῖς κακῇ,
οὐδ' ἥτις οὐ κάτοιδε τἀνθρώπων, ὅτι
χαίρειν πέφυκεν οὐχὶ τοῖς αὐτοῖς ἀεί.
Ἔρωτι μέν νυν ὅστις ἀντανίσταται
πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ.
οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει,
κἀμοῦ γε· πῶς δ' οὐ χἀτέρας, οἵας γ' ἐμοῦ;
ὥστ' εἴ τι τὠμῷ τ' ἀνδρὶ τῇδε τῇ νόσῳ
ληφθέντι μεμπτός εἰμι, κάρτα μαίνομαι,
ἢ τῇδε τῇ γυναικί, τῇ μεταιτίᾳ
τοῦ μηδὲν αἰσχροῦ μηδ' ἐμοὶ κακοῦ τινος.
ουκ ιστι ταῦτ'. ἀλλ' εἰ μὲν ἐκ κείνου μαθὼν

434. ἄνθρωπος edd. ante Brunck.
437. ἐκκλέψῃς. *celes.*
440. Mirum est Wunderum τοῖς αὐτοῖς cum πέφυκε construxisse; quod manifesto cum χαίρειν construendum erat.
441. μέν γ' οὖν vulgo. Sed verum est μέν νυν quod restitutum est ex La. em. et Eustath. Il. K. p. 792. 18.
444. τ' ἀνδρὶ Seidlerus. Vulgo τἀνδρί. Respondent invicem τε et

ψεύδει, μάθησιν οὐ καλὴν ἐκμανθάνεις.
εἰ δ' αὐτὸς αὑτὸν ὧδε παιδεύεις, ὅταν
θέλῃς γενέσθαι χρηστός, ὀφθήσει κακός.
ἀλλ' εἰπὲ πᾶν τἀληθές· ὡς ἐλευθέρῳ
ψευδεῖ καλεῖσθαι κὴρ πρόσεστιν οὐ καλή.
ὅπως δὲ λήσεις, οὐδὲ τοῦτο γίγνεται·
πολλοὶ γὰρ οἷς εἴρηκας, οἳ φράσουσ' ἐμοί.
κεἰ μὲν δέδοικας, οὐ καλῶς ταρβεῖς, ἐπεὶ
τὸ μὴ πυθέσθαι, τοῦτό μ' ἀλγύνειεν ἄν·
τὸ δ' εἰδέναι τί δεινόν; οὐχὶ χἀτέρας
πλείστας ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε δή;
κοὔπω τις αὐτῶν ἔκ γ' ἐμοῦ λόγον κακὸν
ἠνέγκατ' οὐδ' ὄνειδος· ἥδε τ' οὐδ' ἂν εἰ
κάρτ' ἐντακείη τῷ φιλεῖν, ἐπεί σφ' ἐγὼ
ᾤκτειρα δὴ μάλιστα προσβλέψασ', ὅτι
τὸ κάλλος αὐτῆς τὸν βίον διώλεσεν,
καὶ γῆν πατρῴαν οὐχ ἑκοῦσα δύσμορος
ἔπερσε κἀδούλωσεν. ἀλλὰ ταῦτα μὲν
ῥείτω κατ' οὖρον, σοὶ δ' ἐγὼ φράζω κακὸν
πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί.
ΧΟ. πείθου λεγούσῃ χρηστά, κοὐ μέμψει χρόνῳ
γυναικὶ τῇδε, κἀπ' ἐμοῦ κτήσει χάριν.
ΛΙ. ἀλλ', ὦ φίλη δέσποιν', ἐπεί σε μανθάνω
θνητὴν φρονοῦσαν θνητὰ κοὐκ ἀγνώμονα,

ἤ. Cf. notam nostram ad Eumen. v. 826.
462. ἥδε τ'. sc. οὐκ οἴσει ὄνειδος. Supprimitur optativus post οὐδ' ἂν non prorsus dissimili modo ac in Œd. T. 1062.
463. Scholiasta ἐντακείη de Hercule intelligit, ego quidem malim de Iole accipi. Putat enim Deianira etiam ipsam teneri amore Herculis, ut v. 444. significavit. Est autem ἐντακῆναί τινι *colliquefactum inhærere alicui.* In El. v. 1311. μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι. Apte Wakefieldius θρήνοισιν ἐντακεῖσα ex Lycophrone v. 498. attulit. HERMANN.
468. ῥείτω κατ' οὖρον. Cf. Æsch. S. c. T. 690. ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχὸν Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος. Metaphora notissima a vento secundo desumta. Id. Pers. 481. κατ' οὖρον οὐκ εὔκοσμον αἴρονται φυγήν. Infra v. 815.
473. οὐκ ἀγνώμονα. *indulgentiæ plenam.*

πᾶν σοι φράσω τἀληθὲς οὐδὲ κρύψομαι.
ἔστιν γὰρ οὕτως ὥσπερ οὗτος ἐννέπει.
ταύτης ὁ δεινὸς ἵμερός ποθ' Ἡρακλῆ
διῆλθε, καὶ τῆσδ' οὕνεχ' ἡ πολύφθορος
καθῃρέθη πατρῴος Οἰχαλία δορί.
καὶ ταῦτα, δεῖ γὰρ καὶ τὸ πρὸς κείνου λέγειν,
οὔτ' εἶπε κρύπτειν οὔτ' ἀπηρνήθη ποτέ,
ἀλλ' αὐτός, ὦ δέσποινα, δειμαίνων τὸ σὸν
μὴ στέρνον ἀλγύνοιμι τοῖσδε τοῖς λόγοις,
ἥμαρτον, εἴ τι τήνδ' ἁμαρτίαν νέμεις.
ἐπεί γε μὲν δὴ πάντ' ἐπίστασαι λόγον,
κείνου τε καὶ σὴν ἐξ ἴσου κοινὴν χάριν
καὶ στέργε τὴν γυναῖκα καὶ βούλου λόγους
οὓς εἶπας ἐς τήνδ' ἐμπέδως εἰρηκέναι.
ὡς τἄλλ' ἐκεῖνος πάντ' ἀριστεύων χεροῖν
τοῦ τῆσδ' ἔρωτος εἰς ἅπανθ' ἥσσων ἔφυ.
ΔΗ. ἀλλ' ὧδε καὶ φρονοῦμεν ὥστε ταῦτα δρᾶν,
κοὔτοι νόσον γ' ἐπακτὸν ἐξαρούμεθα,
θεοῖσι δυσμαχοῦντες. ἀλλ' εἴσω στέγης
χωρῶμεν, ὡς λόγων τ' ἐπιστολὰς φέρῃς,
ἅ τ' ἀντὶ δώρων δῶρα χρὴ προσαρμόσαι,
καὶ ταῦτ' ἄγῃς. κενὸν γὰρ οὐ δίκαιά σε
χωρεῖν προσελθόνθ' ὧδε σὺν πολλῷ στόλῳ.
ΧΟ. μέγα τι σθένος ἁ Κύπρις ἐκφέρεται νίκας ἀεί. στροφή.
καὶ τὰ μὲν θεῶν
παρέβαν, καὶ ὅπως Κρονίδαν ἀπάτασεν οὐ λέγω,
οὐδὲ τὸν ἔννυχον Ἅιδαν,
ἢ Ποσειδάωνα τινάκτορα γαίας·

479. τὸ πρὸς κείνου. *quod ei laudi esse possit.*

481. τὸ σὸν | μὴ στέρνον κ. τ. λ. Vid. ad Œd. T. 1075.

483. τήνδ' ἁμαρτίαν νέμεις. Cf. ad Ant. 482.

491. ἐπακτὸν] αὐθαίρετον Schol.

494. προσαρμόσαι. sc. ταῖς λόγων ἐπιστολαῖς. *dictis insuper dona addere.*

496. σὺν πολλῷ στόλῳ. *cum tanto captivarum grege.* Ter. Heaut. *Ancillarum gregem ducunt secum.* Brunck.

497. ἐκφέρεται. *exserit, exercet.*

ἀλλ' ἐπὶ τάνδ' ἄρ' ἄκοιτιν
τίνες ἀμφίγυοι κατέβαν πρὸ γάμων,
τίνες πάμπληκτα παγκόνιτά τ' ἐξ-
ῆλθον ἄεθλ' ἀγώνων.
ὁ μὲν ἦν ποταμοῦ σθένος, ὑψίκερω τετραόρου ἀντ.
φάσμα ταύρου,
Ἀχελῷος ἀπ' Οἰνιαδᾶν, ὁ δὲ Βακχείας ἄπο
ἦλθε παλίντονα Θήβας
τόξα καὶ λόγχας ῥόπαλόν τε τινάσσων,
παῖς Διός· οἳ τότ' ἀολλεῖς
ἴσαν ἐς μέσον ἱέμενοι λεχέων·
μόνα δ' εὔλεκτρος ἐν μέσῳ Κύπρις
ῥαβδονόμει ξυνοῦσα.
τότ' ἦν χερός, ἦν δὲ τόξων πάταγος, ἐπῳδός.
ταυρείων τ' ἀνάμιγδα κεράτων·
ἦν δ' ἀμφίπλεκτοι

502. ἐπὶ τάνδ' ἄρ' ἄκοιτιν. *ut hanc scilicet sibi pro conjuge adipiscerentur.*

504. τίνες ἀμφίγυοι] τίνες addidit Hermannus, qui mox etiam vulgatum τινὲς in τίνες mutavit. Idem recte monet: 'ἀμφίγυοι dicit ex Homerico ἔγχεσιν ἀμφιγύοισιν. Id ad pugnantes ipsos translatum non puto simplicius explicari posse quam ut sit *ancipitibus armis.*' Non plane liquet quæ fuerit hujus vocis ἀμφίγυος significatio: sed quoniam videtur proprie telum utrinque acutum denotare, metaphorice ad homines ancipiti certamine pugnaturos translatum est. κατέβαν sc. ἐς τὸν ἀγῶνα. Satis notus hic verbi καταβαίνειν usus. Cf. *descendere* apud Latinos, e. g. Horat. Od. III. i. 11.

πρὸ γάμων. *ante nuptias.* Nam ante quam Deianira potiri possent, utrique pugnandum erat. Minus bene Matth. Gr. Gr. 575. *pro nuptiis* vertentem sequitur Wunderus.

504. πάμπληκτα παγκόνιτα. *plagis ac pulvere plena.*

ἐξῆλθον. i. e. ἐπεξῆλθον, ἠγωνίσαντο, ut recte interpretatur Scholiasta.

512. λόγχας per *sagittas* explicat Brunckius, quas ἔγχη πτερωτὰ dixit Eurip. H. F. 1098. Rectius notavit Wunderus hastam Herculi tribui ab Hesiodo Scut. Herc. v. 417.

513. ἀολλεῖς. Similiter Moschus 2. 48. δοιοὶ δ' ἕστασαν ὑψοῦ ἐπ' ὀφρύος αἰγιαλοῖο φῶτες ἀολλήδην. Omnino Sophocles non alios Deianiræ procos quam Acheloum et Herculem memorat. Multa commentus est Ovid. Met. ix. 10—13. Hermann.

519. κεράτων. Media syllaba producta. Vid. Elmsl. ad Eur. Bacch. 919.

520. ἦν. Eurip. Ion. 1146. ἐνῆν δ' ὑφανταὶ γράμμασιν τοιαίδ' ὑφαί. ἦν singularis est, qui hac conditione tantum usurpatur, ut præcedat nomini, quod bene animadvertit Buttmann. Gr. Gr. t. i. p. 552. Estque hæc ipsa ratio schematis,

κλίμακες, ἦν δὲ μετώπων ὀλόεντα
πλήγματα καὶ στόνος ἀμφοῖν.
ἁ δ' εὐῶπις ἁβρὰ
τηλαυγεῖ παρ' ὄχθῳ
ἧστο, τὸν ὃν προσμένουσ' ἀκοίταν.
[ἐγὼ δὲ μάτηρ μὲν οἷα φράζω·
τὸ δ' ἀμφινείκητον ὄμμα νύμφας
ἐλεινὸν ἀμμένει·
κἀπὸ ματρὸς ἄφαρ βέβακεν,
ὥστε πόρτις ἐρήμα.]
ΔΗ. ἦμος, φίλαι, κατ' οἶκον ὁ ξένος θροεῖ
ταῖς αἰχμαλώτοις παισὶν ὡς ἐπ' ἐξόδῳ,
τῆμος θυραῖος ἦλθον ὡς ὑμᾶς λάθρα,
τὰ μὲν φράσουσα χερσὶν ἁτεχνησάμην,
τὰ δ' οἷα πάσχω συγκατοικτιουμένη.
κόρην γάρ, οἶμαι δ' οὐκ ἔτ', ἀλλ' ἐξευγμένην,

quod Pindaricum dicitur. Ex quo intelligitur apud Pindarum Ol. xi. 6. τέλλεται non esse præcedentibus verbis jungendum. Nimirum in principio orationis recte potest verbum singulari numero poni, multa in unum collecta complectens: quæ deinde explicatius significantur, addito nomine etiam plurali: non etiam posito jam nomine plurali aptum est verbum non conveniens huic numero. HERMANN.

521. κλίμακες. Hesychius: κλίμακες, πάλης εἶδος. Nemo quale hoc genus luctæ esset exposuit. Positum erat, ni fallor, in eo, ut quis averteret adversarium, atque a tergo complexus, quasi per scalam, dorsum ejus conscenderet. Apud Ovidium Achelous in descriptione hujus ipsius cum Hercule certaminis, Met. ix. 51. *quarto Exuit amplexus, adductaque brachia solvit; Impulsumque manu (certum mihi vera fateri) Protinus avertit, tergoque onerosus inhæsit. Si qua fides (neque enim ficta mihi gloria voce Quæritur) imposito pressus mihi monte videbar.* Alia in hanc rem vide apud P. Fabrum Agonist. i. cap. 10. et 20. IDEM.

526. ἐγὼ δὲ μάτηρ — ἐρήμα. Wundero assentior totum hunc locum Sophocle indignum esse judicanti: nec uno profecto incommodo laborat. Primum misere languent ista ἐγὼ δὲ μάτηρ μὲν οἷα φράζω, nec similis est locus El. 234. a Dindorfio ibi cum hoc comparatus. Deinde τὸ δ' ἀμφινείκητον — ἀμμένει mera eorum est iteratio quæ dixerat vv. 523—525. Denique durius dicta sunt quæ vv. 529. 530. leguntur: quanquam βέβακε per se vitiosum non videtur, quod putavit Wunderus. Dictum enim sicut Agam. v. 407. βέβακε ῥίμφα διὰ πυλᾶν. Hermannus verba ἐγὼ δὲ — ἀμμένει ex altera duarum editionum depromta censet.

528. ἐλεινὸν ex Porsoni sententia Erfurdtius. ἐλεεινὸν libri.

παρεισδέδεγμαι, φόρτον ὥστε ναυτίλος,
λωβητὸν ἐμπόλημα τῆς ἐμῆς φρενός.
καὶ νῦν δύ' οὖσαι μίμνομεν μιᾶς ὑπὸ
χλαίνης ὑπαγκάλισμα. τοιάδ' Ἡρακλῆς,
ὁ πιστὸς ἡμῖν κἀγαθὸς καλούμενος,
οἰκούρι' ἀντέπεμψε τοῦ μακροῦ χρόνου.
ἐγὼ δὲ θυμοῦσθαι μὲν οὐκ ἐπίσταμαι
νοσοῦντι κείνῳ πολλὰ τῇδε τῇ νόσῳ,
τὸ δ' αὖ ξυνοικεῖν τῇδ' ὁμοῦ τίς ἂν γυνὴ
δύναιτο, κοινωνοῦσα τῶν αὐτῶν γάμων;
ὁρῶ γὰρ ἥβην τὴν μὲν ἕρπουσαν πρόσω,
τὴν δὲ φθίνουσαν· ὧν ἀφαρπάζειν φιλεῖ
ὀφθαλμὸς ἄνθος, τῶν δ' ὑπεκτρέπει πόδα.
ταῦτ' οὖν φοβοῦμαι μὴ πόσις μὲν Ἡρακλῆς
ἐμὸς καλεῖται, τῆς νεωτέρας δ' ἀνήρ.
ἀλλ' οὐ γάρ, ὥσπερ εἶπον, ὀργαίνειν καλὸν
γυναῖκα νοῦν ἔχουσαν· ᾗ δ' ἔχω, φίλαι
λυτήριον λύπημα, τῇδ' ὑμῖν φράσω.
ἦν μοι παλαιὸν δῶρον ἀρχαίου ποτὲ
θηρός, λέβητι χαλκέῳ κεκρυμμένον,
ὃ παῖς ἔτ' οὖσα τοῦ δασυστέρνου παρὰ
Νέσσου φθίνοντος ἐκ φόνων ἀνειλόμην,
ὃς τὸν βαθύρρουν ποταμὸν Εὔηνον βροτοὺς
μισθοῦ 'πόρευε χερσίν, οὔτε πομπίμοις

537. παρεισδέδεγμαι, *ad me domum recepi.*

538. λωβητὸν ἐμπόλημα κ. τ. λ. *opprobriosum fructum bonæ mentis meæ.* HERMANN. Verba τῆς ἐμῆς φρενὸς respiciunt quæ dixerat supra v. 461. seqq.

540. ὑπαγκάλισμα. Abstractum pro concreto.

545. τὸ δ' αὖ ξυνοικεῖν. Cf. Matth. Gr. Gr. 543. not. 2.

548. Loquitur negligentius. Nam quum ὧν dixisset, quasi utrumque, et florescentem ætatem et ultra florem prægressam comprehendens, ut pergere debuerit τῶν μέν, τῶν δέ, statim illud ὧν ad primum tantum refert. HERMANN.

550. πόσις conjux est connubio junctus: ἀνὴρ is quo uxor fruitur. HERMANN.

552. ὀργαίνειν passive dictum, *irasci.* Activæ significationis exemplum habes Œd. T. 335.

554. λυτήριον λύπημα. *remedium cum dolore conjunctum.* τῇδε autem respondet præcedenti ᾗ. Cf. v. 1135. εἰπὲ δ' ᾗ νοεῖς.

κώπαις ἐρέσσων οὔτε λαίφεσιν νεώς.
ὃς κἀμέ, τὸν πατρῷον ἡνίκα στόλον
ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὖνις ἑσπόμην,
φέρων ἐπ' ὤμοις, ἡνίκ' ἦν μέσῳ πόρῳ,
ψαύει ματαίαις χερσίν· ἐκ δ' ἤϋσ' ἐγώ,
χὡ Ζηνὸς εὐθὺς παῖς ἐπιστρέψας χεροῖν
ἧκεν κομήτην ἰόν· ἐς δὲ πνεύμονας
στέρνων διερροίζησεν. ἐκθνήσκων δ' ὁ θὴρ
τοσοῦτον εἶπε, παῖ γέροντος Οἰνέως,
τοσόνδ' ὀνήσει τῶν ἐμῶν, ἐὰν πίθη,
πορθμῶν, ὁθούνεχ' ὑστάτην σ' ἔπεμψ' ἐγώ·
ἐὰν γὰρ ἀμφίθρεπτον αἷμα τῶν ἐμῶν
σφαγῶν ἐνέγκῃ χερσίν, ᾗ μελαγχόλους
ἔβαψεν ἰοὺς θρέμμα Λερναίας ὕδρας,
ἔσται φρενός σοι τοῦτο κηλητήριον
τῆς Ἡρακλείας, ὥστε μήτιν' εἰσιδὼν
στέρξαι γυναῖκα κεῖνος ἀντὶ σοῦ πλέον.
τοῦτ' ἐννοήσασ', ὦ φίλαι, δόμοις γὰρ ἦν
κείνου θανόντος ἐγκεκλῃμένον καλῶς,
χιτῶνα τόνδ' ἔβαψα, προσβαλοῦσ' ὅσα
ζῶν κεῖνος εἶπε· καὶ πεπείρανται τάδε.

562. τὸν πατρῷον στόλον. *quum patris missu Herculem primum uxor sequerer.* SCHAEFER. De accusativo cf. Matth. Gr. Gr. 432. 5. Hermannus: Accusativi hi ex brevitate quadam dicendi orti: re proprie sic cogitata: *quum patris missionem perficerem, et Herculem uxor sequerer.*

568. στέρνων διερροίζησεν. *cum stridore per pectus trajecit.*

570. τοσόνδε. Explicatur verbis ἐὰν γὰρ κ. τ. λ. v. 572. seqq.

573. Obscurius loquitur. Hoc vult: *Si sanguinem sumpseris circa eam partem vulneris mei concretum, ubi sagittas, quarum una transfixus sum, hydra veneno suo tinxit.* Qua parte enim sagitta venenata erat, ea parte etiam vulneris cruor veneno infectus est. HERMANN. θρέμμα Λερναίας ὕδρας per periphrasin dixit pro Λερναία ὕδρα.

577. στέρξει La. Lb. B. T. V. Hoc si scripsisset poeta, οὔτινα non μήτινα dici debuerat. Priora autem sic cogitatione accipienda: κηληθήσεται ὁ Ἡρακλῆς. Monuit Hermann.

579. ἐγκεκλεισμένον vulgo. Ad veram lectionem ducunt La. Lb. qui ἐγκεκλειμένον habent. Vid. ad Œd. T. 1262.

580. προσβαλοῦσα. *attendens omnia quæ vivus ille dixerat.* SCHAEFER. v. 844. comparat Gaisfordius, ubi προσέβαλεν Scholiasta interpretatur συνῆκεν.

581. πεπείραται quod est in V.

κακὰς δὲ τόλμας μήτ' ἐπισταίμην ἐγὼ
μήτ' ἐκμάθοιμι, τάς τε τολμώσας στυγῶ·
φίλτροις δ' ἐάν πως τήνδ' ὑπερβαλώμεθα
τὴν παῖδα καὶ θέλκτροισι τοῖς ἐφ' Ἡρακλεῖ,
μεμηχάνηται τοὔργον· εἴ τι μὴ δοκῶ
πράσσειν μάταιον· εἰ δὲ μή, πεπαύσομαι.
ΧΟ. ἀλλ' εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις,
δοκεῖς παρ' ἡμῖν οὐ βεβουλεῦσθαι κακῶς.
ΔΗ. οὕτως ἔχει γ' ἡ πίστις, ὡς τὸ μὲν δοκεῖν
ἔνεστι, πείρᾳ δ' οὐ προσωμίλησά πω.
ΧΟ. ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς οὐδ' εἰ δοκεῖς
ἔχειν, ἔχοις ἂν γνῶμα, μὴ πειρωμένη.
ΔΗ. ἀλλ' αὐτίκ' εἰσόμεσθα, τόνδε γὰρ βλέπω
θυραῖον ἤδη· διὰ τάχους δ' ἐλεύσεται.
μόνον παρ' ὑμῶν εὖ στεγοίμεθ'· ὡς σκότῳ
κἂν αἰσχρὰ πράσσῃς, οὔ ποτ' αἰσχύνῃ πεσεῖ.
ΛΙ. τί χρὴ ποιεῖν; σήμαινε, τέκνον Οἰνέως,
ὡς ἐσμὲν ἤδη τῷ μακρῷ χρόνῳ βραδεῖς.
ΔΗ. ἀλλ' αὐτὰ δή σοι ταῦτα καὶ πράσσω, Λίχα,
ἕως σὺ ταῖς ἔσωθεν ἠγορῶ ξέναις,
ὅπως φέρῃς μοι τόνδε γ' εὐυφῆ πέπλον,
δώρημα κείνῳ τἀνδρὶ τῆς ἐμῆς χερός.
διδοὺς δὲ τόνδε φράζ' ὅπως μηδεὶς βροτῶν
κείνου πάροιθεν ἀμφιδύσεται χροΐ,
μηδ' ὄψεταί νιν μήτε φέγγος ἡλίου
μήθ' ἕρκος ἱερὸν μήτ' ἐφέστιον σέλας,
πρὶν κεῖνος αὐτὸν φανερὸν ἐμφανὴς σταθεὶς
δείξῃ θεοῖσιν ἡμέρᾳ ταυροσφάγῳ.
οὕτω γὰρ ηὔγμην, εἴ ποτ' αὐτὸν ἐς δόμους

Ven. præfert Hermannus: sc. *periculum feci.* πεπείρανται si verum est, recte comparavit Wakefieldius Od. M. 37. ταῦτα μὲν οὕτω πάντα πεπείρανται.

587. εἰ δὲ μή. sc. μὴ δοκῶ. h. e. εἰ δοκῶ. Recte autem πεπαύσομαι ex La. Lb. aliisque revocavit Nevius. Vulgo πεπαύσεται.

596. στεγοίμεθα. *hoc a vobis celatum velimus.*

599. τῷ μακρῷ χρόνῳ. *eo tempore, quod in colloquendo et valedicendo trivimus.* MUSGRAV.

ἴδοιμι σωθέντ', ἢ κλύοιμι, πανδίκως
στελεῖν χιτῶνι τῷδε, καὶ φανεῖν θεοῖς
θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι.
καὶ τῶνδ' ἀποίσεις σῆμ', ὃ κεῖνος εὐμαθὲς
σφραγῖδος ἕρκει τῷδ' ἐπὸν μαθήσεται.
ἀλλ' ἕρπε, καὶ φύλασσε πρῶτα μὲν νόμον,
τὸ μὴ 'πιθυμεῖν πομπὸς ὢν περισσὰ δρᾶν·
ἔπειθ' ὅπως ἂν ἡ χάρις κείνου τέ σοι
κἀμοῦ ξυνελθοῦσ' ἐξ ἁπλῆς διπλῆ φανῇ.
ΛΙ. ἀλλ' εἴπερ Ἑρμοῦ τήνδε πομπεύω τέχνην
βέβαιον, οὔ τι μὴ σφαλῶ γ' ἐν σοί ποτε,
τὸ μὴ οὐ τόδ' ἄγγος ὡς ἔχει δεῖξαι φέρων,
λόγων τε πίστιν ὧν ἔχεις ἐφαρμόσαι.
ΔΗ. στείχοις ἂν ἤδη. καὶ γὰρ ἐξεπίστασαι
τά γ' ἐν δόμοισιν ὡς ἔχοντα τυγχάνει.
ΛΙ. ἐπίσταμαί τε καὶ φράσω σεσωσμένα.
ΔΗ. ἀλλ' οἶσθα μὲν δὴ καὶ τὰ τῆς ξένης ὁρῶν
προσδέγματ', αὐτήν θ' ὡς ἐδεξάμην φίλως.
ΛΙ. ὥστ' ἐκπλαγῆναι τοὐμὸν ἡδονῇ κέαρ.
ΔΗ. τί δῆτ' ἂν ἄλλο γ' ἐννέποις; δέδοικα γὰρ
μὴ πρῴ λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ,
πρὶν εἰδέναι τἀκεῖθεν εἰ ποθούμεθα.
ΧΟ. ὦ ναύλοχα καὶ πετραῖα *στροφὴ α'.*

613. Cf. Schwenk. ad Eumen. v. 403. ed. nostr.

615. *τῷδ' ἐπὸν μαθήσεται.* Sic correxit Billerbeckius. Vulgo *τῷδ' ἔπ' ὄμμα θήσεται*, ut *εὐμαθὲς* accusativum regat, quod fieri non posse puto. Notandum autem libros *ἐπ'*, non *ἔπ'* exhibere.

621. *ἐν σοί.* *tuo judicio.*

623. *Verbaque adjungam fideliter quæ dixisti.* Assentior Wundero *ἔχεις* corruptum habenti. Idem correxit *λέγεις*, quod minus placet.

628. *προσδέργματ'* ex Harl. recepit Dindorfius. Mox *θ'* post *αὐτὴν* cum Ald. et Junt. omittit Hermannus. Sed satis bene vulgatam vertit Gaisfordius: *Scis me excepisse hospitem, et amice excepisse.*

631. *ἂν* cum *μὴ* et optativo sane insolens est: nec tamen *ἂν* corruptum videtur. Nam *λέγοις ἂν* per se positum intelligas: ut *μὴ* non ad *ἂν* sed ad totum *λέγοις ἂν* referatur. Cf. Lexicon nostrum Æschyleum s. v. *ἂν* p. 29. b. Matth. Gr. G. 520. obs. 2.

632. *τἀκεῖθεν.* ab Hercule.

θερμὰ λουτρὰ καὶ πάγους
Οἴτας παραναιετάοντες, οἵ τε μέσσαν
Μηλίδα πὰρ λίμναν
χρυσαλακάτου τ' ἀκτὰν κόρας,
ἔνθ' Ἑλλάνων ἀγοραὶ
Πυλάτιδες κλέονται.
ὁ καλλιβόας τάχ' ὑμῖν *ἀντιστροφὴ α'.*
αὐλὸς οὐκ ἀναρσίαν
ἀχῶν καναχὰν ἐπάνεισιν, ἀλλὰ θείας
ἀντίλυρον μούσας.
ὁ γὰρ Διὸς Ἀλκμήνας κόρος
σεῦται πάσας ἀρετᾶς
λάφυρ' ἔχων ἐπ' οἴκους.
ὃν ἀπόπτολιν εἴχομεν (?) πάντα *στροφὴ β'.*
δυοκαιδεκάμηνον ἀμμένουσαι
χρόνον πελάγιον ἴδριες οὐδέν·
ἁ δέ οἱ φίλα δάμαρ τάλαινα,
δυστάλαινα καρδίαν,

634. *θερμὰ λουτρά.* Harum thermarum meminere veterum scriptorum non pauci: vid. Herod. vii. 176. Pisandrum apud Schol. Arist. Nub. 1051. Catull. 68. 64. Musgr.

636. *Μηλίδα πὰρ λίμναν.* Cf. ad v. 194. Sinum dicit Maliacum. *μέσσα* *fundum* sive intimam sinus istius partem notat.

637. *χρυσαλακάτου τ' ἀκτὰν κόρας.* Artemisium intelligit Scholiasta: sed satis patet, non Eubœæ, sed Thessaliæ oram significari. Bene monet Musgravius omne vicinum littus Dianæ fuisse sacrum, coll. Apoll. Rhod. 1. 571. *Ἄρτεμιν, ἣ κείνας σκοπιὰς ἁλὸς ἀμφιέπεσκεν, Ῥυομένη καὶ γαῖαν Ἰωλκίδα.* *χρυσηλάκατος* *aureis sagittis instructam* notat.

639. *καλέονται* vulgo. *καλεῦνται* emendavit Hermannus. Intelligendum autem, *ubi est qui conventus Pylaicus dicitur*, de quo usu vid. Schaef. Ind. Græc. ad Greg. p. 986. Musgravius *κλέονται*, quod propius a literarum ductu abest. Cf. Œd. T. 1451. *ἔνθα κλῄζεται οὑμὸς Κιθαιρὼν οὗτος.* Mox v. 659. *ἔνθα κλῄζεται θυτήρ.* Significatur autem concilium Amphictyonum.

641. *ἀναρσίαν.* *ingratam.*

642. *ἀχῶν* Elmsl. ad Eur. Heracl. 752. *ἰάχων* libri.

644. *Ἀλκμήνας τε* præter T. omnes. Recte *Jovis ex Alcmena filium* intelligit Hermannus.

647. *πάντα* libri, h. e. *per totum annum.* *παντᾶ* correxit Bothius, nisi quod pravo accentu *πάντᾳ* scripsit. Cf. ad Eumen. 899. *παντᾶ* ad metrum melius, ad sensum minus bonum videtur. Neque enim *omnino* significat *παντᾶ* sed semper *ubique*: nec aliter in Eur. Fr. Inc 87.

650. *τάλαιναν* Dindorfius, verbo in proximum versum translato.

πάγκλαυτος αἰὲν ὤλλυτο·
νῦν δ' Ἄρης (?) οἰστρηθεὶς
† ἐξέλυσ' ἐπίπονον ἁμέραν.
ἀφίκοιτ', ἀφίκοιτο· μὴ σταίη ἀντιστροφὴ β΄.
πολύκωπον ὄχημα ναὸς αὐτῷ,
πρὶν τάνδε πρὸς πόλιν ἀνύσειε,
νασιῶτιν ἑστίαν ἀμείψας,
ἔνθα κλῄζεται θυτήρ·
ὅθεν μόλοι (?) πανάμερος,
τᾶς πειθοῦς παγχρίστῳ
† συγκραθεὶς ἐπὶ προφάσει θηρός.
ΔΗ. γυναῖκες, ὡς δέδοικα μὴ περαιτέρω

652. *πάγκλαυτος* libri. *πάγκλαυστος* Brunckius.

653. *οἰστρηθεὶς* libri, nisi quod *οἰστρωθείς* Ven. Bellum quod exarserat, ad Œchaliam sc. intelligi putat Hermannus. Et loquitur sane de Œchalia expugnata: sed durius dictum *Ἄρης οἰστρηθεὶς* de bello, quod cum olim exarsisset, nunc demum ad finem perductum labores sustulisset. *αὖ στρωθεὶς* legit Musgravius. Conjecerim *οἱ στρωθείς*, nisi *οἱ* v. 652. præcessisset. Forte *εὖ στρωθεὶς* legendum.

654. *ἐξέλυσ' ἐπίπονον ἁμέραν.* Librorum scripturam malui retinere, quam recentiorum correctiones metri, quod nec ita ad amussim congruit, exæquandi caussa admittere. *ἐπίπονον ἁμέραν* longe rectius ex more Epico quam *ἐπιπόνων ἁμερᾶν*, quod conjecit Erfurdtius, dici videtur, neque pluralis in ullo quod sciam loco hoc sensu usurpatur. Cf. Blomf. Gloss. ad Pers. 266. *ἐξέλυσ'* autem dictum sicut in Œd. T. 35. *ὅς γ' ἐξέλυσας— σκληρᾶς ἀοιδοῦ δασμόν.*

657. *πρὶν ἀνύσειε.* optativo utitur quia præcessit optativus *μὴ σταίη.* Cf. Aj. 1222. Phil. 325. 529. 961. et vid. ad Eum. 289.

659. *ἔνθα κλῄζεται.* Cf. sup. v. 639.

660. *πανάμερος* si genuinum est, vix aliud esse potest quam *per totum diem iter faciens* h. e. non cessans. Fatendum tamen *μολεῖν πανάμερος* vix bene Græcum sonare. Genuinum si est, in *πανάμερος* latet participii *πλέων* notio. *πανίμερος* h. e. *ardens desiderio*, conjecit Mudgius. Hermannum *πάντως τῇδε τῇ ἡμέρᾳ* explicuisse satis mirari nequeo.

661. *τᾶς πειθοῦς παγχρίστῳ συγκραθεὶς ἐπὶ προφάσει θηρός.* Sic vulgo legitur. Præcipua in verbo *ἐπὶ προφάσει* difficultas inesse videtur: quomodo enim aliud quam *prætextus* esse possit *πρόφασις* non video. *προφάνσει* correxit Dindorfius: qui *παγχρίστῳ* substantivi alicujus locum occupasse putat. Mihi in mentem venerat *ἐπὶ παρφάσει*, verbum ex Epicorum et Pindari usu satis notum; quod non incommode cum *παγχρίστῳ* jungi posset. Huic non prorsus absimile foret Agam. 94. *χρίσματος ἁγνοῦ μαλακαῖς ἀδόλοισι παρηγορίαις.* Sensum satis bene declaravit Hermannus: *conciliatus prædictione Centauri, suada peruncta.* De metro non constat: tetigit Hermannus Elem. Doct. Metr. lib. II. cap. XXI. 35.

663. *περαιτέρω* gl. *πέρα τοῦ δέοντος.*

πεπραγμέν' ᾖ μοι πάνθ' ὅσ' ἀρτίως ἔδρων.
ΧΟ. τί δ' ἔστι, Δηάνειρα, τέκνον Οἰνέως;
ΔΗ. οὐκ οἶδ'· ἀθυμῶ δ', εἰ φανήσομαι τάχα
κακὸν μέγ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς.
ΧΟ. οὐ δή τι τῶν σῶν Ἡρακλεῖ δωρημάτων;
ΔΗ. μάλιστά γ'· ὥστε μήποτ' ἂν προθυμίαν
ἄδηλον ἔργου τῳ παραινέσαι λαβεῖν.
ΧΟ. δίδαξον, εἰ διδακτόν, ἐξ ὅτου φοβεῖ.
ΔΗ. τοιοῦτον ἐκβέβηκεν, οἷον ἂν φράσαι,
γυναῖκες, ὑμῖν θαῦμ' ἀνέλπιστον μαθεῖν.
ᾧ γὰρ τὸν ἐνδυτῆρα πέπλον ἀρτίως
ἔχριον, ἀργῆτι οἰὸς εὐείρου πόκῳ,
τοῦτ' ἠφάνισται, διάβορον πρὸς οὐδενὸς
τῶν ἔνδον, ἀλλ' ἐδεστὸν ἐξ αὑτοῦ φθίνει,
καὶ ψῇ κατ' ἄκρας σπιλάδος. ὡς δ' εἰδῇς ἅπαν,
ᾗ τοῦτ' ἐπράχθη, μείζον' ἐκτενῶ λόγον.
ἐγὼ γὰρ ὧν ὁ θήρ με Κένταυρος, πονῶν
πλευρὰν πικρᾷ γλωχῖνι, προὐδιδάξατο
παρῆκα θεσμῶν οὐδέν, ἀλλ' ἐσῳζόμην,
χαλκῆς ὅπως δύσνιπτον ἐκ δέλτου γραφήν.
καί μοι τάδ' ἦν πρόρρητα καὶ τοιαῦτ' ἔδρων,
τὸ φάρμακον τοῦτ' ἄπυρον ἀκτῖνός τ' ἀεὶ
θερμῆς ἄθικτον ἐν μυχοῖς σῴζειν ἐμέ,
ἕως ἂν ἀρτίχριστον ἁρμόσαιμί που.
κἄδρων τοιαῦτα. νῦν δ', ὅτ' ἦν ἐργαστέον,

668. *τῶν σῶν Ἡρακλεῖ δωρημάτων.* Cf. ad Œd. Col. 966.

672. *ἂν φράσω* vulgo. *ἂν* a Tragicis abjudicatum est. *ἦν* correxit Erfurdtius. Rectius credo *ἂν φράσαι* Wunderus. Constructio autem ita erit, *οἷον φράσαι* (*quale si dixero*) *ὑμῖν ἂν* (*εἴη*) *θαῦμ' ἀνέλπιστον μαθεῖν.* Hoc interpretando pervertit Wunderus.

673. *λαβεῖν* La. sed altero suprasc.

674. *ἐνδυτῆρα.* *quo se ille indueret.*

675. Hermannum in re valde dubia secutus sum. Vid. ad Œd. Col. v. 1436. *εὐείρου* Valck. ad Phœn. v. 994. *εὐείρῳ* vulgo. Ex Atticistarum regula *εὐέρου* scribit Dindorfius: coll. Phryn. in Bekkeri Anecd. vol. i. p. 39. 18. Ecloga p. 146. ubi videndus Lobeckius. *εὐείρου* tuetur Hermannus.

682. Cf. Œd. T. 318. Recte Brunckius, *memoria condita servavi.*

687. *ἕως ἄν.* Vid. supra ad v. 3.

ἔχρισα μὲν κατ' οἶκον ἐν δόμοις κρυφῇ
μαλλῷ, σπάσασα κτησίου βοτοῦ λάχνην,
κἄθηκα συμπτύξασ' ἀλαμπὲς ἡλίου
κοίλῳ ζυγάστρῳ δῶρον, ὥσπερ εἴδετε.
εἴσω δ' ἀποστείχουσα δέρκομαι φάτιν
ἄφραστον, ἀξύμβλητον ἀνθρώπῳ μαθεῖν.
τὸ γὰρ κάταγμα τυγχάνω ῥίψασά πως
τῆς οἰός, ᾧ προὔχριον, ἐς μέσην φλόγα,
ἀκτῖν' ἐς ἡλιῶτιν· ὡς δ' ἐθάλπετο,
ῥεῖ πᾶν ἄδηλον καὶ κατέψηκται χθονί,
μορφῇ μάλιστ' εἰκαστὸν ὥστε πρίονος
ἐκβρώματ' ἂν βλέψειας ἐν τομῇ ξύλου.
τοιόνδε κεῖται προπετές. ἐκ δὲ γῆς, ὅθεν
προὔκειτ', ἀναζέουσι θρομβώδεις ἀφροί,
γλαυκῆς ὀπώρας ὥστε πίονος ποτοῦ
χυθέντος εἰς γῆν Βακχίας ἀπ' ἀμπέλου.
ὥστ' οὐκ ἔχω τάλαινα ποῖ γνώμης πέσω·
ὁρῶ δέ μ' ἔργον δεινὸν ἐξειργασμένην.
πόθεν γὰρ ἄν ποτ' ἀντὶ τοῦ θνήσκων ὁ θὴρ
ἐμοὶ παρέσχ' εὔνοιαν, ἧς ἔθνησχ' ὕπερ ;
οὐκ ἔστιν. ἀλλὰ τὸν βαλόντ' ἀποφθίσαι
χρῄζων ἔθελγέ μ'. ὧν ἐγὼ μεθύστερον,
ὅτ' οὐκ ἔτ' ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι.
μόνη γὰρ αὐτόν, εἴ τι μὴ ψευσθήσομαι
γνώμης, ἐγὼ δύστηνος ἐξαποφθερῶ.
τὸν γὰρ βαλόντ' ἄτρακτον οἶδα καὶ θεὸν
Χείρωνα πημήναντα, χὤσπερ ἂν θίγῃ,
φθείρει τὰ πάντα κνώδαλ'· ἐκ δὲ τοῦδ' ὅδε

693. *φάτιν. rem.* Cf. Ellendt. Lex. in v.

696. Hunc versum delet Dobræus, Dindorfio probante.

702. ὅθεν non pro ὅθι dictum, sed per attractionem positum propter ἐκ γῆς. HERMANN.

703. γλαυκῆς ὀπώρας. *ipsum vini florem* notari monet Hermannus. Male Musgravius de auctumni tempore explicat.

715. χὤσπερ ἂν θιγῇ. h. e. καὶ ὅσπερ. DOBRÆUS.

716. τοῦδ' ad Νέσσου refert Scholiasta. Rectius fortasse ad ἄτρακτον Hermannus, vertens: *Ex illa sagitta atrum sanguinis virus vulneri instillatum quomodo non Herculem quoque perdet?*

σφαγῶν διελθὼν ἰὸς αἵματος μέλας
πῶς οὐκ ὀλεῖ καὶ τόνδε; δόξῃ γοῦν ἐμῇ.
καίτοι δέδοκται, κεῖνος εἰ σφαλήσεται,
ταύτῃ σὺν ὁρμῇ κἀμὲ συνθανεῖν ἅμα.
ζῆν γὰρ κακῶς κλύουσαν οὐκ ἀνασχετόν,
ἥτις προτιμᾷ μὴ κακὴ πεφυκέναι.
ΧΟ. ταρβεῖν μὲν ἔργα δείν' ἀναγκαίως ἔχει,
τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος.
ΔΗ. οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν
οὐδ' ἐλπίς, ἥτις καὶ θράσος τι προξενεῖ.
ΧΟ. ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι μὴ 'ξ ἑκουσίας
ὀργὴ πέπειρα, τῆς σε τυγχάνειν πρέπει.
ΔΗ. τοιαῦτα δ' ἂν λέξειεν οὐχ ὁ τοῦ κακοῦ
κοινωνός, ἀλλ' ᾧ μηδέν ἐστ' οἴκοις βαρύ.
ΧΟ. σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω λόγον,
εἰ μή τι λέξεις παιδὶ τῷ σαυτῆς· ἐπεὶ
πάρεστι, μαστὴρ πατρὸς ὃς πρὶν ᾤχετο.
ΥΛ. ὦ μῆτερ, ὡς ἂν ἐκ τριῶν σ' ἓν εἱλόμην,
ἢ μηκέτ' εἶναι ζῶσαν, ἢ σεσωσμένην
ἄλλου κεκλῆσθαι μητέρ', ἢ λῴους φρένας
τῶν νῦν παρουσῶν τῶνδ' ἀμείψασθαί ποθεν.
ΔΗ. τί δ' ἐστίν, ὦ παῖ, πρός γ' ἐμοῦ στυγούμενον ;
ΥΛ. τὸν ἄνδρα τὸν σὸν ἴσθι, τὸν δ' ἐμὸν λέγω
πατέρα, κατακτείνασα τῇδ' ἐν ἡμέρᾳ.
ΔΗ. οἴμοι, τίν' ἐξήνεγκας, ὦ τέκνον, λόγον ;
ΥΛ. ὃν οὐχ οἷόν τε μὴ τελεσθῆναι. τὸ γὰρ
φανθὲν τίς ἂν δύναιτ' ἂν ἀγένητον ποιεῖν ;
ΔΗ. πῶς εἶπας, ὦ παῖ ; τοῦ παρ' ἀνθρώπων μαθὼν

720. ταύτῃ ξὺν ὁρμῇ conatum respicit quo ne Herculem perdidisset metuebat. ταὐτῇ Brunckius.

727. ἐξ ἑκουσίας. Cf. supra v. 395.

731. τὸν πλείω λόγον. Cf. Phil. 576. μή νυν μ' ἔρῃ τὰ πλείονα.

738. πρός γ' ἐμοῦ. *quod ego fecerim.*

743. Vulgo δύναιτ' ἀγέννητον ποιεῖν. ἂν ἀγένητον Suidas s. v. οἴμοι. ἀγένητον etiam La.

744. τοῦ παρ'. Similem præpo-

ἄζηλον οὕτως ἔργον εἰργάσθαι με φῄς;
ΥΛ. αὐτὸς βαρεῖαν ξυμφορὰν ἐν ὄμμασιν
πατρὸς δεδορκὼς κοὐ κατὰ γλῶσσαν κλύων.
ΔΗ. ποῦ δ' ἐμπελάζεις τἀνδρὶ καὶ παρίστασαι;
ΥΛ. εἰ χρὴ μαθεῖν σε, πάντα δὴ φωνεῖν χρεών.
ὅθ' εἷρπε κλεινὴν Εὐρύτου πέρσας πόλιν,
νίκης ἄγων τροπαῖα κἀκροθίνια,
ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον
Κήναιόν ἐστιν, ἔνθα πατρῴῳ Διῒ
βωμοὺς ὁρίζει τεμενίαν τε φυλλάδα·
οὗ νιν τὰ πρῶτ' ἐσεῖδον ἄσμενος πόθῳ.
μέλλοντι δ' αὐτῷ πολυθύτους τεύχειν σφαγὰς
κῆρυξ ἀπ' οἴκων ἵκετ' οἰκεῖος Λίχας,
τὸ σὸν φέρων δώρημα, θανάσιμον πέπλον·
ὃν κεῖνος ἐνδύς, ὡς σὺ προὐξεφίεσο,
ταυροκτονεῖ μὲν δώδεκ' ἐντελεῖς ἔχων
λείας ἀπαρχὴν βοῦς· ἀτὰρ τὰ πάνθ' ὁμοῦ
ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα.
καὶ πρῶτα μὲν δείλαιος, ἵλεῳ φρενί,
κόσμῳ τε χαίρων καὶ στολῇ, κατεύχετο·
ὅπως δὲ σεμνῶν ὀργίων ἐδαίετο
φλὸξ αἱματηρὰ κἀπὸ πιείρας δρυός,
ἱδρὼς ἀνῄει χρωτὶ καὶ προσπτύσσεται
πλευραῖσιν ἀρτίκολλος, ὥστε τέκτονος,
χιτὼν ἅπαν κατ' ἄρθρον· ἦλθε δ' ὀστέων
ἀδαγμὸς ἀντίσπαστος· εἶτα φοινίας

sitionis trajectionem præbent libri aliquot in Œd. T. 525.

754. Cf. supra ad v. 238.

761. τὰ πάνθ' ὁμοῦ ἑκατόν. Dem. Aphob. l. 817. κατὰ διακοσίας καὶ τριακοσίας ὁμοῦ τι τάλαντον διακεχρημένον.

764. κατηύχετο libri, ut videtur.

765. σεμνῶν ὀργίων. Genitivus pendet ab ἀπὸ in v. sequenti. Cf. ad Œd. T. 734.

767. προσπτύσσεται Musgravius, et Porsonus ad Med. v. 1138. Libri προσπτύσσετο.

768. ὥστε τέκτονος. *ut statuarii.* h. e. ut quam statuarius exprimit cum corpore ipso cohærentem. HERMANN.

770. Libri ὀδαγμός. ἀδαγμὸς Pierson. ad Mœr. p. 41. ex Photio p. 7. 21. ἀδαγμός, ὀδαξησμός, ὅπερ ἐστὶ κνησμός. οὕτως Σοφοκλῆς.

ἐχθρᾶς ἐχίδνης ἰὸς ὣς ἐδαίνυτο.
ἐνταῦθα δὴ βόησε τὸν δυσδαίμονα
Λίχαν, τὸν οὐδὲν αἴτιον τοῦ σοῦ κακοῦ,
ποίαις ἐνέγκαι τόνδε μηχαναῖς πέπλον·
ὁ δ' οὐδὲν εἰδὼς δύσμορος τὸ σὸν μόνης
δώρημ' ἔλεξεν, ὥσπερ ἦν ἐσταλμένον.
κἀκεῖνος ὡς ἤκουσε καὶ διώδυνος
σπαραγμὸς αὐτοῦ πνευμόνων ἀνθήψατο,
μάρψας ποδός νιν, ἄρθρον ᾗ λυγίζεται,
ῥίπτει πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν·
κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει, μέσου
κρατὸς διασπαρέντος αἵματός θ' ὁμοῦ.
ἅπας δ' ἀνευφήμησεν οἰμωγῇ λεώς,
τοῦ μὲν νοσοῦντος, τοῦ δὲ διαπεπραγμένου·
κοὐδεὶς ἐτόλμα τἀνδρὸς ἀντίον μολεῖν·
ἐσπᾶτο γὰρ πέδονδε καὶ μετάρσιος,
βοῶν, ἰύζων· ἀμφὶ δ' ἐκτύπουν πέτραι,
Λοκρῶν ὄρειοι πρῶνες Εὐβοίας τ' ἄκραι.
ἐπεὶ δ' ἀπεῖπε, πολλὰ μὲν τάλας χθονὶ
ῥιπτῶν ἑαυτόν, πολλὰ δ' οἰμωγῇ βοῶν,
τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος
σοῦ τῆς ταλαίνης, καὶ τὸν Οἰνέως γάμον
οἷον κατακτήσαιτο λυμαντὴν βίου,
τότ' ἐκ προσέδρου λιγνύος διάστροφον
ὀφθαλμὸν ἄρας εἶδέ μ' ἐν πολλῷ στρατῷ
δακρυρροοῦντα, καί με προσβλέψας καλεῖ,
ὦ παῖ, πρόσελθε, μὴ φύγῃς τοὐμὸν κακόν,
μηδ' εἴ σε χρὴ θανόντι συνθανεῖν ἐμοί·

771. ἰὸς ὡς ἐδαίνυτο vulgo, commate tantum post ἐδαίνυτο posito. Correxit Wakefieldius. Scilicet nesciebat Hyllus hydræ veneno revera tinctam fuisse vestem. Cf. v. 937.

772. βόησε. Vid. ad Œd. T. 1249.

780. ῥίπτει Elmsl. Vulgo ῥιπτεῖ.

783. ἀνευφήμησεν. h. e. *ejulavit, meliora precans.*

790. ῥιπτῶν conjecit Hermannus. ῥίπτων vulgo.

791. ἐνδατούμενος. *conviciis incessens.* Cf. Blomf. Gloss. S. c. T. v. 575.

796. καλεῖ Stephanus. κάλει libri Cf. 267. 326. Œd. T. 1245.

ἀλλ' ἆρον ἔξω, καὶ μάλιστα μὲν μέθες
ἐνταῦθ' ὅπου με μή τις ὄψεται βροτῶν·
εἰ δ' οἶκτον ἴσχεις, ἀλλά μ' ἔκ γε τῆσδε γῆς
πόρθμευσον ὡς τάχιστα, μηδ' αὐτοῦ θάνω.
τοσαῦτ' ἐπισκήψαντος, ἐν μέσῳ σκάφει
θέντες σφε πρὸς γῆν τήνδ' ἐκέλσαμεν μόλις
βρυχώμενον σπασμοῖσι. καί νιν αὐτίκα
ἢ ζῶντ' ἐσόψεσθ', ἢ τεθνηκότ' ἀρτίως.
τοιαῦτα, μῆτερ, πατρὶ βουλεύσασ' ἐμῷ
καὶ δρῶσ' ἐλήφθης, ὧν σε ποίνιμος Δίκη
τίσαιτ' Ἐρινύς τ'. εἰ θέμις δ', ἐπεύχομαι·
θέμις δ', ἐπεί μοι τὴν θέμιν σὺ προὔβαλες,
πάντων ἄριστον ἄνδρα τῶν ἐπὶ χθονὶ
κτείνασ', ὁποῖον ἄλλον οὐκ ὄψει ποτέ.
ΧΟ. τί σῖγ' ἀφέρπεις; οὐ κάτοισθ' ὁθούνεκα
ξυνηγορεῖς σιγῶσα τῷ κατηγόρῳ;
ΥΛ. ἐᾶτ' ἀφέρπειν. οὖρος ὀφθαλμῶν ἐμῶν
αὐτῇ γένοιτ' ἄπωθεν ἑρπούσῃ καλῶς.
ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν
μητρῷον, ἥτις μηδὲν ὡς τεκοῦσα δρᾷ;
ἀλλ' ἑρπέτω χαίρουσα· τὴν δὲ τέρψιν ἣν
τὠμῷ δίδωσι πατρί, τήνδ' αὐτὴ λάβοι.
ΧΟ. ἴδ' οἷον, ὦ παῖδες, προσέμιξεν ἄφαρ — στροφὴ α΄.
τοὔπος τὸ θεοπρόπον ἡμῖν
τᾶς παλαιφάτου προνοίας,
ὅτ' ἔλακεν, ὁπότε τελεόμηνος ἐκφέροι

799. *με θὲς* Porsonus. Male.

802. *μηδ' αὐτοῦ θάνω.* Vid. ad Œd. Col. 174.

810. *σὺ προὔβαλες.* *abjecisti, proculcasti.* *προὔλαβες* La. T.

816. *καλῶς.* *quod faustum sit nobis.* Sarcasmus. *καλὸς* male Turn.

817. *ὄγκον ὀνόματος μητρῷον.* Dictum volunt per hypallagen pro *ὄγκον ὀνόματος μητρῴου.* Sed vid. ad Eumen. 283.

821. *προσέμιξεν.* *Accessit, ad effectum pervenit.*

824. *ἔλακεν.* sc. *ὁ θεός*, quod in *θεοπρόπον* latere recte monuit Hermannus. Minus autem bene etiam *ὅ τε* ad *θεὸς* referunt: quod *ὅτε* scribendum erat, et arctissime cum *τοὔπος τὸ θεοπρόπον* conjungendum, usu eodem de quo dictum supra ad v. 240.

ἐκφέροι. exiisset. Musgravius confert Œd. Col. 1424.

δωδέκατος ἄροτος, ἀναδοχὰν τελεῖν πόνων
τῷ Διὸς αὐτόπαιδι· καὶ τάδ' ὀρθῶς
ἔμπεδα κατουρίζει.
πῶς γὰρ ἂν ὁ μὴ λεύσσων
† ἔτι ποτ' ἔτ' ἐπίπονον ἔχοι θανὼν λατρείαν;
εἰ γάρ σφε Κενταύρου φονίᾳ νεφέλᾳ — ἀντιστροφὴ α΄.
χρίει δολοποιὸς ἀνάγκα
πλευρὰ προστακέντος ἰοῦ,
ὃν τέκετο θάνατος, ἔτεκε δ' αἰόλος δράκων,
πῶς ὅδ' ἂν ἀέλιον ἕτερον ἢ τανῦν ἴδοι,
δεινοτάτῳ μὲν ὕδρας προστετακὼς
φάσματι; μελαγχαίτα τ'

825. *τελεῖν* ad *θεὸς* referendum, quod et mox ad *κατουρίζει* supplendum. Oraculo edixerat Deus *se laborum susceptioni finem esse impositurum.* *ἀναδοχὴ πόνων* *labores* notat *ordine perpetuo susceptos.*

827. *κατουρίζει.* *ad eventum perducit Deus.*

829. Vulgatam sicut in libris legitur exhibui; nisi quod præter Turn. *ποτὲ* plene scriptum præbent. Post *λεύσσων* Wunderus *φῶς* addidit, quod certe plerumque cum locutione *μὴ λεύσσειν* conjunctum reperitur; et propter *πῶς* superpositum facile excidere potuit. Idem *θανὼν* ex interpretamento illatum fuisse judicat: et *ἐπίπονον λατρείαν* in *ἔτι πόνων λατρείαν* mutavit. Verum in loco tam incerto ampliandum censeo. Post *ἐπίπονον* Brunckius *γ'* metri caussa intulit.

831. Verba sic construenda: *εἰ γὰρ δολοποιὸς ἀνάγκα χρίει σφε πλευρὰ Κενταύρου φονίᾳ νεφέλᾳ, προστακέντος ἰοῦ.* *Nam si ejus latera tingit mortifera Centauri nube dolosa inevitabilis machinatio.* *Ἀνάγκη* vim omnen notat, quæ evitari non potest. Atqui fatale erat, ut periret, qui veneno illo imbueretur. Est autem *δολοποιὸς ἀνάγκα* non de artificio Deianiræ, sed de dolo Centauri intelligendum, qui falsa dixerat Deianiræ. HERMANN.

φονίᾳ νεφέλᾳ. Recte de *veste veneno imbuta* explicuit Huschkius Anal. Crit. p. 139. *Mortem* minus bene intelligit Erfurdtius, et sic Hermannus, coll. Hom. Il. Π. 350. Od. Δ. 180. *θανάτου μέλαν νέφος ἀμφεκάλυψεν*, quæ similia non sunt.

833. *πλευρὰ* Erfurdtius. Libri *πλευρᾷ.*

834. *Quem genuit mors, peperit autem draco.* HERMANN. *ἔτρεφε δ'* Lobeck. ad Aj. v. 706.

835. De prima in *ἀέλιον* correpta vid. Seidler. de vers. dochm. p. 103.

836. *δεινοτάτῳ μὲν ὕδρας προστετακὼς φάσματι.* Hæc sic accipienda erunt, ut *ὕδρας φάσματι* pro *ὕδρᾳ*, *ὕδρᾳ* autem pro veste hydræ veneno imbuta intelligatur: quæ quam dure efferantur neminem latebit. Minime tamen placet *στάγματι* vel *νάματι* (h. e. *νήματι*) quorum illud Wakefieldius, hoc conjecit Wunderus.

ἄμμιγά νιν αἰκίζει
† [Νέσσου θ'] ὕπο φοίνια δολόμυθα κέντρ' ἐπιζέσαντα.
ὧν ἅδ' ἁ τλάμων ἄοκνον στροφὴ β'.
μεγάλαν προσορῶσα δόμοισι βλάβαν νέον
ἀϊσσόντων γάμων
τὰ μὲν οὔτι προσέβαλε, τὰ δ' ἀπ' ἀλλόθρου
γνώμας μολόντ' ὀλεθρίαισι συναλλαγαῖς,
ἦπου ὀλοὰ στένει,
ἦπου ἀδινῶν χλωρὰν
τέγγει δακρύων ἄχναν.
ἁ δ' ἐρχομένα
μοῖρα προφαίνει δολίαν
καὶ μεγάλαν ἄταν.

840. Libri Νέσσου θ' ὕπο φοίνια (non φόνια) δολόμυθα κέντρ'. Nihil certi de hoc loco prolatum vidi, nisi quod plures viderunt, sc. Νέσσου nihil nisi glossema esse; cujus in locum θηρὸς ex literis θ' ὑπο eruendum non sine magna probabilitate restituendum putat Dindorfius. ὕπο si retineatur cum verbis μελαγχαίτα θηρὸς jungatur necesse est: neque enim ὑποφόνια κέντρα eo sensu de quo dixit Harpocrat. p. 338. poetam scripturum fuisse puto, sc. *cædem expiantes*. Κέντρα autem dolores sunt quibus ex Centauri dolis cruciari Hercules dicitur.

841. ὧν jungendum cum τὰ μὲν κ. τ. λ. 844. Totus locus sic intelligendus: *Quarum rerum* (Centauri dolosa commenta dicit) *partim misera non animum advertit* (quum scilicet Nesso fidem habens decepta fuerit), *partim vero ex alius ingenio cognitas habens* (Hyllum dicit, a quo compererat funestum se Herculi donum misisse), *propter fatalem hanc conciliationem nunc gemit* etc.

ἄοκνον. *jamjam imminentem.* δόμοισι a βλάβαν regitur.

843. νέον ἀϊσσόντων γάμων. *propter illud quod jam instabat matrimonium.* νέον habet cod. Ven. quod verum puto. Cf. ad v. 854. Vulgo νέων.

844. ἀλλοθρόου libri. Correxit Erfurdtius.

845. ὀλεθρίαις ξυναλλαγαῖς libri veteres. Correxit Hermannus ex T. Recte, nisi vitii sedes in antistrophicis potius quærenda.

846. ἤπου bis libri. Correxit Brunckius. Repetitum cum vi, sicut δῆτα et similia. Schol. ὄντως δή. ὀλοὰ dicitur Deianira quod perniciem intulit Herculi. Wunder. Notandum autem in versus fine syllabam penultimam brevem longæ in antistrophico respondere: de quo dixit Hermann. Elem. Doctr. M. p. 235. θρηνεῖ legendum esse suspicati sunt alii. Ejusdem mensuræ versus indicavit Dindorfius supra 828. 829. Phil. 832. 835. 836.

848. τέγγει. *fundit.* Vid. Lobeck. ad Aj. 376. De voce ἀδινὸς exposuit Buttmann. Lexil. s. v.

χλωράν. *uberem, copiosum* lacrymarum fontem notat. Conferri potest θαλερὸν δάκρυ sæpius ab Homero frequentatum.

849. ἁ δ' ἐρχομένα. De articulo ita præposito cf. ad Œd. Col. 1221.

ἔρρωγεν παγὰ δακρύων, ἀντιστροφὴ β'.
κέχυται νόσος, ὦ πόποι, οἷον ἀνάρσιον
οὔπω Ἡρακλέους
ἀγακλειτοῦ ἐπέμολε πάθος οἰκτίσαι.
ἰὼ κελαινὰ λόγχα προμάχου δορός,
ἃ τότε † θοὰν νύμφαν
ἄγαγες ἀπ' αἰπεινᾶς
τάνδ' Οἰχαλίας αἰχμᾷ·
ἁ δ' ἀμφίπολος
Κύπρις ἄναυδος φανερὰ
τῶνδ' ἐφάνη πράκτωρ.

ΧΟ. πότερον ἐγὼ μάταιος, ἢ κλύω τινὸς
οἴκτου δι' οἴκων ἀρτίως ὁρμωμένου;
τί φημί;
ἠχεῖ τις οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ
κωκυτὸν εἴσω· καί τι καινίζει στέγη.

852. ἔρρωγεν παγὰ δακρύων. *larga nobis lacrymandi materies oblata est.*

853. κέχυται νόσος. *diffusus est morbus* sc. per Herculis membra. Mox vulgo leguntur οἷον ἄναρ | σίων οὔπω ἀγακλειτὸν | Ἡρακλέους ἀπέμολε πάθος οἰκτίσαι. Voces Ἡρακλέους ἀγακλειτὸν transposuit Musgravius. Mox ἐπέμολε præbent Tricliniani. Vertit Hermannus: *Quale ne ab hostibus quidem insigne Herculis malum gemendum venit.* Vereor tamen ut ἀναρσίων ἐπέμολε ita accipi possit. Correxi ἀνάρσιον, quod si verum videatur, νέον ex codice Veneto in strophico rescribendum erit: h. e. *quale malum infestum.* Similiter duo adjectiva conjuncta Æsch. Pers. 179. ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην. Deinde ἀγακλειτοῦ rescripsi: quod melius cum verbo Ἡρακλέους quam cum πάθος convenire videtur. Non improbabilis tamen est Dindorfii suspicio Ἡρακλέους ex interpretamento natum esse.

856. κελαινά. Sic dicit λόγχην propter exitialem belli illius exitum. προμάχου recte monet Hermannus notare hastam, quam primores gestant. Hoc voluit Schol. τὸ προμάχου ἐπὶ τοῦ Ἡρακλέους ληπτέον, οἷον τοῦ πρὸ πάντων μαχομένου.

857. θοὰν νύμφαν. Hoc, quod vulgo legitur, quid sit prorsus nescio. Absurdæ sunt quas vidi explicationes. Neque θοὰν pro θοῶς esse dictum potest. θοᾷ corrigendum puto, quod cum αἰχμᾷ aptius conjungitur.

862. ἄναυδος. Clandestinum Herculis amorem respicit.

863—870. Inter hemichoria distribuit Brunckius. Rectius singulas Chori personas loqui monuit Hermannus. Cf. ad v. 883.

865. τί φημί; vel τί φημι; libri. τὶ φημί; correxit Hermannus, coll. λέγω τι; Œd. T. 1475. Non est enim *quid dico?* sed *ecquid dico?*

867. καινίζειν. Cf. Blomf. Gloss. ad Ag. v. 933. 1038.

ξύνες δὲ
τήνδ' ὡς (?) ἀήθης καὶ συνωφρυωμένη
χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά τι.

ΤΡΟΦΟΣ.

ὦ παῖδες, ὡς ἄρ' ἡμὶν οὐ σμικρῶν κακῶν
ἦρξεν τὸ δῶρον Ἡρακλεῖ τὸ πόμπιμον.
ΧΟ. τί δ', ὦ γεραιά, καινοποιηθὲν λέγεις;
ΤΡ. βέβηκε Δηάνειρα τὴν πανυστάτην
ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός.
ΧΟ. οὐ δή ποθ' ὡς θανοῦσα; ΤΡ. πάντ' ἀκήκοας.
ΧΟ. τέθνηκεν ἡ τάλαινα; ΤΡ. δεύτερον κλύεις.
ΧΟ. τάλαιν' ὀλεθρία· τίνι τρόπῳ θανεῖν σφε φῄς;
ΤΡ. σχετλιώτατα πρός γε πρᾶξιν. ΧΟ. εἰπὲ τῷ μόρῳ,
γύναι, ξυντρέχει.
ΤΡ. † αὐτὴν διηίστωσε. ΧΟ. τίς θυμός, ἢ τίνες
νόσοι τάνδ' αἰχμᾷ
βέλεος κακοῦ ξυνεῖλε †; πῶς ἐμήσατο
πρὸς θανάτῳ θάνατον
ἀνύσασα μόνα;
ΤΡ. στονόεντος ἐν τομᾷ σιδάρου.

869. ἀήθης. *præter solitum tristis.* Sed recte ἀήδης Wunderum correxisse arbitror.

870. σημαίνουσα La. B. Ald. σημανοῦσα Brunckius tacite. Vid. ad Œd. Col. 366. Ant. 242.

872. πόμπιμον. Passivum est, *missum.*

878. τάλαιν' ὀλεθρία. Hæc si genuina sunt, non ad nutricem sed ad Deianiram referenda erunt.

879—895. Versus hi non uno in loco vitiosi, neque constat de metro. Sententia satis aperta est.

879. τῷ μόρῳ ξυντρέχει. *quodnam in mortis genus inciderit.* Cf. Œd. T. 113. τῷδε συμπίπτει φόνῳ, ubi similiter præsens pro præterito usurpatur.

881. τίνες νόσοι. *quæ dementia.* τίς autem et τίνες omittenda censet Erfurdtius.

883. αἰχμὰν veteres: quod inepte de Deianira explicat Scholiasta. αἰχμὰ Tricliniani. αἰχμᾷ Hermannus, qui hæc omnia Choro per partes loquenti assignat. τίς θυμός, et ἢ τίνες νόσοι a diversis proferri quivis videat.

884. ξυνεῖλε. *interemit.*

887. σιδάρου Erfurdtius. Vulgo σιδήρου.

ΧΟ. ἐπεῖδες, ὦ μάταιε, τήνδε τὴν ὕβριν;
ΤΡ. ἐπεῖδον, ὡς δὴ πλησία παραστάτις.
ΧΟ. τίς ἦν; πῶς; φέρ' εἰπέ.
ΤΡ. αὐτὴ πρὸς αὑτῆς χειροποιεῖται τάδε.
ΧΟ. τί φωνεῖς; ΤΡ. σαφηνῆ.
ΧΟ. † ἔτεκεν ἔτεκεν μεγάλαν
ἁ νέορτος ἅδε νύμφα
δόμοισι τοῖσδ' Ἐρινύν.
ΤΡ. ἄγαν γε· μᾶλλον δ', εἰ παροῦσα πλησία
ἔλευσσες οἷ' ἔδρασε, κάρτ' ἂν ᾤκτισας.
ΧΟ. καὶ ταῦτ' ἔτλη τις χεὶρ γυναικεία κτίσαι;
ΤΡ. δεινῶς γε· πεύσει δ', ὥστε μαρτυρεῖν ἐμοί.
ἐπεὶ παρῆλθε δωμάτων εἴσω μόνη,
καὶ παῖδ' ἐν αὐλαῖς εἶδε κοῖλα δέμνια
στορνύνθ', † ὅπως ἄψορρον ἀντῴη πατρί,
κρύψασ' ἑαυτὴν ἔνθα μή τις εἰσίδοι,
βρυχᾶτο μὲν βωμοῖσι προσπίπτουσ' ὅτι
γένοιτ' ἐρήμη, κλαῖε δ' ὀργάνων ὅτου
ψαύσειεν οἷς ἐχρῆτο δειλαία πάρος·
ἄλλῃ δὲ κἄλλῃ δωμάτων στρωφωμένη,
εἴ του φίλων βλέψειεν οἰκετῶν δέμας,
ἔκλαεν ἡ δύστηνος εἰσορωμένη,
αὐτὴ τὸν αὑτῆς δαίμον' ἀνακαλουμένη,

888. μάταιε Hermannus. Vulgo ματαία. Mox τήνδε τὴν pro τάνδ' correxit Wunderus.

893. ἔτεκεν ἔτεκεν μεγάλαν. Metrum incertum.

898. 899. Hos versus insititios putat Dindorfius.

901. κοῖλα δέμνια] κοῖλος epitheton est lectulo satis accommodatum. Ineptum videtur κοινὰ quæ varia est lectio apud Schol.

902. ὅπως ἄψορρον ἀντῴη πατρί. Hæc aliena a loci mente esse bene docuit Wunderus Emend. in Trach. p. 112. seq. Quid scripserit poeta non liquet.

906. Iterum assentior Wundero existimanti versum post h. v. excidisse, in quo ὄργανα illa ad instrumenta retulerit poeta quibus Deianira vestem Herculi mittendam texuisset. Nam ὄργανα si absolute accipias, inepta evadit sententia.

908. οἰκετῶν non solum famulos, sed omnes qui ad familiam pertinent, significare bene monuit Wunderus: id quod ex adjecto φίλων intelligi potest. Idem affert locum Herodoti viii. c. 106. ubi τοὺς οἰκέτας verbis τὰ τέκνα καὶ τὴν γυναῖκα mox explicatur.

910. αὐτὴ τὸν αὑτῆς] αὐτὴ cor-

καὶ τὰς ἄπαιδας ἐς τὸ λοιπὸν οὐσίας.
ἐπεὶ δὲ τῶνδ' ἔληξεν, ἐξαίφνης σφ' ὁρῶ
τὸν Ἡράκλειον θάλαμον εἰσορμωμένην.
κἀγὼ λαθραῖον ὄμμ' ἐπεσκιασμένη
φρούρουν· ὁρῶ δὲ τὴν γυναῖκα δεμνίοις
τοῖς Ἡρακλείοις στρωτὰ βάλλουσαν φάρη.
ὅπως δ' ἐτέλεσε τοῦτ', ἐπενθοροῦσ' ἄνω
καθέζετ' ἐν μέσοισιν εὐναστηρίοις,
καὶ δακρύων ῥήξασα θερμὰ νάματα
ἔλεξεν, ὦ λέχη τε καὶ νυμφεῖ' ἐμὰ
τὸ λοιπὸν ἤδη χαίρεθ', ὡς ἔμ' οὔποτε
δέξεσθ' ἔτ' ἐν κοίταισι ταῖσδ' εὐνήτριαν.
τοσαῦτα φωνήσασα συντόνῳ χερὶ
λύει τὸν αὑτῆς πέπλον, ᾗ χρυσήλατος
προὔκειτο μαστῶν περονίς, ἐκ δ' ἐλώπισεν
πλευρὰν ἅπασαν ὠλένην τ' εὐώνυμον.
κἀγὼ δρομαία βᾶσ', ὅσονπερ ἔσθενον,
τῷ παιδὶ φράζω τῆς τεχνωμένης τάδε.
κἀν ᾧ τὸ κεῖσε δεῦρό τ' ἐξορμώμεθα,
ὁρῶμεν αὐτὴν ἀμφιπλῆγι φασγάνῳ
πλευρὰν ὑφ' ἧπαρ καὶ φρένας πεπληγμένην.
ἰδὼν δ' ὁ παῖς ᾤμωξεν. ἔγνω γὰρ τάλας
τοὔργον κατ' ὀργὴν ὡς ἐφάψειεν τόδε,
ὄψ' ἐκδιδαχθεὶς τῶν κατ' οἶκον οὕνεκα
ἄκουσα πρὸς τοῦ θηρὸς ἔρξειεν τάδε.
κἀνταῦθ' ὁ παῖς δύστηνος οὔτ' ὀδυρμάτων
ἐλείπετ' οὐδέν, ἀμφί νιν γοώμενος,

ruptum videtur. Nec placet Wunderi emendatio *αὑτῇ τὸν αὑτῆς δαίμον' ἐγκαλουμένη.*

911. *τὰς ἄπαιδας οὐσίας.* Mira locutio, nec tamen fortasse corrigenda. Angl. *her widowed being* vel *estate.* Certe ineptæ sunt explicationes quibus ad rem familiarem vel concubitum *οὐσίας* referunt nonnulli.

914. *ὄμμ'.* Accusativus a participio regitur.

924. *ᾗ* Wakefieldius. *ᾧ* vulgo, quod vix intelligo.

928. *τῆς τεχνωμένης.* Sine caussa opinor Musgravius ita hæc verba cum *φράζω* construxit ut in v. 1122. *τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων.*

936. *δύστηνος* per se accipiendum: caveant tirones ne *ὁ παῖς δύστηνος* jungant; quod solœcum foret. Mox *ὀδυρμάτων ἐλείπετ' οὐδὲν* est *non a lamentatione desistebat.*

938. *πλευρόθεν* h. e. *πλευρᾷ.*

942. *ὠρφανισμένος βίου,* si genuina sit lectio, is est qui *vitam degit orbatam.* Hæc unam efficiunt notionem, quare recte infertur *ἐκ δυοῖν.* Aptior tamen videtur Wakefieldii conjectura *βίον.*

943. De repetito *τὶς* v. Porsoni Add. in Not. ad Eurip. Hec. p. 103. ed. Lips. alter. SCHAEFER.

947. *πότερ' ἂν* libri veteres. Mox *πρότερα* La. sed *πότερα* A. Harl. R. Ven. Ald. *ἂν* corruptum esse satis patet, et recte ejecerunt recentiores. Turbavit autem locum *πρότερα,* quod oppositionis efficiendæ studio illatum arbitror. Correxi *πότερα, πότερ' ἄρ' ἐπιστένω.* Deinde *τέλεα* pro *τελευταῖα,* quod putat Hermannus, dictum esse prorsus incredibile est; nec ullo, opinor, idoneo exemplo probari potest. *τέλεον* id est *quod rei summam imponit,* ut ultra progredi nequeat. Quærit secum Chorus, utra horum malorum, tanquam summa et rei exitum afferentia potissimum gemere debeat.

951. *μένομεν* Erfurdtius: quod legisse videtur Scholiasta, qui notat *τὰ δὲ κατὰ Ἡρακλέα ἐκδεχόμεθα. ἐλπίσιν* autem in malam partem dictum. Cf. ad v. 111.

952. *μέλλειν* sc. *ἕξειν.*

953. *Utinam procella ex hoc ipso loco secundo flatu oriatur. ἑστιῶτις* ædes respicit in quibus versatur Chorus. *ἔπουρος secundus* est. De sententia conferendus Homerus Iliad. Z. 345. seqq. Od. Υ. 63. seqq.

955. *ἀποικίσειεν ἐκ τόπων.* Bona est Wunderi observatio: 'ἐκ τόπων noli ita interpretari ut sit *ex hoc loco*: quo sensu debebat necessario *ἐκ τῶνδε* vel *ἐκ τούτων τῶν τόπων* dici. Immo quemadmodum Latini *loco* vel *ex loco movere* dicunt, ita Sophocles

οὔτ' ἀμφιπίπτων στόμασιν, ἀλλὰ πλευρόθεν
πλευρὰν παρεὶς ἔκειτο πόλλ' ἀναστένων,
ὥς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ,
κλάων ὁθούνεκ' ἐκ δυοῖν ἔσοιθ' ἅμα,
πατρός τ' ἐκείνης τ', ὠρφανισμένος βίου.
τοιαῦτα τἀνθάδ' ἐστίν. ὥστ' εἴ τις δύο
ἢ καὶ πλέους τις ἡμέρας λογίζεται,
μάταιός ἐστιν. οὐ γὰρ ἔσθ' ἥ γ' αὔριον,
πρὶν εὖ πάθῃ τις τὴν παροῦσαν ἡμέραν.

ΧΟ. πότερα πότερ' ἄρ' ἐπιστένω, *στροφὴ α΄.*
πότερα τέλεα περαιτέρω,
δύσκριτ' ἔμοιγε δυστάνῳ.
τάδε μὲν ἔχομεν ὁρᾶν δόμοις, *ἀντιστρ. α΄.*
τάδε δὲ μένομεν ἐπ' ἐλπίσιν·
κοινὰ δ' ἔχειν τε καὶ μέλλειν.
εἴθ' ἀνεμόεσσά τις *στροφὴ β΄.*
γένοιτ' ἔπουρος ἑστιῶτις αὔρα,
ἥτις μ' ἀποικίσειεν ἐκ τόπων, ὅπως

τὸν (?) Διὸς ἄλκιμον γόνον
μὴ ταρβαλέα θάνοιμι
μοῦνον εἰσιδοῦσ᾽ ἄφαρ·
ἐπεὶ ἐν δυσαπαλλάκτοις ὀδύναις
χωρεῖν (?) πρὸ δόμων λέγουσιν
ἄσπετόν τι θαῦμα.
ἀγχοῦ δ᾽ ἄρα κοὐ μακρὰν — ἀντιστροφὴ β΄.
προὔκλαιον, ὀξύφωνος ὡς ἀηδών.
ξένων γὰρ ἐξόμιλος ἥδε τις βάσις·
[πᾷ δὲ] φορεῖ νιν; ὡς φίλου
προκηδομέναν βαρεῖαν
ἄψοφον φέρει βάσιν.
αἰαῖ, ὅδ᾽ ἀναύδατος φέρεται.
τί χρή, θανόντα νιν, ἢ καθ᾽
ὕπνον ὄντα κρῖναι;

ἀποικίζειν τινὰ ἐκ τόπων dixisse videtur sic, ut idem esset atque ἀπάγειν τινὰ ἐκτόπιον, qua locutione usus est Œd. T. 1340.

956. Διὸς Hermannus, cum Harl. R. Ven. Ald. Sed Ζηνός, ut videtur, La. Cf. v. 965.

957. ταρβαλέα θάνοιμι. *præ metu exanimis fiam.*

958. μοῦνον. *sine conjuge* explicat Hermannus, quod durum videtur: κακῶς διακείμενον Scholiastæ est interpretatio. Excidit sine dubio vocabulum, cui μοῦνον substituerunt librarii.

960. πρὸ δόμων per se bonum videtur. Qui enim *ad ædes* accedit, idem *ante ædes* versetur necesse est, non minus ac ille qui ex ædibus egressus sit. Corruptum tamen h. l. puto, quia versus antistrophicus sanus videtur. δόμονδε conjicit Wunderus, quod non placet.

962. ἀγχοῦ δ᾽ ἄρα κοὐ μακρὰν προὔκλαιον sc. ὄντα. Cf. ad Œd. T. 58. Eum scilicet cujus sortem conquesta esset, jam prope adesse conspicit.

964. ἐξόμιλος, *insolita, insueta.*

965. Vulgo πᾷ δ᾽ αὖ. Alienam esse hanc quæstionem Chori, qui Herculem ad ædes portari satis sciret, monuit Süvernius. αὖ ejecit Hermannus. Credo vocem vel voces deesse, quibus restitutis, φορεῖ νιν cum βάσις conjungendum foret. Nam ista ξένων — βάσις per se posita indicio non possunt esse Herculem jam ad ædes adventare.

966. προκηδομέναν La. V. B. Schol. quod melius esse quam προκηδομένα puto. Hoc exhibent A. Ald. Notandum autem poetam non βάσις φέρει βάσιν dicere voluisse, sed verbum ἀπὸ κοινοῦ e prægressis repetendum esse, e. g. ὅμιλος. βαρεῖαν autem *tardum, lentum,* incessum denotat.

968. αἰαῖ Hermannus. Libri αἴ. αἴ. αἴ. αἴ. Mox ἀναύδατος Erfurdtius. Libri ἄναυδος.

969. θανόντα. Bothius θάνατον, h. e. κατὰ θάνατον. Sed Græcam locutionem non esse κατὰ θάνατον εἶναι recte monuit Hermannus apud Wunder. Cf. ad v. 960.

ΥΛ. ὤμοι ἐγὼ σοῦ,
πάτερ, ὤμοι ἐγὼ σοῦ μέλεος.
τί πάθω; τί δὲ μήσομαι; οἴμοι.

ΠΡΕΣΒΥΣ.

σίγα, τέκνον, μὴ κινήσῃς
ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος.
ζῇ γὰρ προπετής. ἀλλ᾽ ἴσχε δακὼν
στόμα σόν. ΥΛ. πῶς φῄς, γέρον; ἦ ζῇ;
ΠΡ. οὐ μὴ ᾽ξεγερεῖς τὸν ὕπνῳ κάτοχον
κἀκκινήσεις κἀναστήσεις
φοιτάδα δεινὴν
νόσον, ὦ τέκνον. ΥΛ. ἀλλ᾽ ἐπί μοι μελέῳ
βάρος ἄπλετον ἐμμέμονεν φρήν.

ΗΡΑΚΛΗΣ.

ὦ Ζεῦ,
ποῖ γᾶς ἥκω; παρὰ τοῖσι βροτῶν
κεῖμαι πεπονημένος ἀλλήκτοις
ὀδύναις; οἴμοι ἐγὼ τλάμων·
ἡ δ᾽ αὖ μιαρὰ βρύκει. φεῦ.
ΠΡ. ἆρ᾽ ἐξῄδης ὅσον ἦν κέρδος
σιγῇ κεύθειν, καὶ μὴ σκεδάσαι
τῷδ᾽ ἀπὸ κρατὸς
βλεφάρων θ᾽ ὕπνον; ΥΛ. οὐ γὰρ ἔχω πῶς ἂν

971. ἐγώ σου bis libri. Accentum correxit Brunckius.

975. ὠμόφρονος. *morbo in furorem acti.*

976. ζῇ προπετής. *vivit quidem sed viribus prostratis.*

978. ᾽ξεγερεῖς Dawesius. ᾽ξεγείρῃς libri. Mox idem κἀκκινήσεις κἀναστήσεις. Sic La. Ceteri κἀκκινήσῃς κἀναστήσῃς.

980. φοιτάδα] μανιώδη Schol.

981. 982. ἐπί μοι μελέῳ βάρος ἄπλετον ἐμμέμονεν φρήν] ἐμμέμονε libri, quod correxit Erfurdtius. Recte βάρος ἄπλετον ἐμμέμονε conjunxit Wunderus, coll. Aj. 208. Verte, *gravi et infando impetu æstuat mihi et quasi mecum luctatur animus,* adeo ut silere non possim. Hoc significatur verbis ἐπί μοι μελέῳ: quæ tamen ex v. 995. repetita fortasse videantur.

989. σιγῇ κεύθειν] σιωπᾶν Schol.

991. οὐ γὰρ ἔχω. Frustra mihi

στέρξαιμι κακὸν τόδε λεύσσων.
ΗΡ. ὦ Κηναία κρηπὶς βωμῶν,
ἱερῶν οἵων οἵαν ἐπί μοι
μελέῳ χάριν ἠνύσω. ὦ Ζεῦ,
οἵαν μ' ἄρ' ἔθου λώβαν, οἵαν·
ἣν μή ποτ' ἐγὼ προσιδεῖν ὁ τάλας
ὤφελον ὄσσοις, τόδ' ἀκήλητον
μανίας ἄνθος (?) καταδερχθῆναι.
τίς γὰρ ἀοιδός, τίς ὁ χειροτέχνης
ἰατορίας, ὃς τήνδ' ἄτην
χωρὶς Ζηνὸς κατακηλήσει;
θαῦμ' ἂν πόρρωθεν ἰδοίμην.
ἒ ἔ.
ἐᾶτέ μ', ἐᾶτέ με δύσμορον εὐνάσαι,

silentium præcipis: *neque enim,* etc.

992. στέρξαιμι. *acquiescerem, sustinerem.*

995. Vulgo ἱερῶν, οἵαν ἀνθ' οἵων θυμάτων ἐπί μοι μελέῳ χάριν ἠνύσω. Voces ἀνθ' et θυμάτων ejecit Hermannus, quo facto numeri anapæstici restituti sunt. θυμάτων nihil nisi verbi ἱερῶν explicatio est, quo in textum illato ἱερῶν ad βωμῶν male retractum fuit: ἀνθ' autem grammatico genitivum explicanti debetur. Rursus emendavit Wunderus transponendo οἵων οἵαν, ut post ἱερῶν statim suum adjectivum sequeretur. χάριν ἀνύσασθαι quid valeat satis notum. Prom. V. 700. τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα. Nec magna in eo difficultas, quod aræ ad Cenæum extructæ, poetice pro eo, qui ad aras istas sacra fecerat, gratiam consecutæ dicuntur. ἤνυσας male cum Brunckio scribi jubet Wunderus. ἐπὶ autem addidit poeta quia χάρις quædam ἄχαρις a loquente indicatur, quæ sibi in perniciem vertisset.

997. οἵαν μ' ἄρ' ἔθου λώβαν. Hæc ad ὦ Ζεῦ referuntur. Minus bene ad κρηπὶς refert Süvernius.

998. ἣν μή ποτ'] Κηναίαν κρηπῖδα dicit. ἣν ad rem remotiorem refertur, sicut supra v. 358. ὃν νῦν παρώσας οὗτός sc. Ἔρωτα, quod trium versuum intervallo disjunctum est. Similiter in Phil. 1456. οὗ ad remotius μέλαθρον refertur.

1000. καταδερχθῆναι sc. ὥστε. Corruptum tamen videtur. καταδερχθῆν Dindorfius, quod non probandum. De locutione μανίας ἄνθος vid. ad Ant. 959.

1001. Ordo est, τίς γὰρ ἀοιδὸς (κατακηλήσει,) τίς ἐστιν ὁ χειροτέχνης ὅς—. Monui post Hermannum, ne frustra articulum cum altero tantum nomine conjunctum mirarentur tirones.

1003. χωρὶς Ζηνός. *præter Jovem.*

θαῦμ' ἂν πόρρωθεν ἰδοίμην. *tanquam miraculum quiddam eum procul conspicerem*: h. e. nemo talis est inter eos qui quidem mihi accedere et opitulari possint.

1005. ἐᾶτέ μ', ἐᾶτέ με δύσμορον εὐνάσαι. Primum ἐᾶτε disyllabum est. εὐνάσαι (pro quo εὐνᾶσαι bis

ἐᾶθ' ὕστατον εὐνάσαι.
πᾷ μου ψαύεις; ποῖ κλίνεις;
ἀπολεῖς μ', ἀπολεῖς.
ἀνατέτροφας ὅ τι καὶ μύσαι.
ἧπταί μου, τοτοτοῖ. ἥδ' αὖθ' ἕρπει. πόθεν ἔστ', ὦ
πάντων Ἑλλάνων ἀδικώτατοι ἀνέρες, οὓς δὴ
πολλὰ μὲν ἐν πόντῳ, κατά τε δρία πάντα καθαίρων,
ὠλεκόμαν ὁ τάλας, καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι
οὐ πῦρ, οὐκ ἔγχος τις ὀνήσιμον οὐκ † ἀποτρέψει;
ἒ ἔ.
οὐδ' † ἀπαράξαι κρᾶτα βίου θέλει
μολὼν τοῦ στυγεροῦ †; φεῦ φεῦ.

habent La. R.) non dactyli sed cretici mensuram habere monuit Dindorfius, collatis v. 1015. οὐδ' ἀπαράξαι κρᾶτα βίου θέλει. 1024. τᾷδέ με τᾷδέ με προσλάβε κουφίσας. 1042. εὔνασον εὔνασον ὠκυπέτᾳ μόρῳ. Mox ἐᾶθ' ὕστατον εὐνάσαι correxit Hermannus, qui ὕστατον v. l. in La. ad δύσμορον adscriptam probabiliter huc retulit. Vulgo ἐᾶτέ με δύστανον εὐνάσαι.

1008. μύσαι. *Iterum excitasti, si quid mali mei forte sopitum fuerit.* ἀνατέτροφας autem ex vulgato ἀντέτροφας fecit Erfurdtius.

1009. πόθεν ἔστ'. Male hunc locum inter eos retulisse credo Hermannum, ubi πόθεν et similia per attractionem quandam explicanda sunt. Acerba est Herculis furibundi interrogatio *qui sint, et unde*, quærentis, qui cum tot et tanta a se experti essent beneficia, nunc tamen gratiam factorum nullam rependere vellent.

1010. Ἑλλάνων injuria quibusdam suspectum videtur. Nam licet totum orbem terrarum beneficiis obstrinxisse alibi dicatur Hercules (vid. v. 1061. et plures alios poetarum locos) nihil tamen obstat quominus eos, quos Græcos esse sciret, Græcorum omnium injustissimos esse exclamaret. Nec contra stat quod mox sequitur οὓς—καθαίρων. Nam si omnes, ergo Græcos etiam et ex iis hos ipsos lustraverat, quos solum hic nominare attinebat.

οὓς—καθαίρων. Homines pro regione ubi habitabant poetam posuisse recte monet Wunderus. Nec tamen valde displicet quod Hermannus conjecit, οἷς.

1013. τῷδε. Vid. ad Œd. Col. 450.

1014. οὐκ ἀποτρέψει. De negatione repetita cf. ad Ant. 5. Corrupta sunt οὐκ ἀποτρέψει, nec satisfaciunt emendationes. Sensus requirit: *in me convertet.* ἐπιτρέψει V. et sic ex conjectura Brunckius.

1015. ἀπαράξαι κρᾶτα βίου nemo unquam dixit nec dicere potuit. Corruptio latet vel in θέλει vel in μολών. Recte credo Wunderum ἀπαράξας posuisse. An forte legendum οὐδ' ἀπαράξας κρᾶτα βίᾳ θέλει μ' ἑλεῖν τὸν στυγερόν; Cf. Phil. 165. θηροβολοῦντα πτηνοῖς ἰοῖς στυγερὸν στυγερῶς.

ΠΡ. ὦ παῖ τοῦδ' ἀνδρός, τοὔργον τόδε μεῖζον ἀνήκει
ἢ κατ' ἐμὰν ῥώμαν· σὺ δὲ σύλλαβε. † σοί τε γὰρ ὄμμα
ἔμπλεον ἢ δι' ἐμοῦ σώζειν †. ΥΛ. ψαύω μὲν
ἔγωγε,
λαθίπονον δ' ὀδυνᾶν οὔτ' ἔνδοθεν οὔτε θύραθεν
ἔστι μοι ἐξανύσαι βίοτον. τοιαῦτα νέμει Ζεύς.
ΗΡ. ὦ παῖ, ποῦ ποτ' εἶ;
τᾷδέ με τᾷδέ με πρόσλαβε κουφίσας.
ἒ ἔ, ἰὼ ἰὼ δαῖμον.
θρώσκει δ' αὖ, θρώσκει δειλαία
διολοῦσ' ἡμᾶς
ἀποτίβατος ἀγρία νόσος.
ὦ Παλλάς, Παλλάς, τόδε μ' αὖ λωβᾶται. ἰὼ παῖ

1018. *μεῖζον ἀνήκει ἢ κατ' ἐμὰν ῥώμαν.* Cf. Matth. Gr. Gr. 449.

1019. *σὺ δὲ σύλλαβε. σοί τε γὰρ ὄμμα | ἔμπλεον ἢ δι' ἐμοῦ σώζειν.* Ita vulgo: quæ Œdipo egent. Hermannus: '*ἔμπλεον* videtur, quia plenis nihil deest, pro integro dictum, hoc sensu: *tibi plena est atque integra videndi facultas, potius quam ut per me ille servari possit.*' Videamus paullisper singula. *τε γὰρ* pro *καὶ γὰρ* dici non potuisse persuasissimum habeo, neque fidem facit Arist. Pac. 402. a Dindorfio in hanc partem laudatus. Legendum ibi forte *κλέπτει τι γὰρ νῦν μᾶλλόν εἰσιν ἢ πρὸ τοῦ.* Deinde quid hic cum *oculis*? Corporis robur, non oculi aciem sibi deesse queritur senex. Mox quid tandem est *ἔμπλεον*? Denique, etiamsi *plenum* valere possit istud, *ὄμμα ἔμπλεον ἢ δι' ἐμοῦ σώζειν* cujusmodi est constructio? Græcam esse nego. Inter conjecturas nihil vidi quod cum fructu tironibus commendari possit nisi *ἔμπεδον* quod conjecit Hermannus, et fere recipiendum puto. In loco pene desperato et ipsi conjecturam audacius proferre liceat. *σὺ δὲ σύλλαβέ μοι· τὸ γάρ, οἶμαι, ἔμπεδον ἢ δι' ἑνὸς σώζειν.* *hæc enim* (si tu adjuveris) *certior est ratio quam si unus servare conetur.* Ad *ἔμπεδον* subaudiendum *μᾶλλον.* *ἐμοῦ* ex *ἑνὸς* corruptum videtur sicut in Æsch. Choeph. 172. ubi *πλὴν ἑνὸς* correxit Dobræus.

1021. *ὀδυνᾶν* Musgravius ex Schol. Vulgo *ὀδύναν.* Mox idem *βίοτον* pro *βιότου* correxit.

οὔτ' ἔνδοθεν, οὔτε θύραθεν. Recte Wunderus: *nec mea ipsius, nec aliorum opera.* Wakefieldius contulit Eur. Or. 604. *τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς.*

1023. *ὦ παῖ* Seidlerus. *παῖ* bis vulgo.

1031. Vulgo *ὦ Παλλάς, τόδε μ' αὖ λωβᾶται· ἰὼ παῖ τὸν | φύσαντ'.* quod corruptum esse viderunt editores. Melius quam alios rem gessisse puto Dindorfium, geminato *Παλλάς*, et *τὸν* in proximum versum translato. Idem recte fortasse *φύτορ'* pro vulgata *φύσαντ'* posuit, collato Hesych. *φύτορες. γεννήτορες.* Schol. Prom. V. 233. *φιτῦσαι; ποιῆσαι, γεννῆσαι. ἐξ οὗ καὶ φύτωρ ὁ πατήρ.* Possis et legere *τὸν φύσαντ' οἴκτειρ', ἀνεπίφθονον κ. τ. λ.* *ὦ* autem pro *ἰὼ* in versus initio scripsit Erfurdtius.

τὸν † φύσαντ' οἰκτείρας ἀνεπίφθονον εἴρυσον ἔγχος,
παῖσον ἐμᾶς ὑπὸ κλῆδος· ἀκοῦ δ' ἄχος, ᾧ μ' ἐχό-
λωσεν
σὰ μάτηρ ἄθεος, τὰν ὧδ' ἐπίδοιμι πεσοῦσαν
αὔτως, ὧδ' αὔτως, ὥς μ' ὤλεσεν. ὦ γλυκὺς Ἅιδας,
ὦ Διὸς αὐθαίμων,
εὔνασον εὔνασον ὠκυπέτᾳ μόρῳ
τὸν μέλεον φθίσας.
ΧΟ. κλύουσ' ἔφριξα τάσδε συμφοράς, φίλαι,
ἄνακτος, οἵας οἷος ὢν ἐλαύνεται.
ΗΡ. ὦ πολλὰ δὴ καὶ θερμὰ κοὐ λόγῳ κακὰ
καὶ χειρὶ καὶ νώτοισι μοχθήσας ἐγώ·
κοὔπω τοιοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς
προὔθηκεν οὔθ' ὁ στυγνὸς Εὐρυσθεὺς ἐμοί,
οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη
καθῆψεν ὤμοις τοῖς ἐμοῖς Ἐρινύων
ὑφαντὸν ἀμφίβληστρον, ᾧ διόλλυμαι.
πλευραῖσι γὰρ προσμαχθὲν ἐκ μὲν ἐσχάτας
βέβρωκε σάρκας, πνεύμονός τ' ἀρτηρίας
ῥοφεῖ ξυνοικοῦν· ἐκ δὲ χλωρὸν αἷμά μου
πέπωκεν ἤδη, καὶ διέφθαρμαι δέμας
τὸ πᾶν, ἀφράστῳ τῇδε χειρωθεὶς πέδῃ.
κοὐ ταῦτα λόγχη πεδιάς, οὔθ' ὁ γηγενὴς
στρατὸς Γιγάντων, οὔτε θήρειος βία,

1036. *τὰν* Erfurdtius. Vulgo *ἄν.*

1040. *αὔτως, ὧδ' αὔτως* Hermannus. *αὔτως* libri. Vid. ad Œd. T. 931.

1041. *ὦ Διὸς αὐθαίμων. ὦ γλυκὺς Ἅιδας* vulgo. Transposuit Seidlerus.

1042. *εὔνασον μ' εὔνασον* libri veteres. *μ'* om. Turn.

1045. *οἵας ἐλαύνεται.* Cf. Prom. V. 591. *τοὺς ὑπερμήκεις δρόμους γυμνάζεται.* Aristoph. Nub. 29. *ἐμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους.*

1046. *καὶ λόγῳ* vulgo. Emendavit Bothius.

1054. *πνεύμονός τ' ἀρτηρίας.* Sic vulgo. *πνεύμονάς τ', ἀρτηρίας ῥοφεῖ* Hermannus, ut copula post *ἀρτηρίας* omittatur: quod perdurum est. Si verum est quod ait Süvernius, *πνεύμονας* in plurali tantum Atticos dixisse, *πνευμόνων* cum eodem scribendum censuerim. *πλεύμονός τ' ἀρτηρίας* La. cum gl. *τὰς φλέβας.*

οὔθ' Ἑλλάς, οὔτ' ἄγλωσσος, οὔθ' ὅσην ἐγὼ
γαῖαν καθαίρων ἱκόμην, ἔδρασέ πω·
γυνὴ δέ, θῆλυς οὖσα κοὐκ ἀνδρὸς φύσιν,
μόνη με δὴ καθεῖλε φασγάνου δίχα.
ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγώς,
καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.
δός μοι χεροῖν σαῖν αὐτὸς ἐξ οἴκου λαβὼν
εἰς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα
εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον ἢ κείνης ὁρῶν
λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον.
ἴθ', ὦ τέκνον, τόλμησον· οἴκτειρόν τέ με
πολλοῖσιν οἰκτρόν, ὅστις ὥστε παρθένος
βέβρυχα κλάων, καὶ τόδ' οὐδ' ἂν εἷς ποτε
τόνδ' ἄνδρα φαίη πρόσθ' ἰδεῖν δεδρακότα,
ἀλλ' ἀστένακτος αἰὲν ἑσπόμην κακοῖς.
νῦν δ' ἐκ τοιούτου θῆλυς εὕρημαι τάλας.
καὶ νῦν προσελθὼν στῆθι πλησίον πατρός,
σκέψαι δ' ὁποίας ταῦτα συμφορᾶς ὕπο
πέπονθα. δείξω γὰρ τάδ' ἐκ καλυμμάτων.
ἰδού, θεᾶσθε πάντες ἄθλιον δέμας,
ὁρᾶτε τὸν δύστηνον, ὡς οἰκτρῶς ἔχω.
αἰαῖ, ὦ τάλας,
ἒ ἔ,
ἔθαλψεν ἄτης σπασμὸς ἀρτίως ὅδ' αὖ,
διῇξε πλευρῶν· οὐδ' ἀγύμναστόν μ' ἐᾶν
ἔοικεν ἡ τάλαινα διαβόρος νόσος.
ὦναξ Ἀΐδη, δέξαι μ',
ὦ Διὸς ἀκτίς, παῖσον.
ἔνσεισον, ὦναξ, ἐγκατάσκηψον βέλος,
πάτερ, κεραυνοῦ. δαίνυται γὰρ αὖ πάλιν,

1060. Ἑλλάς sc. ἀνήρ. Mox: ἄγλωσσον Σοφοκλῆς τὸν βάρβαρον εἶπεν. Pollux i. 109.

1062. κοὐκ ἀνδρὸς φύσιν. Pro eo quod dici debebat κοὐκ ἀνὴρ φύσιν, per attractionem dixisse videtur κοὐκ ἀνδρὸς φύσιν. Eodem modo explicandum Aj. 760. ὅστις ἀνθρώπου φύσιν βλαστών. HERMANN. Angl. *and not after man's sort.*

1074. εἱπόμην Schol. Aj. 317. quod præfert Elmsl. ad Her. 634.

ἤνθηκεν, ἐξώρμηκεν. ὦ χέρες χέρες,
ὦ νῶτα καὶ στέρν', ὦ φίλοι βραχίονες,
ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ', οἵ ποτε
Νεμέας ἔνοικον, βουκόλων ἀλάστορα,
λέοντ', ἄπλατον θρέμμα κἀπροσήγορον,
βίᾳ κατειργάσασθε, Λερναίαν θ' ὕδραν,
διφυῆ τ' ἄμικτον ἱπποβάμονα στρατὸν
θηρῶν, ὑβριστήν, ἄνομον, ὑπέροχον βίαν,
Ἐρυμάνθιόν τε θῆρα, τόν θ' ὑπὸ χθονὸς
Ἅιδου τρίκρανον σκύλακ', ἀπρόσμαχον τέρας,
δεινῆς Ἐχίδνης θρέμμα, τόν τε χρυσέων
δράκοντα μήλων φύλακ' ἐπ' ἐσχάτοις τόποις.
ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
κοὐδεὶς τροπαῖ' ἔστησε τῶν ἐμῶν χερῶν.
νῦν δ' ὧδ' ἄναρθρος καὶ κατερρακωμένος
τυφλῆς ὑπ' ἄτης ἐκπεπόρθημαι τάλας,
ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος,
ὁ τοῦ κατ' ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος.
ἀλλ' εὖ γέ τοι τάδ' ἴστε, κἂν τὸ μηδὲν ὦ,
κἂν μηδὲν ἕρπω, τήν γε δράσασαν τάδε
χειρώσομαι κἀκ τῶνδε. προσμόλοι μόνον,
ἵν' ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν ὅτι
καὶ ζῶν κακούς γε καὶ θανὼν ἐτισάμην.

ΧΟ. ὦ τλῆμον Ἑλλάς, πένθος οἷον εἰσορῶ
ἕξουσαν, ἀνδρὸς τοῦδέ γ' εἰ σφαλήσεται.

ΥΛ. ἐπεὶ παρέσχες ἀντιφωνῆσαι, πάτερ,
σιγὴν παρασχὼν κλῦθί μου, νοσῶν ὅμως.
αἰτήσομαι γάρ σ' ὧν δίκαια τυγχάνειν.
δός μοι σεαυτόν, μὴ τοσοῦτον ὡς δάκνῃ

1096. ὑπείρεχον vulgo. Correxerunt Bentleius et Clarkius ad Hom. Il. B. 426.

1107. ὢν et mox ἕρπων correxit Hermannus. ἕρπων marg. Turn. et Schol. R.

1117. μὴ τοσοῦτον ὡς δάκνῃ κ.τ.λ. h. e. ὡς μὴ τοσοῦτον δάκνῃ. Vim auget sententiæ μὴ τοσοῦτον præpositum. τοιοῦτον conjecit Mudgius: sed nec hoc nec Hermanni explicatione opus, qui interpretatur

θυμῷ δύσοργος· οὐ γὰρ ἂν γνοίης ἐν οἷς
χαίρειν προθυμεῖ κἀν ὅτοις ἀλγεῖς μάτην.
ΗΡ. εἰπὼν ὃ χρῄζεις λῆξον· ὡς ἐγὼ νοσῶν
οὐδὲν ξυνίημ' ὧν σὺ ποικίλλεις πάλαι.
ΥΛ. τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων ἐν οἷς
νῦν ἐστιν οἷς θ' ἥμαρτεν οὐχ ἑκουσία.
ΗΡ. ὦ παγκάκιστε, καὶ παρεμνήσω γὰρ αὖ
τῆς πατροφόντου μητρός, ὡς κλύειν ἐμέ;
ΥΛ. ἔχει γὰρ οὕτως ὥστε μὴ σιγᾶν πρέπειν.
ΗΡ. οὐ δῆτα τοῖς γε πρόσθεν ἡμαρτημένοις.
ΥΛ. ἀλλ' οὐδὲ μὲν δὴ τοῖς γ' ἐφ' ἡμέραν ἐρεῖς.
ΗΡ. λέγ'· εὐλαβοῦ δὲ μὴ φανῇς κακὸς γεγώς.
ΥΛ. λέγω. τέθνηκεν ἀρτίως νεοσφαγής.
ΗΡ. πρὸς τοῦ; τέρας τοι διὰ κακῶν ἐθέσπισας.
ΥΛ. αὐτὴ πρὸς αὑτῆς, οὐδενὸς πρὸς ἐκτόπου.
ΗΡ. οἴμοι· πρίν, ὡς χρῆν, σφ' ἐξ ἐμῆς θανεῖν χερός;
ΥΛ. κἂν σοῦ στραφείη θυμός, εἰ τὸ πᾶν μάθοις.
ΗΡ. δεινοῦ λόγου κατῆρξας· εἰπὲ δ' ᾗ νοεῖς.
ΥΛ. ἅπαν τὸ χρῆμ', ἥμαρτε χρηστὰ μωμένη.
ΗΡ. χρήστ', ὦ κάκιστε, πατέρα σὸν κτείνασα δρᾷ;
ΥΛ. στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν,
ἀπήμπλαχ', ὡς προσεῖδε τοὺς ἔνδον γάμους.
ΗΡ. καὶ τίς τοσοῦτος φαρμακεὺς Τραχινίων;
ΥΛ. Νέσσος πάλαι Κένταυρος ἐξέπεισέ νιν
τοιῷδε φίλτρῳ τὸν σὸν ἐκμῆναι πόθον.
ΗΡ. ἰοὺ ἰοὺ δύστηνος, οἴχομαι τάλας.
ὄλωλ' ὄλωλα, φέγγος οὐκ ἔτ' ἐστί μοι.

μὴ τοσοῦτον δύσοργος ὡς θυμῷ δάκνῃ.

1122. μητρός—φράσων. Cf. Matth. Gr. Gr. 342. 2.

1127. οὐ δῆτα. Negativa totum versum præcedentem respicit. Dativus *propter* significat. Cf. ad Ant. 391. Vertit Hermannus: *Immo maxime tacendum de ea propter ea quæ ante in me peccavit.*

1128. Sensus est: *hoc ergo, quod dicis, vel magis cadet in ea quæ nunc quidem patravit.* Respicit v. præc.

1134. κἂν σοῦ correxit Schaeferus. κἄν σου vulgo.

1136. Comma post χρῆμ, addidit Erfurdtius. Mox μωμένη Heathius. Vulgo μνωμένη.

οἴμοι, φρονῶ δὴ ξυμφορᾶς ἵν' ἕσταμεν.
ἴθ', ὦ τέκνον· πατὴρ γὰρ οὐκ ἔτ' ἐστί σοι·
κάλει τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων,
κάλει δὲ τὴν τάλαιναν Ἀλκμήνην, Διὸς
μάτην ἄκοιτιν, ὡς τελευταίαν ἐμοῦ
φήμην πύθησθε θεσφάτων ὅσ' οἶδ' ἐγώ.
ΥΛ. ἀλλ' οὔτε μήτηρ ἐνθάδ', ἀλλ' ἐπακτίᾳ
Τίρυνθι συμβέβηκεν ὥστ' ἔχειν ἕδραν,
παίδων δὲ τοὺς μὲν ξυλλαβοῦσ' αὐτὴ τρέφει,
τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις·
ἡμεῖς δ' ὅσοι πάρεσμεν, εἴ τι χρή, πάτερ,
πράσσειν, κλύοντες ἐξυπηρετήσομεν.
ΗΡ. σὺ δ' οὖν ἄκουε τοὔργον· ἐξήκεις δ' ἵνα
φανεῖς ὁποῖος ὢν ἀνὴρ ἐμὸς καλεῖ.
ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς πάλαι,
πρὸς τῶν πνεόντων μηδενὸς θανεῖν (?) ὕπο,
ἀλλ' ὅστις Ἅιδου φθίμενος οἰκήτωρ πέλοι.
ὅδ' οὖν ὁ θὴρ Κένταυρος, ὡς τὸ θεῖον ἦν
πρόφαντον, οὕτω ζῶντά μ' ἔκτεινεν θανών.
φανῶ δ' ἐγὼ τούτοισι συμβαίνοντ' ἴσα
μαντεῖα καινά, τοῖς πάλαι ξυνήγορα,
ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ
Σελλῶν ἐσελθὼν ἄλσος εἰσεγραψάμην
πρὸς τῆς πατρῴας καὶ πολυγλώσσου δρυός,
ἥ μοι χρόνῳ τῷ ζῶντι καὶ παρόντι νῦν
ἔφασκε μόχθων τῶν ἐφεστώτων ἐμοὶ
λύσιν τελεῖσθαι· κἀδόκουν πράξειν καλῶς.

1145. ξυμφορᾶς ἵν' ἕσταμεν. Cf. Œd. T. 1442. ἵν' ἕσταμεν χρείας.

1152. ξυμβέβηκεν ὥστ' ἔχειν ἕδραν. h. e. τυγχάνει κατοικοῦσα. SCHAEF.

1156. πράσσειν Brunckius. Libri πράττειν.

1158. φανῇς libri, præter Harl. φανεῖς correxit Brunckius.

1160. ὕπο] ποτὲ conjecit Musgravius. ὕπο libri, quod cum πρὸς τῶν πνεόντων conjungi vix potest. Hermanno tamen locus sanissimus videtur, explicanti: *per vivos a nemine occisum iri*, h. e. non occisum iri per vivos, a nullo eorum.

1167. εἰσελθὼν La. B. Mox ἐξεγραψάμην Elmsleius, coll. Arist. Av. 982. Nescio an recte.

τὸ δ' ἦν ἄρ' οὐδὲν ἄλλο πλὴν θανεῖν ἐμέ.
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίγνεται.
ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ συμβαίνει, τέκνον,
δεῖ σ' αὖ γενέσθαι τῷδε τἀνδρὶ σύμμαχον,
καὶ μὴ 'πιμεῖναι τοὐμὸν ὀξῦναι στόμα,
ἀλλ' αὐτὸν εἰκαθόντα συμπράσσειν, νόμον
κάλλιστον ἐξευρόντα, πειθαρχεῖν πατρί.

ΥΛ. ἀλλ', ὦ πάτερ, ταρβῶ μὲν εἰς λόγου στάσιν
τοιάνδ' ἐπελθών, πείσομαι δ' ἃ σοὶ δοκεῖ.

ΗΡ. ἔμβαλλε χεῖρα δεξιὰν πρώτιστά μοι.

ΥΛ. ὡς πρὸς τί πίστιν τήνδ' ἄγαν ἐπιστρέφεις;

ΗΡ. οὐ θᾶσσον οἴσεις μηδ' ἀπιστήσεις ἐμοί;

ΥΛ. ἰδοὺ προτείνω, κοὐδὲν ἀντειρήσεται.

ΗΡ. ὄμνυ Διὸς νῦν τοῦ με φύσαντος κάρα.

ΥΛ. ἦ μὴν τί δράσειν, καὶ τόδ' ἐξειρήσεται;

ΗΡ. ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.

ΥΛ. ὄμνυμ' ἔγωγε, Ζῆν' ἔχων ἐπώμοτον.

ΗΡ. εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχου λαβεῖν.

ΥΛ. οὐ μὴ λάβω· δράσω γάρ. εὔχομαι δ' ὅμως.

ΗΡ. οἶσθ' οὖν τὸν Οἴτης Ζηνὸς ὕψιστον πάγον;

ΥΛ. οἶδ', ὡς θυτήρ γε πολλὰ δὴ σταθεὶς ἄνω.

ΗΡ. ἐνταῦθά νυν χρὴ τοὐμὸν ἐξάραντά σε
σῶμ' αὐτόχειρα, καὶ ξὺν οἷς χρῄζεις φίλων,
πολλὴν μὲν ὕλην τῆς βαθυρρίζου δρυὸς
κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμοῦ
ἄγριον ἔλαιον, σῶμα τοὐμὸν ἐμβαλεῖν,
καὶ πευκίνης λαβόντα λαμπάδος σέλας
πρῆσαι. γόου δὲ μηδὲν εἰσίτω δάκρυ,
ἀλλ' ἀστένακτος κἀδάκρυτος, εἴπερ εἶ
τοῦδ' ἀνδρός, ἔρξον· εἰ δὲ μή, μενῶ σ' ἐγὼ

1172. τόδ' vulgo. Correxit Wyttenbachius.

1182. ὡς πρὸς τί; *quamnam ob caussam?* Mox ἐπιστρέφεις. *adhibes, imponis.*

1186. Vulgo ἦ μὴν τί δράσειν; καὶ τόδ' ἐξειρήσεται. Rectius interpunxit Hermannus.

καὶ νέρθεν ὢν ἀραῖος εἰσαεὶ βαρύς.

ΥΛ. οἴμοι, πάτερ, τί εἶπας; οἷά μ' εἴργασαι.

ΗΡ. ὁποῖα δραστέ' ἐστίν· εἰ δὲ μή, πατρὸς
ἄλλου γενοῦ του μηδ' ἐμὸς κληθῇς ἔτι.

ΥΛ. οἴμοι μάλ' αὖθις, οἷά μ' ἐκκαλεῖ, πάτερ,
φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν.

ΗΡ. οὐ δῆτ' ἔγωγ', ἀλλ' ὧν ἔχω παιώνιον
καὶ μοῦνον ἰατῆρα τῶν ἐμῶν κακῶν.

ΥΛ. καὶ πῶς ὑπαίθων σῶμ' ἂν ἰῴμην τὸ σόν;

ΗΡ. ἀλλ' εἰ φοβεῖ πρὸς τοῦτο, τἄλλα γ' ἔργασαι.

ΥΛ. φορᾶς γέ τοι φθόνησις οὐ γενήσεται.

ΗΡ. ἦ καὶ πυρᾶς πλήρωμα τῆς εἰρημένης;

ΥΛ. ὅσον γ' ἂν αὐτὸς μὴ ποτιψαύων χεροῖν·
τὰ δ' ἄλλα πράξω κοὐ καμεῖ τοὐμὸν μέρος.

ΗΡ. ἀλλ' ἀρκέσει καὶ ταῦτα· πρόσνειμαι δέ μοι
χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδούς.

ΥΛ. εἰ καὶ μακρὰ κάρτ' ἐστίν, ἐργασθήσεται.

ΗΡ. τὴν Εὐρυτείαν οἶσθα δῆτα παρθένον;

ΥΛ. Ἰόλην ἔλεξας, ὥς γ' ἐπεικάζειν ἐμέ.

ΗΡ. ἔγνως. τοσοῦτον δή σ' ἐπισκήπτω, τέκνον·
ταύτην, ἐμοῦ θανόντος, εἴπερ εὐσεβεῖν
βούλει, πατρῴων ὁρκίων μεμνημένος,
προσθοῦ δάμαρτα, μηδ' ἀπιστήσῃς πατρί·
μηδ' ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
κλιθεῖσαν αὐτὴν ἀντὶ σοῦ λάβοι ποτέ·
ἀλλ' αὐτός, ὦ παῖ, τοῦτο κήδευσον λέχος.
πείθου. τὸ γάρ τοι μεγάλα πιστεύσαντ' ἐμοὶ
σμικροῖς ἀπιστεῖν τὴν πάρος συγχεῖ χάριν.

1203. τί εἶπας La. Cf. Phil. 733. 917. τί μ' εἶπας B. T. et sic Hermannus. τίν' A. Harl. Ald.

1214. ποτιψαύων. Vid. Blomf. ad Eum. 79.

1220. ὥς γ' Schaeferus. ὥστ' vulg.

1221. σ' ἐπισκήπτω. i. e. ἐπισκήπτω σε. Non desunt exempla hujus constructionis. Eur. Iph. T. 701. πρὸς δεξιᾶς σε τῆσδ' ἐπισκήπτω τάδε. Alcest. 365. ἐπισκήψω τούσδε, *hisce mandabo.* BRUNCK.

1224. πρόσθου vulgo. Accentum mutavit Dindorfius.

ΥΛ. οἴμοι. τὸ μὲν νοσοῦντι θυμοῦσθαι κακόν,
τὸ δ' ὧδ' ὁρᾶν φρονοῦντα τίς ποτ' ἂν φέροι;
ΗΡ. ὡς ἐργασείων οὐδὲν ὧν λέγω θροεῖς.
ΥΛ. τίς γάρ ποθ', ἥ μοι μητρὶ μὲν θανεῖν μόνη
μεταίτιος σοί τ' αὖθις ὡς ἔχεις ἔχειν,
τίς ταῦτ' ἄν, ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ,
ἕλοιτο; κρεῖσσον κἀμέ γ', ὦ πάτερ, θανεῖν
ἢ τοῖσιν ἐχθίστοισι συνναίειν ὁμοῦ.
ΗΡ. ἀνὴρ ὅδ' ὡς ἔοικεν οὐ νέμειν ἐμοὶ
φθίνοντι μοῖραν· ἀλλά τοι θεῶν ἀρὰ
μενεῖ σ' ἀπιστήσαντα τοῖς ἐμοῖς λόγοις.
ΥΛ. οἴμοι, τάχ', ὡς ἔοικας, ὡς νοσεῖς φράσεις.
ΗΡ. σὺ γάρ μ' ἀπευνασθέντος ἐκκινεῖς κακοῦ.
ΥΛ. δείλαιος, ὡς ἐς πολλὰ τἀπορεῖν ἔχω.
ΗΡ. οὐ γὰρ δικαιοῖς τοῦ φυτεύσαντος κλύειν.
ΥΛ. ἀλλ' ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν, πάτερ;
ΗΡ. οὐ δυσσέβεια, τοὐμὸν εἰ τέρψεις κέαρ.
ΥΛ. πράσσειν ἄνωγας οὖν με πανδίκως τάδε;
ΗΡ. ἔγωγε. τούτων μάρτυρας καλῶ θεούς.
ΥΛ. τοιγὰρ ποιήσω, κοὐκ ἀπώσομαι, τὸ σὸν
θεοῖσι δεικνὺς ἔργον. οὐ γὰρ ἄν ποτε
κακὸς φανείην σοί γε πιστεύσας, πάτερ.
ΗΡ. καλῶς τελευτᾷς, κἀπὶ τοῖσδε τὴν χάριν
ταχεῖαν, ὦ παῖ, πρόσθες· ὡς πρὶν ἐμπεσεῖν
σπαραγμὸν ἤ τιν' οἶστρον, ἐς πυράν με θῇς.
ἄγ' ἐγκονεῖτ', αἴρεσθε. παῦλά τοι κακῶν
αὕτη, τελευτὴ τοῦδε τἀνδρὸς ὑστάτη.

1237. Mixta constructio: ὡς ἔοικεν οὐ νέμει et ἔοικεν οὐ νέμειν. Cf. ad Œd. Col. v. 385.

1241. φράσειν nescio an recte Hermannus. Dura sunt νοσεῖς φράσεις juxta se collocata.

1242. ἀπ' εὐνασθέντος correxit Hermannus ex Schol. σύ, φησίν, ἀναταράττεις ἀπὸ τοῦ καταπραϋνθέντος κακοῦ, μὴ πειθόμενος. Sine caussa factum videtur.

1249. τὸ σὸν θεοῖσι δεικνὺς ἔργον. *Deos obtestans me hoc a te facere coactum esse.*

1256. αὕτη. Comma post αὕτη addidit Brunckius.

ΥΛ. ἀλλ' οὐδὲν εἴργει σοὶ τελειοῦσθαι τάδε,
ἐπεὶ κελεύεις κἀξαναγκάζεις, πάτερ.
ΗΡ. ἄγε νυν, πρὶν τήνδ' ἀνακινῆσαι
νόσον, ὦ ψυχὴ σκληρά, χάλυβος
λιθοκόλλητον στόμιον παρέχουσ',
ἀνάπαυε βοήν, ὡς ἐπίχαρτον
τελέουσ' ἀεκούσιον ἔργον.
ΥΛ. αἴρετ', ὀπαδοί, μεγάλην μὲν ἐμοὶ
τούτων θέμενοι συγγνωμοσύνην,
μεγάλην δὲ θεοῖς ἀγνωμοσύνην
εἰδότες ἔργων τῶν πρασσομένων,
οἳ φύσαντες καὶ κληζόμενοι
πατέρες τοιαῦτ' ἐφορῶσι πάθη.
τὰ μὲν οὖν μέλλοντ' οὐδεὶς ἐφορᾷ,
τὰ δὲ νῦν ἑστῶτ' οἰκτρὰ μὲν ἡμῖν,
αἰσχρὰ δ' ἐκείνοις,
χαλεπώτατα δ' οὖν ἀνδρῶν πάντων
τῷ τήνδ' ἄτην ὑπέχοντι.
λείπου μηδὲ σύ, παρθέν', ἀπ' οἴκων,

1259. ἀνακινῆσαι sc. σὺ βοῶσα. Minus bene ἑαυτὴν supplet Musgravius.

1260. ψυχὴ σκληρά, χάλυβος. Miram quandam ex chalybe confictam animam Herculi tribuit Scholiasta, qui ψυχὴ cum χάλυβος conjunxit. Hunc sequitur Wunderus. Sed diversa sunt ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν Hesiod. O. et D. 146. et similia. In χάλυβος λιθοκόλλητον στόμιον comparationem petitam esse a ferrea compage, qua saxa, ne hiscant, conjunguntur, recte monuit Hermannus.

1263. τελέουσ' Billerbeckius. Libri τελέως. Recte Scholiasta: ἐπίχαρτον μέν, ὅτι ἀπαλλάττεται τῆς νόσου. ἀκούσιον δέ, ὅτι λυπεῖ πάντα ἡ ἀποστέρησις τοῦ βίου. Idem comparat notum illud ἑκὼν ἀέκοντί γε θυμῷ. Cf. ad Œd. Col. 522.

1265. ξυγγνωμοσύνην. i. q. ξυγγνώμην. *Harum rerum veniam mihi concedentes.*

1266. μεγάλην — πρασσομένων. *Ea quæ geruntur Deorum crudelitati tribuentes.* Musgravius recte monuit hanc locutionem formatam esse ad normam locutionis χάριν εἰδέναι τινί τινός.

1269. ἐφορῶσι. *Adspiciunt*, ita ut non remedium afferant. Apertius El. 825. HERMANN.

1275. λείπου μηδὲ σύ, παρθέν', ἀπ' οἴκων. *Ne absis, o virgo, quin et tu nos a domo prosequare.* μὴ σὺ λείπου (sc. ἡμῶν,) valet *comitare nos*, ut monuit Hermannus. Sic recte post infertur ἀπ' οἴκων.

μεγάλους μὲν ἰδοῦσα νέους θανάτους,
πολλὰ δὲ πήματα καὶ καινοπαθῆ·
κοὐδὲν τούτων ὅ τι μὴ Ζεύς.

1276. ἰδοῦσ' αἰνοὺς Wunderus: sine caussa.

1277. καὶ καινοπαθῆ. καὶ addidit Bentleius. Idem fecit Porsonus coll. Æsch. Ag. 63. πολλὰ παλαίσματα καὶ γυιοβαρῆ.

ΑΙΑΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΘΗΝΑ.
ΟΔΥΣΣΕΥΣ.
ΑΙΑΣ.
ΧΟΡΟΣ *Σαλαμινίων Ναυτῶν.*
ΤΕΚΜΗΣΣΑ.
ΑΓΓΕΛΟΣ.
ΤΕΥΚΡΟΣ.
ΜΕΝΕΛΑΟΣ.
ΑΓΑΜΕΜΝΩΝ.

ΚΩΦΑ ΠΡΟΣΩΠΑ.

ΕΥΡΥΣΑΚΗΣ. ΠΑΙΔΑΓΩΓΟΣ. ΣΤΡΑΤΟΚΗΡΥΞ.

ΥΠΟΘΕΣΙΣ.

Τὸ δρᾶμα τῆς Τρωϊκῆς ἐστι πραγματείας, ὥσπερ οἱ ΑΝΤΗΝΟΡΙΔΑΙ, *καὶ* ΑΙΧΜΑΛΩΤΙΔΕΣ, *καὶ* ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ, *καὶ* ΜΕΜΝΩΝ. *πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν· καὶ κρινομένων περὶ τῶν ὅπλων κρατεῖ Ὀδυσσεύς. ὅθεν ὁ Αἴας, τῆς κρίσεως μὴ τυχών, παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην, ὥστε ἐφαπτόμενος τῶν ποιμνίων δοκεῖν τοὺς Ἕλληνας διαχρήσασθαι. καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας ἀπάγει ἐπὶ τὴν σκηνήν· ἐν οἷς ἐστι καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσας ἐμαστίγωσεν, ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται ὁ* ΜΑΣΤΙΓΟΦΟΡΟΣ, *ἢ πρὸς ἀντιδιαστολὴν τοῦ* ΛΟΚΡΟΥ. *Δικαίαρχος δὲ* ΑΙΑΝΤΟΣ ΘΑΝΑΤΟΝ *ἐπιγράφει. ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς* ΑΙΑΣ *ἀναγέγραπται.**

Ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα τί ποτε ἄρα πράττει ὁ Αἴας, καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται εἰς τὸ ἐμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα, καὶ ἐπικομπάζοντα, ὡς τῶν ἐχθρῶν ἀνῃρημένων. καὶ ὁ μὲν εἰσέρχεται ὡς ἐπὶ τῷ μαστιγοῦν τὸν Ὀδυσσέα. παραγίνεται δὲ χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονός, ὅτι ποίμνια ἐσφάγησαν Ἑλληνικά, ἀγνοῶν δὲ τὸν δράσαντα. ἔξεισι δὲ καὶ Τέκμησσα, τοῦ Αἴαντος αἰχμάλωτος παλλακίς, εἰδυῖα μὲν τὸν σφαγέα τῶν ποιμνίων ὅτι Αἴας ἐστίν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμνια. ἑκάτερος οὖν παρ' ἑκατέρου μαθόντες τὸ ἀγνοούμενον, ὁ χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι ὁ Αἴας ταῦτα ἔδρασε, Τέκμησσα δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα ποίμνια, ἀπολοφύρονται· καὶ μάλιστα ὁ χορός. ὅθεν δὴ ὁ Αἴας προελθὼν ἔμφρων γενόμενος ἑαυτὸν ἀπολοφύρεται. καὶ τούτου ἡ Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς· ὁ δὲ ὑποκρινόμενος πεπαῦσθαι ἔξεισι καθαρσίων ἕνεκα καὶ ἑαυτὸν διαχρῆται. εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον, οὐκ ἐῶντα θάπτειν τὸ σῶμα. τὸ δὲ πέρας, θάψας αὐτὸν Τεῦκρος ἀπολοφύρεται. παρίστησι δὲ ὁ λόγος τῆς τραγῳδίας ὅτι ἐξ ὀργῆς καὶ φιλονεικίας οἱ ἄνθρωποι ἥκοιεν ἐπὶ τὰ τοιαῦτα νοσήματα, ὥσπερ ὁ Αἴας προσδοκήσας ἐγκρατὴς εἶναι τῶν ὅπλων, καὶ ἀποτυχὼν ἔγνω ἑαυτὸν ἀνελεῖν. αἱ δὲ τοιαῦται φιλονεικίαι† *οὐκ εἰσὶν ἐπωφελεῖς οὐδὲ τοῖς δοκοῦσι νενικηκέναι. ὅρα γὰρ καὶ παρ' Ὁμήρῳ τὰ περὶ τῆς ἥττης τοῦ Αἴαντος πάνυ διὰ βραχέων καὶ περιπαθῶς·* (Ὀδ. Λ. 542.)

* De hoc vide Dindorfii annotationem ad h. l.
† Sic ex Mosqu. a. dedit Hermannus. Vulgo *νῖκαι.*

οἵη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
νόσφιν ἀφειστήκει κεχολωμένη εἵνεκα τευχέων.

εἶτα αὐτοῦ ἄκουε τοῦ κεκρατηκότος· (547.)

ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ.

οὐκ ἐλυσιτέλησεν ἄρα αὐτῷ ἡ νίκη, τοιούτου ἀνδρὸς διὰ τὴν ἧτταν ἀποθανόντος.

Ἡ σκηνὴ τοῦ δράματος ἐν τῷ ναυστάθμῳ πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. δαιμονίως δὲ εἰσφέρει προλογίζουσαν τὴν Ἀθηνᾶν. ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥσπερ ἐξελέγχοντα ἑαυτόν· οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀπορρήτῳ καὶ νυκτὸς τοῦ Αἴαντος δράσαντος. θεοῦ οὖν ἦν τὸ ταῦτα διασαφῆσαι, καὶ Ἀθηνᾶς προκηδομένης* τοῦ Ὀδυσσέως, διό φησι·†

καὶ πάλαι φυλαξ ἔβην
τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.

Περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν. οἱ μὲν γάρ φασιν ὅτι ὑπὸ Πάριδος τρωθεὶς ἦλθεν εἰς τὰς ναῦς αἱμορροῶν· οἱ δὲ ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν· σιδήρῳ γὰρ οὐκ ἦν τρωτός· καὶ οὕτω τελευτᾷ. οἱ δὲ ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστι καὶ Σοφοκλῆς. περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος. ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυψεν ἡ λεοντῆ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινε.

* Ita Jen. προσκηδομένης reliqui.
† διό φησι Jen. inepte ἐφεξῆς reliqui.

ΑΙΑΣ.

ΑΘΗΝΑ.

Ἀεὶ μέν, ὦ παῖ Λαρτίου, δέδορκά σε
πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον·
καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
πάλαι κυνηγετοῦντα καὶ μετρούμενον
ἴχνη τὰ κείνου νεοχάραχθ', ὅπως ἴδῃς
εἴτ' ἔνδον εἴτ' οὐκ ἔνδον. εὖ δέ σ' ἐκφέρει
κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.
ἔνδον γὰρ ἀνὴρ ἄρτι τυγχάνει, κάρα

1. *Λαρτίου.* Editiones veteres, et, ut videtur, codices hic et alibi *Λάρτίου* cum coronide propter formam contractam ex *Λαέρτιος*. Rarus est formæ trisyllabæ usus, cujus tria præter hoc apud Sophoclem exempla inveniuntur, infra v. 380. Phil. 401. 1286. unum apud Eur. Troad. 421. quinque ex Anthologia attulit Schaeferus, quibus adde *Λαρτίου γόνος* ex inscriptione Corcyræa apud Dodwell. Itin. vol. ii. p. 506. DINDORF.

2. *πεῖράν τιν' ἐχθρῶν.* *opportunitatem qua hostibus nocere possis.* Mox *ἁρπάσαι* pendet a *θηρώμενον*. Dindorfius comparat Eurip. Helen. 63. *θηρᾷ γαμεῖν με.* et ibid. 545. *ὅς με θηρᾶται λαβεῖν.*

4. *ἔνθα τάξιν ἐσχάτην ἔχει.* Conferri solent Hom. Il. Λ. 7. Eur. Iph. Aul. 292.

7. *ἐκφέρει.* *perducit.* Cf. Plat. Phæd. p. 66. b. ab Heindorfio citatum. *Κινδυνεύει τις ὥσπερ ἀτραπὸς ἐκφέρειν ἡμᾶς μετὰ τοῦ λόγου ἐν τῇ σκέψει.*

8. *εὔρινος* nominativo casu dictum videtur. Digna quæ conferantur attulit Dindorfius in nota ad locum. Similis ambiguitas Œd. Col. 472. *κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη.*

9. *τυγχάνει* omisso *ὢν* dicitur, sicut in El. 46. Eur. Andr. 1113. Iph. Aul. 730. quibus addit Dindorfius Theodectis locum apud Stob. Flor. 10. 8. *πρὸς ὃν δ' εἴρηκε, τυγχάνει πόσις.* Minus bene Pors. ad Hec. 788. *τυγχάνει στάζων* conjungit.

στάζων ἱδρῶτι καὶ χέρας ξιφοκτόνους.
καί σ᾽ οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης
ἔτ᾽ ἔργον ἐστίν, ἐννέπειν δ᾽ ὅτου χάριν
σπουδὴν ἔθου τήνδ᾽, ὡς παρ᾽ εἰδυίας μάθῃς.

ΟΔΥΣΣΕΥΣ.

ὦ φθέγμ᾽ Ἀθάνας φιλτάτης ἐμοὶ θεῶν,
ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς ὅμως,
φώνημ᾽ ἀκούω καὶ ξυναρπάζω φρενί,
χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς.
καὶ νῦν ἐπέγνως εὖ μ᾽ ἐπ᾽ ἀνδρὶ δυσμενεῖ
βάσιν κυκλοῦντ᾽, Αἴαντι τῷ σακεσφόρῳ.
κεῖνον γάρ, οὐδέν᾽ ἄλλον, ἰχνεύω πάλαι.
νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον
ἔχει περάνας, εἴπερ εἴργασται τάδε·
ἴσμεν γὰρ οὐδὲν τρανές, ἀλλ᾽ ἀλώμεθα·
κἀγὼ ᾽θελοντὴς τῷδ᾽ ὑπεζύγην πόνῳ.
ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
λείας ἁπάσας καὶ κατηναρισμένας
ἐκ χειρὸς αὐτοῖς ποιμνίων ἐπιστάταις.
τήνδ᾽ οὖν ἐκείνῳ πᾶς τις αἰτίαν νέμει.
καί μοί τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει
φράζει τε κἀδήλωσεν· εὐθέως δ᾽ ἐγὼ
κατ᾽ ἴχνος ᾄσσω, καὶ τὰ μὲν σημαίνομαι,
τὰ δ᾽ ἐκπέπληγμαι, κοὐκ ἔχω μαθεῖν ὅτου.

15. ἄποπτος. E machina Minerva loquitur.

17. χαλκοστόμου. Schol. ὀξυφωνοτάτης οὔσης. κώδων est latior pars tubæ, τὸ πλατὺ τῆς σάλπιγγος, monente Suida. De Tyrrhenica tuba apud veteres celebrata vide Porson. ad Phœn. v. 1392.

21. ἄσκοπον. *inexpectatum.* Cf. Trach. 246. El. 864.

27. ἐκ χειρός. *cominus.* HERMANN. ποιμνίων ἐπιστάταις recte *pastores* intelligit Scholiasta.

32. σημαίνομαι. *signis mihi colligo.* διὰ σημείων γινώσκω. Suidas.

33. ὅπου Lb. ὅπου etiam quatuor Suidæ codices. Hermannus autem recte: ‘Præstat ὅτου. Non enim ubi Ajax sit quærit, sed cujus hominis esse facinus illud dicat.’

καιρὸν δ᾽ ἐφήκεις· πάντα γὰρ τά τ᾽ οὖν πάρος
τά τ᾽ εἰσέπειτα σῇ κυβερνῶμαι χερί.
ΑΘ. ἔγνων, Ὀδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην
τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.
ΟΔ. ἦ καί, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;
ΑΘ. ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.
ΟΔ. καὶ πρὸς τί δυσλόγιστον ὧδ᾽ ᾖξεν χέρα;
ΑΘ. χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.
ΟΔ. τί δῆτα ποίμναις τήνδ᾽ ἐπεμπίπτει βάσιν;
ΑΘ. δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.
ΟΔ. ἦ καὶ τὸ βούλευμ᾽ ὡς ἐπ᾽ Ἀργείοις τόδ᾽ ἦν;
ΑΘ. κἂν ἐξέπραξεν, εἰ κατημέλησ᾽ ἐγώ.
ΟΔ. ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;
ΑΘ. νύκτωρ ἐφ᾽ ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
ΟΔ. ἦ καὶ παρέστη κἀπὶ τέρμ᾽ ἀφίκετο;
ΑΘ. καὶ δὴ ᾽πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.
ΟΔ. καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
ΑΘ. ἐγώ σφ᾽ ἀπείργω, δυσφόρους ἐπ᾽ ὄμμασιν
γνώμας βαλοῦσα, τῆς ἀνηκέστου χαρᾶς,
καὶ πρός τε ποίμνας ἐκτρέπω σύμμικτά τε
λείας ἄδαστα βουκόλων φρουρήματα·
ἔνθ᾽ εἰσπεσὼν ἔκειρε πολύκερων φόνον
κύκλῳ ῥαχίζων· κἀδόκει μὲν ἔσθ᾽ ὅτε
δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
ὅτ᾽ ἄλλοτ᾽ ἄλλον ἐμπιτνῶν στρατηλατῶν.

34. καιρόν. Sic καιρὸν οὐδέν᾽ ἦλθες Eur. Hel. 479. Vid. infr. 1316. καιρὸν ἴσθ᾽ ἐληλυθώς. MUSGRAV.

37. κυναγίᾳ MS. Palat. apud Bothium: quod valde probabiliter h. l. restituendum putat Elmsleius ad Eur. Bacch. 339. Cf. Pors. ad Orest. 26.

40. ᾖξεν. Cf. Matth. Gr. Gr. 423. Pors. ad Orest. 1427.

49. στρατηγίσιν. Agamemnonis dicit et Menelai.

51. δυσφόρους. *graves, mentem alienantes.* DINDORF.

54. Recte Schaeferus comma post λείας delevit, ut duplex genitivus ab uno nomine regatur, ut in Ant. 1204. Vid. Matth. Gr. Gr. 380. obs. 1. λείας βουκόλων φρουρήματα sunt pecudes ex præda, curæ pastorum traditæ. HERMANN.

55. ἔκειρε. h. e. κείρων ἐποίει.

58. ἐμπίτνων Dind. ex regula Elmsleii ad Heracl. 77. Med. 54. ἐμπίπτων (τνῶν) La. Hermanno de hac

ἐγὼ δὲ φοιτῶντ᾽ ἄνδρα μανιάσιν νόσοις
ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.
κἄπειτ᾽ ἐπειδὴ τοῦδ᾽ ἐλώφησεν πόνου,
τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν
ποίμνας τε πάσας εἰς δόμους κομίζεται,
ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων.
καὶ νῦν κατ᾽ οἴκους συνδέτους αἰκίζεται.
δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῇς.
θαρσῶν δὲ μίμνε μηδὲ συμφορὰν δέχου
τὸν ἄνδρ᾽. ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν.
οὗτος, σὲ τὸν τὰς αἰχμαλώτιδας χέρας
δεσμοῖς ἀπευθύνοντα προσμολεῖν καλῶ·
Αἴαντα φωνῶ· στεῖχε δωμάτων πάρος.
ΟΔ. τί δρᾷς, Ἀθάνα; μηδαμῶς σφ᾽ ἔξω κάλει.
ΑΘ. οὐ σῖγ᾽ ἀνέξει μηδὲ δειλίαν ἀρεῖς;
ΟΔ. μὴ πρὸς θεῶν· ἀλλ᾽ ἔνδον ἀρκείτω μένων.
ΑΘ. τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ᾽ ἦν;
ΟΔ. ἐχθρός γε τῷδε τἀνδρὶ καὶ τανῦν ἔτι.
ΑΘ. οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν;
ΟΔ. ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐν δόμοις μένειν.
ΑΘ. μεμηνότ᾽ ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν;
ΟΔ. φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ.

quæstione disputanti me assentiri dixi ad Eumen. v. 476.

60. ὤτρυνον, εἰσέβαλλον. Copulæ omissio non infrequens. Cf. El. 719. Æsch. Pers. 416.

68. μηδὲ συμφορὰν δέχου τὸν ἄνδρα. *Neque infortunium tibi puta hunc virum fore.* HERMANN.

71. αἰχμαλωτίδας vulgo. Accentum ex La. R. Lb. em. correxit Dindorfius.

75. μηδὲ δειλίαν ἀρεῖς] μηδὲ cum οὐ præcedenti conjungendum notabunt tirones.

76. ἔνδον ἀρκείτω μένων. Cf. Œd. T. 1061. Obiter moneo in Prom. V. 621. corrigendum forte τοσοῦτον ἀρκῶ σοι σαφηνίσας μόνον. Cæterum μὴ πρὸς θεῶν referuntur ad verba μηδαμῶς σφ᾽ ἔξω κάλει.

77. ἀνὴρ ὅδ᾽ ἦν. h. e. quem antea non formidasti, quamvis esset vir fortissimus, ne nunc quidem formidare te convenit. WUNDER.

80. ἐς[ἐν] δόμους[οι] La. ἐς δόμους Lb.

82. νιν οὐκ ἂν ἐξέστην ὄκνῳ. Accusativus regitur a *metuendi* notione quæ verbis ἐξέστην ὄκνῳ inest.

ΑΘ. ἀλλ᾽ οὐδὲ νῦν σε μὴ παρόντ᾽ ἴδῃ πέλας.
ΟΔ. πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;
ΑΘ. ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
ΟΔ. γένοιτο μεντἂν πᾶν θεοῦ τεχνωμένου.
ΑΘ. σίγα νυν ἑστὼς καὶ μέν᾽ ὡς κυρεῖς ἔχων.
ΟΔ. μένοιμ᾽ ἄν· ἤθελον δ᾽ ἂν ἐκτὸς ὢν τυχεῖν.
ΑΘ. ὦ οὗτος Αἴας, δεύτερόν σε προσκαλῶ.
τί βαιὸν οὕτως ἐντρέπει τῆς ξυμμάχου;

ΑΙΑΣ.

ὦ χαῖρ᾽ Ἀθάνα, χαῖρε Διογενὲς τέκνον,
ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ
στέψω λαφύροις τῆσδε τῆς ἄγρας χάριν.
ΑΘ. καλῶς ἔλεξας. ἀλλ᾽ ἐκεῖνό μοι φράσον,
ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
ΑΙ. κόμπος πάρεστι κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ΑΘ. ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα;
ΑΙ. ὥστ᾽ οὔποτ᾽ Αἴανθ᾽ οἵδ᾽ ἀτιμάσουσ᾽ ἔτι.
ΑΘ. τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ᾽ ἐγώ.
ΑΙ. θανόντες ἤδη τἄμ᾽ ἀφαιρείσθων ὅπλα.
ΑΘ. εἶεν, τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου,
ποῦ σοι τύχης ἕστηκεν; ἦ πέφευγέ σε;
ΑΙ. ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ᾽ ὅπου;
ΑΘ. ἔγωγ᾽· Ὀδυσσέα τὸν σὸν ἐνστάτην λέγω.
ΑΙ. ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
θακεῖ· θανεῖν γὰρ αὐτὸν οὔ τί πω θέλω.
ΑΘ. πρὶν ἂν τί δράσῃς ἢ τί κερδάνῃς πλέον;
ΑΙ. πρὶν ἂν δεθεὶς πρὸς κίον᾽ ἑρκείου στέγης

89. Ἄιας La. Eustath. p. 1469. 59. Greg. Corinth. lviii. quibus addit Dindorfius Chœroboscum in Bekkeri Anecd. p. 1183. Αἶαν habent aliquot libri, et hoc tuetur Hermannus.

90. Leg. forte σῆς συμμάχου.

98. ὥστ᾽] ὡς, asseverandi sc. vi dictum, probabilis est Elmsleii conjectura.

104. Ὀδυσσέα. Cf. ad Trach. 233.

105. ἥδιστος. *Mihi pergratus.*

108. ἑρκείου Elmsleius, citans Æsch. Choeph. 561. 571. 652. Eurip. Tro. 17. 483. Cratinum Athen. p. 460. F. Libri ἑρκίου.

ΑΘ. τί δῆτα τὸν δύστηνον ἐργάσει κακόν;
ΑΙ. μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.
ΑΘ. μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.
ΑΙ. χαίρειν, Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι·
κεῖνος δὲ τίσει τήνδε κοὐκ ἄλλην δίκην.
ΑΘ. σὺ δ' οὖν, ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν,
χρῶ χειρί, φείδου μηδὲν ὧνπερ ἐννοεῖς.
ΑΙ. χωρῶ πρὸς ἔργον· τοῦτό σοι δ' ἐφίεμαι,
τοιάνδ' ἀεί μοι ξύμμαχον παρεστάναι.
ΑΘ. ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση;
τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνούστερος,
ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;
ΟΔ. ἐγὼ μὲν οὐδέν' οἶδ'· ἐποικτείρω δέ νιν
δύστηνον ἔμπας, καίπερ ὄντα δυσμενῆ,
ὁθούνεκ' ἄτῃ συγκατέζευκται κακῇ,
οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ' ὅσοιπερ ζῶμεν ἢ κούφην σκιάν.
ΑΘ. τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρῃς μηδέν', εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει.
ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.

109. Legendum forte *ἐργάσῃ*, ut a *πρὶν ἂν* pendeat constructio.

112. *χαίρειν*. Sensus est: *Cætera tibi ex sententia tua cedant, sinam: ille vero hanc, neque aliam dabit pœnam.* Fallitur Musgravius, Sophoclem putans contrarium communi usui potestatem verbis *χαίρειν σ' ἐφίεμαι* tribuisse. Immo servavit eam. Nam *χαίρειν κελεύω* est missum facientis aliquid. Atqui hoc ipsum innuit Ajax quum dicit, *de cæteris rebus scito nihil mihi tecum esse.* HERMANN.

114. *τέρψις ἥδε*. Cf. ad Ant. 482.

115. *φείδου μηδέν*, h. e. *ἐκείνων ὧν*. Monui ne quis *φείδεσθαι* cum accusativo constructum putet.

122. *ἔμπης* libri. *ἔμπας* ex Schol. correxit Brunckius. Sic *ἔμπας* libri veteres in v. 1338.

126. *κούφην σκιάν*. Cf. El. 1159. infra v. 1257.

129. *ἄρῃ* La. et alii nonnulli. *ἄρῃς* vulgo; et activam formam vides supra v. 75.

ΧΟΡΟΣ.

Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου,
σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω·
σὲ δ' ὅταν πληγὴ Διὸς ἢ ζαμενὴς
λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
μέγαν ὄκνον ἔχω καὶ πεφόβημαι
πτηνῆς ὡς ὄμμα πελείας.
ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς
μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
ἐπὶ δυσκλείᾳ,
σὲ τὸν ἱππομανῆ λειμῶν' ἐπιβάντ'
ὀλέσαι Δαναῶν βοτὰ καὶ λείαν,
ἥπερ δορίληπτος ἔτ' ἦν λοιπή,
κτείνοντ' αἴθωνι σιδήρῳ.

134. *ἀμφιρύτου*. Cf. ad Ant. 950.

135. *ἔχων*. *qui possides.* *ἀγχίαλος* simpliciter *maritimum* significare videtur, sicubi de insulis usurpatur. Cf. Æsch. Pers. 886. Hom. Hymn. in Apoll. 32. Insulæ enim pars omnis non longe a mari distat, unde et tota insula *mari vicina* dicitur. Quod ait Lobeckius, Salaminem tam prope a littore abesse ut ab altera tantum parte mare attingere videatur, propterea falsum esse arguitur quod et aliis insulis longius a terra dissitis idem epitheton tribui videmus.

136. *σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω.* Accusativi usus hodie satis notus, quem tamen Brunckii temporibus ab *ὁρῶν* subaudito pendere putabant. Vid. ad Œd. T. 785. et cf. Phil. 1314.

137. *πληγὴ Διός*. *morbus sive furor divinitus immissus.* Paullo aliter usurpatur hæc locutio ab Æsch. Agam. 367.

140. *ὄμμα πελείας*. *oculum* dicit, quia oculorum nictatione animi motus significantur. LOBECK. Recte ad sensum Schol.: *περιφραστικῶς ἡ πελεία.*

141. *φθιμένης*] *παρελθούσης* Suidas. Cf. *νὺξ ἐναριζομένα* Trach. 94.

143. Hi anapæsti olim sic distinguebantur, *ἐπὶ δυσκλείᾳ, σὲ τὸν ἱππομανῆ | λειμῶν' ἐπιβάντ' ὀλέσαι Δαναῶν | βοτὰ καὶ λείαν.* Aliter distinxit Dindorfius: idem facturus infra v. 150. seqq. Sed ibi quidem nescio an non recte.

ἱππομανῆ. *equis bacchatum, sive ubi equi bacchantur.* Bene confert Lobeckius Virg. Georg. ii. 487. *Virginibus bacchata Lacænis Taygeta*; et aptius etiam Lucret. v. 822. *Animal omne quod in magnis bacchatur montibus passim.* Minus bene interpretatur Toupius, Emend. in Suid. vol. i. p. 272. *pratum quod abundat equis, sive quod multos equos alit.*

τοιούσδε λόγους ψιθύρους πλάσσων
εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεύς,
καὶ σφόδρα πείθει. περὶ γὰρ σοῦ νῦν
εὔπιστα λέγει, καὶ πᾶς ὁ κλύων
τοῦ λέξαντος χαίρει μᾶλλον
τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
οὐκ ἂν ἁμάρτοις· κατὰ δ' ἄν τις ἐμοῦ
τοιαῦτα λέγων οὐκ ἂν πείθοι.
πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
καίτοι σμικροὶ μεγάλων χωρὶς
σφαλερὸν πύργου ῥῦμα πέλονται·
μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν
καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων
ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
τούτων γνώμας προδιδάσκειν.
ὑπὸ τοιούτων ἀνδρῶν θορυβεῖ
χἠμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτ'
ἀπαλέξασθαι σοῦ χωρίς, ἄναξ.
ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν,

151. εὔπιστα La. pr. Γ. R. εὔπειστα vulgo. Dindorfius: εὔπιστα quæ facile creduntur: εὔπειστα de quibus facile persuadetur.

152. Comma post μᾶλλον delendum vidit Bothius, ut χαίρει καθυβρίζων jungantur.

154. ψυχῶν ἱείς. De constructione cum genitivo vid. Matth. Gr. Gr. 350.

155. ἁμάρτοις La. pr. Suid. s. v. κλύει. ἁμάρτοι reliqui et Schol. qui τις subaudiri monet. Similis variatio Trach. v. 2. ubi itidem ἐκμάθοις præbet La.

κατὰ δ' ἄν] ἂν utrumque cum πείθοι conjungendum. Cf. ad Œd. T. 446.

157. τὸν ἔχοντα. *opulentum, potentem.* εὖ ἔχοντα interpretatur Scholiasta.

163. τούτων γνώμας. *quid de his rebus sentire deceat.*

προδιδάσκειν. Abundat præpositio. Vide Heindorf. ad Platonis Gorgiam p. 34. ed. sec. GAISFORD. Cf. πρόπας Hom. Il. B. 493. quod tribus in locis Sophoclis reperitur, sc. Œd. T. 169. Œd. Col. 1237. Ant. 859. πρόκακος Æsch. Pers. 986. 991. προΐει Hom. Il. A. 326. 336. citante Fischero ad Well. Gram. p. 13.

166. ἀπαλέξασθαι. h. e. ὥστε ἀπαλέξασθαι. Minus bene ἀντιτάξασθαι exponit Suidas s. v.

167. ἀλλ' ὅτε γὰρ δὴ — σιγῇ πτήξειαν ἄφωνοι. Constructionis ratio hæc est: quum poeta primum hæc sibi opponi voluisset, ἡμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτα, — ἀλλὰ τάχ' ἄν, εἰ σὺ φανείης, πτήξειαν, nunc interposita sententia secundaria sc. ὅτε

παταγοῦσιν ἅτε πτηνῶν ἀγέλαι·
μέγαν αἰγυπιὸν δ' ὑποδείσαντες
τάχ' ἂν ἐξαίφνης, εἰ σὺ φανείης,
σιγῇ πτήξειαν ἄφωνοι.
ἦ ῥά σε Ταυροπόλα Διὸς Ἄρτεμις, στροφή.
ὦ μεγάλα φάτις, ὦ
μᾶτερ αἰσχύνας ἐμᾶς,
ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας
ἦπού τινος νίκας ἀκάρπωτον χάριν,
ἤ ῥα κλυτῶν ἐνάρων

γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν παταγοῦσιν, κ. τ. λ. mutata constructione sequentia proxime prægressis potius quam alteri principalis sententiæ membro accommodavit. Ita particula δὲ de novo infertur, quasi ἀλλὰ non præcessisset.

169. δ' in libris omissum addidit Dawesius.

170. ἐξαίφνης ad πτήξειαν retulit Hermannus. Vulgo ad εἰ σὺ φανείης refertur.

171. σιγῇ πτήξειαν ἄφωνοι] σιωπᾷ ἔπταξαν ἀκίνητοι Pind. Pyth. 4. 101. citante Lobeckio.

172. ἦ ῥά. Hæc sine interrogatione enunciantur. Cf. v. 954. ἦ ῥα κελαινώπαν θυμὸν ἐφυβρίζει πολύτλας ἀνήρ. Has particulas perraro apud Atticos poetas reperiri observavit Dindorfius ad Arist. Pac. 114.

Ταυροπόλα. De terminatione feminina vid. Porson. ad Eur. Hec. præf. p. ix. et ad Med. 822. De vocis significatione vid. Lobeck. Aglaoph. p. 1089. qui Dianam Ταυροπόλον bacchantium ritu coli solitam ostendit, ideoque ab illa hoc loco furoris caussam repeti.

173. μεγάλα φάτις. Adjectivi μέγας idem quod δεινὸς significantis exempla attulit Erfurdtius Æsch. Choeph. 482. μέγας μόρος. Agam. 1481. μέγας δαίμων. Pers. 906. μεγάλως δμαθέντες. Cf. etiam infra v. 226.

176. ἦ που Lobeckius. Libri ἤπου. νίκας ἀκάρπωτον χάριν dixit, quod simplicius νίκας ἀκαρπώτου χάριν dicendum erat. Cf. ad Trach. 817. Bene contulit Erfurdtius Iph. T. 566. κακῆς γυναικὸς χάριν ἄχαριν ἀπώλετο. Operæ autem pretii fuerit totius loci rationem paullo clarius enucleare. Duo sunt præcipua membra: ἦ ῥά σε Ἄρτεμις ὥρμησε — ἦ χαλκοθώραξ Ἐνυάλιος. Dein rursus in duo divisit sententiam priori membro subjectam, in qua quam ob caussam irata fuerit Diana exponit. Certe enim (ἦ που) ob victoriam unde præmium nullum accepisset, eam succensuisse dicit: ea autem victoria bellica fuerit, in qua κλυτῶν ἐνάρων ἐψεύσθη, an venatoria, ex qua partem nihil Deæ Ajax dedisset (ἀδώροις ἐλαφηβολίαις), nescit. Recte igitur ἦ που ante νίκας restituit Lobeckius, cui deinde subjecta sunt ἤ ῥα — εἴτε; quas particulas invicem sese excipientes monstravit idem in Eur. Alc. 114. Iph. T. 273. Plat. Legg. ix. 862. D. Eur. Hipp. 142. Strab. viii. 236. Athen. xiv. 648. D.

177. ἐνάρων ψευσθεῖσα δώροις libri. Correxit Musgravius. Recte Hermannus: *ob venationem munere vacuam.*

ψευσθεῖσ', ἀδώροις εἴτ' ἐλαφηβολίαις;
ἢ χαλκοθώραξ εἴτιν' Ἐνυάλιος
μομφὰν ἔχων ξυνοῦ δορὸς ἐννυχίοις
μαχαναῖς ἐτίσατο λώβαν.
οὔ ποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερά, ἀντιστροφή.
παῖ Τελαμῶνος, ἔβας
τόσσον ἐν ποίμναις πιτνῶν.
ἥκοι γὰρ ἂν θεία νόσος· ἀλλ' ἀπερύκοι
καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν.
εἰ δ' ὑποβαλλόμενοι
κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς,
ἢ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς,
μὴ μή μ', ἄναξ, ἔθ' ὧδ' ἐφάλοις κλισίαις
ὄμμ' ἔχων κακὰν φάτιν ἄρῃ.
ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι ἐπῳδός.

178. Scribendum fortasse ἐλαφαβολίαις. Vid. ad Œd. T. 180. Trach. 214.

179. εἴ τιν' Elmsleius. ἤ τιν' libri. εἰ tali in sententia interdum dubitantis est an quid ita se habuerit: et ita cum verbo principali jungitur. Hoc modo Œd. T. 1105. εἴθ' ὁ Κυλλάνας ἀνάσσων, εἴθ' ὁ Βακχεῖος θεὸς—εὕρημα δέξατ' κ. τ. λ. Melior tamen altera ratio, scilicet ut εἴτινα, vel εἴτινα ἔχων elliptice dicatur pro μομφὰν ἔχων εἴ τινα (εἶχε), h. e. *querelam aliquam habens.* Cf. infra v. 885. Phil. 1204.

180. μομφὰν ἔχων ξυνοῦ δορός. *questus ob auxilium in bello a se Ajaci datum*, cujus beneficii ille gratiam non retulisset.

ἐννυχίοις μαχαναῖς. Ajacem sc. ad facinus nocturnum instigando.

182. φρενόθεν. *sponte, sana mente usus.* ἐπ' ἀριστερὰ ἔβας. *ad prava consilia deflexisti.*

185. τόσσον. Cf. Æsch. Ag. 140. a Lobeck. citat. qui geminationis hujus apud Tragicos et alia quædam exempla indicavit.

186. θεία νόσος. Cf. vv. 137. 611.

190. ἢ τᾶς ἀσώτου. sc. τις sive ὁ, ut Ulysses intelligatur. Dura tamen est constructio. Legendum fortasse Σισυφίδας.

191. μὴ μή μ', ἄναξ. Diphthongi elisionem apud Atticos poetas non esse ferendam contendentibus prorsus assentior: nec tamen diffiteri possum hunc locum non sine magna duritie ita cum Hermanno explicari ut μ' pro accusativo habeatur. Videndum an in voce tam crebro usu frequentata licentiæ aliquid interdum sibi indulserint poetæ; quæ Lobeckii sententia videtur. Certe μ' hoc quidem loco pro μοι positum fuisse crediderim.

ἐφάλοις κλισίαις ὄμμ' ἔχων. h. e. *ne semper ad litus desideas.* Horat. III. od. xxix. 6. *Ne semper udum Tibur et Æsulæ Declive contempleris arvum.* Lobeck. ἔφαλοι κλισίαι tentoria sunt nautica.

192. κακὰν φάτιν ἄρῃ. *malam tibi famam contrahas.* ἄρῃς codd. non nulli et Suid. s. v. μή.

στηρίζει ποτὲ τᾷδ' ἀγωνίῳ σχολᾷ
ἄταν οὐρανίαν φλέγων.
ἐχθρῶν δ' ὕβρις ὧδ' ἀτάρβητα
ὁρμᾶται ἐν εὐανέμοις βάσσαις,
πάντων καγχαζόντων γλώσσαις
βαρυάλγητ'· ἐμοὶ δ' ἄχος ἕστακεν.

ΤΕΚΜΗΣΣΑ.

ναὸς ἀρωγοὶ τῆς Αἴαντος,
γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν,
ἔχομεν στοναχὰς οἱ κηδόμενοι
τοῦ Τελαμῶνος τηλόθεν οἴκου.
νῦν γὰρ ὁ δεινὸς μέγας ὠμοκρατὴς

195. ποτὲ cum ὅπου recte conjungit Hermannus. *Ubicunque tandem hac diuturna cessatione defixus manes.* Frustra ποτὲ impugnat Wunderus, quod scilicet non ignoravit Chorus, quo in loco versaretur Ajax. Certe eum apud naves desidere non ignorabat: nec tamen qua potissimum in parte hoc temporis puncto esset, cognitum habere potuit. ἀγωνίῳ σχολᾷ Hermannus *a bellicis negotiis cessationem* recte intelligere videtur. Alii *anxiam, sollicitudinis plenam* interpretantur. Ita Scholiasta: τὸν ἀγῶνα ἐμποιούσῃ σοι.

196. ἄταν οὐρανίαν φλέγων. *accendens* (h. e. augens) *malum divinitus immissum.* Sic recte unus ex Schol. Minus recte alius μετέωρον, μεγάλην exponit. De voce οὐράνιος vid. Blomf. Gloss. Æsch. Pers. 579. et cf. Ant. 418.

197. ἀτάρβητα neutro plurali libri. ἀτάρβητος et mox ὁρμᾷ Hermannus. ὁρμᾶτ' La. Ald. et plerique codd. ὁρμᾶται Brunckius. ὧδ' quod omittit Suidas, ejecit Dindorfius.

198. ἐν εὐανέμοις βάσσαις. Metaphorice dictum videtur. Credo oppositionem inter στηρίζει et hæc verba ὁρμᾶται—βάσσαις quæsivisse poetam. Ajax semper in uno loco obsidiis obnoxius sedet: dum inimici apertos quasi per saltus vagantur, occasionem illum lædendi nunquam non captantes. Non probandum Scholiastæ commentum, ὡς πῦρ deesse putantis.

199. ἁπάντων καχαζόντων Dindorfius, quum καγχάζειν forma sit Atticis ignota. Idem mox βαρυαλγήτως nuper correxit hiatus vitandi causa. Horum nihil admisi quum de metro horum versuum non plane videatur constare. Lectionem Aldinam exhibere satis habui, nisi quod ὁρμᾶται cum Brunckio scripsi.

201. ναὸς ἀρωγοί. Nautas dicit.

202. γενεᾶς. sc. οὔσης. χθονίων valet αὐτοχθόνων. Cf. Musgr. ad Œd. Col. 948. Quamobrem ita Chorus appelletur, rationem hanc affert Schol.: διὰ τὸ τὴν Σαλαμῖνα συνῆφθαι τῇ Ἀττικῇ, καὶ περισπούδαστον τοῖς Ἀθηναίοις κτήσασθαι αὐτήν. Salamis autem eo tempore quo scribebat poeta Atheniensium erat.

204. τηλόθεν. sc. ὄντος.

205. ὁ μέγας vulgo. Articulum delevit Erfurdtius, et post eum alii.

Αἴας θολερῷ
κεῖται χειμῶνι νοσήσας.
ΧΟ. τί δ' ἐνήλλακται τῆς ἡμερίας
νὺξ ἥδε βάρος;
παῖ τοῦ Φρυγίου Τελεύταντος,
λέγ', ἐπεί σε λέχος δουριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας·
ὥστ' οὐκ ἂν ἄϊδρις ὑπείποις.
ΤΕ. πῶς δῆτα λέγω λόγον ἄρρητον;
θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσει.
μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς
νύκτερος Αἴας ἀπελωβήθη.
τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
κείνου χρηστήρια τἀνδρός.

ὠμοκρατὴς miror a quibusdam *humeris valentem* explicatum esse: immo valet *durum in imperiis, sævum*. Cf. v. 548. a Suida s. h. v. collatum.

208. τί δ' ἐνήλλακται τῆς ἡμερίας νὺξ ἥδε βάρος. Recte monet Triclinius τί βάρος ἐνήλλακται positum esse pro τίνα βαρεῖαν ἐναλλαγὴν ἐνήλλακται; h. e. ut vertit Hermannus, *quam malam mutationem subiit?* ἐνήλλακται genitivum regit τῆς ἡμερίας. *diversam ab eo statu quem hesterna dies attulerat.* Nam τῆς ἡμερίας diem hesternum significare recte monuit Schol. Barocc. Exempla adjectivorum quale est ἡμερία, sc. ὥρα, pro substantivis adhibitorum attulerunt Schaef. ad Bos. s. v. ὥρα. Lobeck. ad h. l. Recte autem fortasse ἡμερίας rescripsit Dindorfius: quum Dorismus alienus ab his versibus videtur. Vulgo ἁμερίας.

210. Φρυγίου Τελεύταντος] Φρυγίοιο Τελεύταντος Iaegerus: et sic conjecerat Hermannus, recepta tamen Φρυγίου] σὺ Τελεύταντος ex emendatione Porsoni ad Hec. 120. Credo nonnulla hujusmodi apud Tragicos esse relinquenda. Cf. Lex. Æschyl. s. v. Ἱππομέδων.

211. λέχος. *uxorem.* Cf. Trach. v. 17. ἀνέχει. *colit, honorat.*

213. ὑπείποις. ὑπειπεῖν est *indicare, dicendo suggerere.*

214. λέξω suprascr. in Dresd. a. Nesciebat scilicet librarius iste λέγω subjunctivum esse.

216. ἡμῖν libri. Correxit Brunckius. Jungenda autem ἁλοὺς νύκτερος. *nocte captus.*

217. ἀπελωβήθη. Fallitur Eustathius Il. N. p. 923. 2. abundare præpositionem in verbo ἀπελωβήθη putans. Intendit enim vim verbi, *penitus* quid fieri significans, ut *de* apud Latinos. HERMANN.

220. χρηστήρια] χρηστήρια idem [h. l.] significat quod σφάγια *victimæ*, ut ἱερεῖα sæpe dicitur ἐπὶ τῶν ἁπλῶς σφαζομένων Eustath. p. 1671. 62. Schol. ad Æsch. Sept. c. Th. 230. τὸ σφάγια καὶ χρηστήρια ἐκ παραλλήλου, οὐ γὰρ μόνον χρηστήρια τὰ μαντεύματα ἀλλὰ καὶ τὰ θύματα. Proprie quidem ea quæ oraculi consulendi consultive caussa cædebantur. LOBECK. Cf. Æsch. Suppl. 450. δεῖ κάρτα θύειν καὶ πεσεῖν χρηστήρια θεοῖσι πολλοῖς πολλά, πημονῆς ἄκη.

ΧΟ. οἵαν ἐδήλωσας ἀνδρὸς *στροφή.*
αἴθοπος ἀγγελίαν
ἄτλατον οὐδὲ φευκταν,
τῶν μεγάλων Δαναῶν ὕπο κληζομέναν,
τὰν ὁ μέγας μῦθος ἀέξει.
οἴμοι, φοβοῦμαι τὸ προσέρπον. περίφαντος ἀνὴρ
θανεῖται, παραπλήκτῳ χερὶ συγκατακτὰς
κελαινοῖς ξίφεσιν βοτὰ
καὶ βοτῆρας ἱππονώμας.
ΤΕ. ὤμοι· κεῖθεν κεῖθεν ἄρ' ἡμὶν
δεσμῶτιν ἄγων ἤλυθε ποίμναν·
ὧν τὴν μὲν ἔσω σφάζ' ἐπὶ γαίας,
τὰ δὲ πλευροκοπῶν δίχ' ἀνερρήγνυ.
δύο δ' ἀργίποδας κριοὺς ἀνελών,

222. αἴθοπος. Quod de colore proprie dicitur, hic ad hominis ingenium *acre* et *fervidum* translatum videtur, repugnante tamen Eustath. p. 862. 10. αἴθονος correpta ex αἴθωνος vocali dedit Dindorfius: quem contra fusius agit Lobeckius. Bonæ frugis est Hermanni annotatio: 'Posse hoc epitheton iis annumerari, in quibus terminatio sermoni poetico tribuenda est, neque quidquam ad significationem confert. Omnino enim proprium hoc est Græcæ poeseos, epitheta composita ita usurpare, ut primaria tantum quæ in iis inest notio, ad sensum loci adhibeatur, altera autem auribus tantum pleniore sono oblectandis inserviat.' De locutione ἀνδρὸς ἀγγελίαν cf. ad Ant. 11.

225. ὑποκληζομέναν libri plerique. Divisim scriptum in D.

226. ὁ μέγας μῦθος. Cf. ad v. 173.

227. οἴμοι. Edd. vett. et Suidas ᾤμοι cum iota subscripto quod nullam habet idoneam rationem. οἴμοι et ὤμοι, quas formas solas memorat Apollonius Dysc. de adverb. p. 536. 28. dixerunt veteres, quorum alterum ab οἴ, alterum ab ὦ interjectione derivatur. Etym. M. p. 618. 13. ὤ, σχετλιαστικὸν ἐπίρρημα. ὅθεν τὸ ὤμοι, ὅπερ οὐκ ἔχει προσγεγραμμένον τὸ ἰῶτα. DINDORF.

229. ἀνὴρ Hermannus. Libri ἀνήρ.

232. ἱππονόμους vulgo. ἱππονώμας correxit Porsonus, coll. Eurip. Hipp. 1399. Arist. Nub. 571. ἱππονώμους Hermannus: cui ἱππονώμας potius dici videtur ubi substantivo opus est.

235. ὧν τὴν μὲν] τὴν generaliter dixit, quod ad οἶν e ποίμναν intelligendum referas. Male τὴν ποίμνην interpretatur Scholiasta.

σφάζ] 'σφαζ' Mosq. b.

237. Quæritur quosnam his verbis designaverit poeta, δύο δ' ἀργί-

τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
ῥίπτει θερίσας,
τὸν δ' ὀρθὸν ἄνω κίονι δήσας
μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν
παίει λιγυρᾷ μάστιγι διπλῇ,
κακὰ δεννάζων ῥήμαθ', ἃ δαίμων
κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν.
ΧΟ. ὥρα τιν' ἤδη κάρα κα- *ἀντιστροφή.*
λύμμασι κρυψάμενον
ποδοῖν κλοπὰν ἀρέσθαι,
ἢ θοὸν εἰρεσίας ζυγὸν ἑζόμενον
ποντοπόρῳ ναῒ μεθεῖναι.
τοίας ἐρέσσουσιν ἀπειλὰς δικρατεῖς Ἀτρεῖδαι
καθ' ἡμῶν· πεφόβημαι λιθόλευστον Ἄρη
ξυναλγεῖν μετὰ τοῦδε τυ-
πείς, τὸν αἶσ' ἄπλατος ἴσχει,

ποδας κριούς. 'ὁ μὲν Agamemnon, ὁ δὲ vero non Ulixes est, sed Menelaus, par autem arietum, δύο ἀργίποδες κριοί, significat par fratrum Atridarum, quos διssάρχας βασιλῆς Ajax vocat v. 389. et ut injustæ sententiæ auctores iterum conjunctos nominat v. 445. νῦν δ' αὔτ' (arma sc.) Ἀτρεῖδαι φωτὶ παντουργῷ φρένας ἔπραξαν ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη.' Ita Dindorfius ex Zenobio 1. 43. ubi proverbium Αἰάντειος γέλως explicatur.

238. ῥίπτει Mosq. b. ῥιπτεῖ vulgo. Cf. Trach. v. 780. et vid. Hermanni not. ad h. l. qui monet ῥίπτειν *jaciendi*, ῥιπτεῖν *jactandi* potius significationem habere. Cæterum hos anapæstos, vulgo sic descriptos, ῥίπτει θερίσας, τὸν δ' ὀρθὸν ἄνω | κίονι δήσας | μέγαν κ. τ. λ. meliorem in ordinem redegit Dindorfius.

243. δαίμων. *malum genium* recte interpretatur Musgravius. Cf. Œd. T. 1258. a Dindorfio laudatum. λυσσῶντι δ' αὐτῷ δαιμόνων δείκνυσί τις. οὐδεὶς γὰρ ἀνδρῶν οἳ παρῆμεν ἐγγύθεν.

245. τιν'. h. e. πάντα τινά. Vid. ad Æsch. Eumen. v. 339.

247. κλοπὰν ἀρέσθαι. *clam se in fugam conjicere.* Dicitur sicut φυγὰν αἴρεσθαι Æsch. Pers. 481. et alibi.

248. εἰρεσίας ζυγόν. *remorum transtrum.* Mox μεθεῖναι metaphorice dicitur, plane ut in Virg. Æn. vi. 1. *classique* immittit *habenas.* Jungendum autem cum εἰρεσίαν videtur ex v. 248. repetendo. Vertit Hermannus; *liberum facere remorum usum.*

251. ἐρέσσουσιν. Tralate dictum, metaphora satis nota. Cum δικρατεῖς cf. διθρόνου τιμῆς καὶ δισκήπτρου Æsch. Ag. 43.

252. λιθόλευστον Ἄρη. Cf. φόνος δημόλευστος Ant. 36. ῥιπτὸς μόρος Trach. 357. Alia attulit Lobeckius. Cæterum Ἄρη habet A. Ἄρην La. R. Γ. aliique.

256. ἄπλαστος T. Dresd. a. et b. pr. Vid. ad Eum. 53.

ΤΕ. οὐκ ἔτι. λαμπρᾶς γὰρ ἄτερ στεροπᾶς
ᾄξας ὀξὺς νότος ὣς λήγει.
καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει.
τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.
ΧΟ. ἀλλ' εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ.
φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.
ΤΕ. πότερα δ' ἄν, εἰ νέμοι τις αἵρεσιν, λάβοις,
φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;
ΧΟ. τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.
ΤΕ. ἡμεῖς ἄρ' οὐ νοσοῦντες ἀτώμεσθα νῦν.
ΧΟ. πῶς τοῦτ' ἔλεξας; οὐ κάτοιδ' ὅπως λέγεις.
ΤΕ. ἀνὴρ ἐκεῖνος, ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς,
ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
νῦν δ' ὡς ἔληξε κἀνέπνευσε τῆς νόσου,
κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ
ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος.
ἆρ' ἔστι ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;
ΧΟ. ξύμφημι δή σοι καὶ δέδοικα μὴ 'κ θεοῦ
πληγή τις ἥκει. πῶς γάρ, εἰ πεπαυμένος

257. ἄτερ στεροπᾶς. Austrum sine tempestate ortum mox cessare observat Triclinius. Sensus igitur est: cito (ὀξὺς) *desiit furere, ut auster sine fulmine ortus.* HERMANN. Malim tamen ὀξὺς ad ᾄξας referre, sc. qui prius vehemens erat, nunc autem cessat. Et hoc voluisse videtur Suidas: λήγει ὡς ὀξὺς νότος. τούτεστι ταχέως.

260. εἰσλεύσσειν Γ. Eust. p. 1422. 60.

267. Cf. ad Trach. 613.

269. Recte videntur Scholiastæ hæc sic interpretari, ut Tecmessa, quod de Ajace dicendum erat, liberatum eum morbo esse, de se quoque prædicet, quoniam principale verbum, ἀτώμεσθα, ad ambos spectat. Alioqui dicere potuisset, οὐ νοσοῦντος. HERMANN.

273. φρονοῦντας] γρ. βλέποντας La. Hoc amplectitur Hermannus.

279. ἥκει Ven. ἥκῃ Jen. Suid. s. v. δέδοικα. ἥκοι reliqui. Discrimen inter ἥκῃ et ἥκει non male tradit Hermannus: 'μὴ ᾖ verentis est, ne quid nunc sit, simulque nescire se, utrum sit, necne, significantis: μὴ ἔστι verentis quidem est, sed

μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται ;
TE. ὡς ὧδ' ἐχόντων τῶνδ' ἐπίστασθαί σε χρή.
XO. τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο ;
δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.
TE. ἅπαν μαθήσει τοὔργον, ὡς κοινωνὸς ὤν.
κεῖνος γὰρ ἄκρας νυκτός, ἡνίχ' ἕσπεροι
λαμπτῆρες οὐκέτ' ᾖθον, ἄμφηκες λαβὼν
ἐμαίετ' ἔγχος ἐξόδους ἕρπειν κενάς.
κἀγὼ 'πιπλήσσω καὶ λέγω, τί χρῆμα δρᾷς,
Αἴας ; τί τήνδ' ἄκλητος οὐδ' ὑπ' ἀγγέλων
κληθεὶς ἀφορμᾷς πεῖραν, οὔτε του κλύων
σάλπιγγος ; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα·
γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ' ἔληξ', ὁ δ' ἐσσύθη μόνος.
καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω φράζειν πάθας·
ἔσω δ' ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
ταύρους, κύνας βοτῆρας, εὔκερών τ' ἄγραν.
καὶ τοὺς μὲν ηὐχένιζε, τοὺς δ' ἄνω τρέπων
ἔσφαζε κἀρράχιζε, τοὺς δὲ δεσμίους
ᾐκίζεθ' ὥστε φῶτας ἐν ποίμναις πιτνῶν.
τέλος δ' ὑπᾴξας διὰ θυρῶν σκιᾷ τινὶ
λόγους ἀνέσπα τοὺς μὲν Ἀτρειδῶν κάτα,

indicantis simul, putare se, ita esse, ut veretur.' Hic quidem ἥκει, quod et conjecit Elmsleius, præferendum puto.

283. Forte legendum τύχαις. Cf. Prom. V. 288. ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ.

285. ἄκρας νυκτός. *prima nocte.* Suidas, περὶ τὸν πρῶτον ὕπνον. Non absimile est, ἀπ' ἄκρας φρενός, h. e. *ex superficie mentis*, unde οὐκ ἀπ' ἄκρας φρενὸς Æsch. Ag. 805. *sincere.* οἶδ· οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου Eurip. Hec. 242.

286. h. e. *ubi restincti erant in cubiculis foculi.* Ad stellas absurde refert Scholiasta, alteram tamen interpretationem simul afferens.

289. οὐδ' Suidas, οὔτε vulgo. Vid. Herm. ad h. l. et ad Med. 1321. In versus initio Αἴαν habent A. et Suid. Cf. supra ad v. 89.

290. ἀφορμᾷς. Ita A. Ald. et, ut videtur, La. Alii ἐφορμᾷς. Hermannus: Dici utrumque potuit, sed hic ἀφορμᾷς, quia de abitu Ajacis intempesta nocte sermo est, aptius videtur. De οὔτε cf. ad v. praec.

300. πίτνων La. pr. vid. ad v. 58.

302. λόγους ἀνασπᾶν est *cum jactatione proferre.* Cf. Lobeck. annot. ad h. l.

τοὺς δ' ἀμφ' Ὀδυσσεῖ, συντιθεὶς γέλων πολύν,
ὅσην κατ' αὐτῶν ὕβριν ἐκτίσαιτ' ἰών·
κἄπειτ' ἐπᾴξας αὖθις ἐς δόμους πάλιν
ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται,
καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
παίσας κάρα θώϋξεν, ἐν δ' ἐρειπίοις
νεκρῶν ἐρειφθεὶς ἕζετ' ἀρνείου φόνου,
κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
καὶ τὸν μὲν ἧστο πλεῖστον ἄφθογγος χρόνον·
ἔπειτ' ἐμοὶ τὰ δείν' ἐπηπείλησ' ἔπη,
εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος,
κἀνήρετ' ἐν τῷ πράγματος κυροῖ ποτέ.
κἀγώ, φίλοι, δείσασα τοὐξειργασμένον
ἔλεξα πᾶν ὅσονπερ ἐξηπιστάμην.
ὁ δ' εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγράς,
ἃς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ.
πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους
τοιούσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν·
ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων

304. ἐκτίσοιτ' Musgravius. 'Si idonea caussa esset, quare hoc de Ulysse magis, quem puniturus esset, quam de Atridis, quos jam puniisset, loqueretur Ajax, sane præferendum foret ἐκτίσοιτο. At nihil impedit quin ἐκτίσαιτο, quod libri tuentur, servandum putemus, præsertim quum de omnibus accipiendum esse hoc verbum ex adjecto κατ' αὐτῶν appareat. In his autem etiam Ulysses est, quem Ajax vinctum, uti amplius cruciaturus erat, ita ceciderat jam verberibus. Falsum est autem quod visum est Musgravio, non dicturum fuisse poetam ἰὼν de re præterita.' Herm.

309. ἐρεισθεὶς v. l. in La. νεκρῶν ἀρνείου φόνου *cadavera sunt quæ in hac pecudum strage peremta erant.*

310. ὄνυξι — χερὶ] ἐκ παραλλήλου posita.

312. τὰ δείν'. Non recte Erfurdtius: i. e. quæ mihi minatus est δεινὰ fuerunt. Neque ita, quem affert, v. 1226. τὰ δεινὰ non aliqua mala, sed, quæ mala sunt, significant, i. e. *infortunium.* Nam ἔπη hic non urgendum, quod sæpe nihil aliud quam *res* est. Hermann.

313. φανείη veram esse lectionem contendit Porsonus ad Hecub. 848. φανείην La. Lb. φανοίην Elmsleius et Hermannus. φανοίην est optativus futuri non aoristi passivi. Gaisford. Cf. ad Phil. 353.

319. βαρύψυχος vocatur abjecti animi et pondere quasi depressi homo, quo titulo ornavit regem Ægyptium Gregor. Naz. xv. p. 227. Wesseling.

321. ἀψόφητος ὀξέων κωκυμάτων. De hac constructione videant tirones Matth. Gr. Gr. 339.

ὑπεστέναζε ταῦρος ὣς βρυχώμενος.
νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ
ἄσιτος ἀνήρ, ἄποτος, ἐν μέσοις βοτοῖς
σιδηροκμῆσιν ἥσυχος θακεῖ πεσών.
καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.
τοιαῦτα γάρ πως καὶ λέγει κὠδύρεται.
ἀλλ', ὦ φίλοι, τούτων γὰρ οὕνεκ' ἐστάλην,
ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι.
φίλων γὰρ οἱ τοιοίδε νικῶνται λόγοις.
ΧΟ. Τέκμησσα, δεινά, παῖ Τελεύταντος, λέγεις
ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.
ΑΙ. ἰώ μοί μοι.
ΤΕ. τάχ', ὡς ἔοικε, μᾶλλον· ἢ οὐκ ἠκούσατε
Αἴαντος οἵαν τήνδε θωΰσσει βοήν;
ΑΙ. ἰώ μοί μοι.
ΧΟ. ἀνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
νοσήμασι ξυνοῦσι λυπεῖσθαι (?) παρών.
ΑΙ. ἰὼ παῖ παῖ.
ΤΕ. ὤμοι τάλαιν'· Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.
ΑΙ. Τεῦκρον καλῶ. ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ
λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.
ΧΟ. ἀνὴρ φρονεῖν ἔοικεν. ἀλλ' ἀνοίγετε.
τάχ' ἄν τιν' αἰδῶ κἀπ' ἐμοὶ βλέψας λάβοι.
ΤΕ. ἰδού, διοίγω· προσβλέπειν δ' ἔξεστί σοι
τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.
ΑΙ. ἰὼ φίλοι ναυβάται, μόνοι ἐμῶν φίλων — στροφὴ α'.
μόνοι ἔτ' ἐμμένοντες ὀρθῷ νόμῳ,
ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης

338. παρὼν vitii suspectum habeo. Leg. fort. πάρα. ξυνοῦσι autem cum πάλαι jungendum ut constructio sit ἔοικε λυπεῖσθαι νοσήμασι τοῖς πάλαι ξυνοῦσι.

349. μόνοι ἐμῶν φίλων. Hæc verba pertinent ad participium ἐμμένοντες, cum vi repetito vocabulo μόνοι, hoc sensu: *qui soli ex meis amicis, soli, inquam, adhuc integram fidem servatis.*

350. μόνοι ἔτ' Hermannus. μόνοι τ' vulgo. ὀρθῷ νόμῳ. τὸν τῆς φιλίας φησίν. Schol.

ἀμφίδρομον κυκλεῖται.
ΧΟ. οἴμ' ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν.
δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.
ΑΙ. ἰὼ γένος ναΐας ἀρωγὸν τέχνας, — ἀντιστροφὴ α'.
ἅλιον ὃς ἐπέβας ἑλίσσων πλάταν,
σέ τοι σέ τοι μόνον δέδορκα ποιμένων ἐπαρκέσοντ'·
ἀλλά με συνδάϊξον.
ΧΟ. εὔφημα φώνει. μὴ κακὸν κακῷ διδοὺς
ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.
ΑΙ. ὁρᾷς τὸν θρασύν, τὸν εὐκάρδιον, — στροφὴ β'.
τὸν ἐν δαΐοις ἄτρεστον μάχαις,
ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
οἴμοι γέλωτος, οἷον ὑβρίσθην ἄρα.
ΤΕ. μή, δέσποτ' Αἴας, λίσσομαί σ', αὔδα τάδε.
ΑΙ. οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμεῖ πόδα;
αἰαῖ αἰαῖ.
ΧΟ. ὦ πρὸς θεῶν ὕπεικε καὶ φρόνησον εὖ.
ΑΙ. ὦ δύσμορος, ὃς χερὶ μὲν — στροφὴ γ'.
μεθῆκα τοὺς ἀλάστορας,

355. ἀφροντίστως. Pro μανικῶς per euphemismum dictum. Ita Schol.

356. ναΐας ἀρωγὸν τέχνας. Cf. supra v. 201.

357. ἀλίαν libri. Correxit Hermannus. Wunderus: Addidit ἑλίσσων, ut ostenderet qualis sive quo munere fungens Chorus navem conscendisset.

360. ποιμένων si genuinum est, vix aliter interpretari licet quam cum Scholiasta et Suida, ut ποιμένες *amicos*, seu qui *curam alicujus gerunt* significet. Hermannus confert μόνοι ἐμῶν φίλων v. 349. Sed ποιμένων verum esse nequit. Conjicio, licet paullo audacius, τῶν ἐμῶν, quod tamen non ita longe a vulgata abscedit.

363. τὸ πῆμα τῆς ἄτης. Periphrastice dici pro ἄτην monet alter ex Schol. Cf. Od. Γ. 152. πῆμα κακοῖο. Phil. 765. πῆμα νόσου.

366. ἀφόβοις. *quas nemo reformidat.*

367. οἷον ὑβρίσθην ἄρα. sc. a Minerva, quam calamitatis suæ auctorem esse ait v. 402. Cf. 952.

369. ἄψορρον ἐκνεμεῖ πόδα. Lobeckius comparat Pind. Nem. vi. 27. ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων. Sensus est: *Non hinc retro gradum feres?* Media vox paullo insolentior videri potest.

372. αἶ αἶ αἶ αἶ libri, ut solent.

373. χερὶ μὲν μεθῆκα τοὺς ἀλάστορας. h. e. τοὺς μὲν ἀλάστορας χερὶ μεθῆκα. De locutione χερὶ μεθῆκα Lobeckius annotavit: 'Usitatior est genitivus: ἧσι χερὸς περιμηκέα λᾶαν Quint. vii. 493. χειρῶν ἧκαν ἐρετμὰ Orph. Arg. 1279. τὰ

ἐν δ' ἑλίκεσσι βουσὶ καὶ
κλυτοῖς πεσὼν αἰπολίοις
ἐρεμνὸν αἷμ' ἔδευσα.
ΧΟ. τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.
ΑΙ. ἰὼ πάνθ' ὁρῶν, ἁπάντων τ' ἀεὶ *ἀντιστροφὴ β'.*
κακῶν ὄργανον, τέκνον Λαρτίου,
κακοπινέστατόν τ' ἄλημα στρατοῦ,
ἦ που πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.
ΧΟ. ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται.
ΑΙ. ἴδοιμι * νιν, καίπερ ὧδ' ἀτώμενος.
ἰώ μοί μοι.
ΧΟ. μηδὲν μέγ' εἴπῃς. οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;
ΑΙ. ὦ Ζεῦ, προγόνων προπάτωρ, *ἀντιστροφὴ γ'.*
πῶς ἂν τὸν αἱμυλώτατον,
ἐχθρὸν ἄλημα, τούς τε δισ-
σάρχας ὀλέσσας βασιλῆς,
τέλος θάνοιμι καὐτός.
ΤΕ. ὅταν κατεύχῃ ταῦθ', ὁμοῦ κἀμοὶ θανεῖν
εὔχου· τί γὰρ δεῖ ζῆν με σοῦ τεθνηκότος;

ξίφη χειρῶν μεθίεσαν Liban. Or. ad Julian. t. i. p. 399. Nec raro præpositio additur: *μεθῆκεν ἐκ τῶν χειρῶν ὁ κυβερνήτης τὸ πηδάλιον* Synes. Epist. iv. p. 161. *ἐκ τῶν χειρῶν ἀφεὶς Σικελίαν* Plut. V. Timol. c. xx. Sed dativo usus est Empedocles v. 268. *εἰσόκε χειρὶ μεθῇ.'* Cæterum *χερὶ* ex Hermanni emendatione restitutum est. Vulgo *χερσί.*

376. *αἷμ' ἔδευσα.* Exempla verborum quæ proprie *humectare*, minus proprie *effundere*, significant attulit idem Lobeckius ad h. l.

377. *ἐπ' ἐξειργασμένοις.* Locutio satis nota. Cf. Æsch. Pers. 525. ubi Abreschius comparat Herod. viii. 94. *ἐπ' ἐξεργασμένοις ἐλθεῖν.*

378. *ὅπως οὐχ ὧδ' ἔχειν.* Locutio ex duabus conflata sc. *οὐ γένοιτ' ἂν ὅπως ταῦτα οὐχ ὧδ' ἔχει*, et *οὐ γένοιτ' ἂν ὥστε ταῦτα οὐχ ὧδ' ἔχειν.* Cf. ad Œd. Col. 385. Erfurdtius contulit Xen. Œcon. vii. 29. *δεῖ ἡμᾶς πειρᾶσθαι, ὅπως ὡς βέλτιστα τὰ προσήκοντα ἑκάτερον ἡμῶν διαπράττεσθαι.* Diod. Sic. xx. 4. *ὅπως—τοὺς ἀναβησομένους ἑτοίμους ἔχειν.* ubi vid. Wesseling. Ibid. c. 85. *ὅπως—αὐτοὺς εἴργεσθαι τῆς ἐπιβολῆς.* Cf. etiam Xen. Hell. vi. 32. *εὕρετο, ὅπως μήτε διὰ τὸν πλοῦν ἀνεπιστήμονας εἶναι τῶν εἰς ναυμαχίαν, μήτε —βραδύτερόν τι ἀφικέσθαι.*

381. *ἄλημα. fraudator, qui alios in errorem inducit.* Cf. v. 389.

384. *ἴδοιμι * νιν*] *δὴ* Tricl. sed omissum in melioribus. *ἴδοιμ' ἐγώ νιν* Elmsl. *ἴδοιμί νιν νῦν* Hermann. *ἴδοιμ' ἴδοιμι* Dindorfius.

390. *βασιλῆς* La. Vid. ad Œd. T. 17.

ΑΙ. ἰὼ σκότος, ἐμὸν φάος, *στροφὴ δ'.*
ἔρεβος ὦ φαεννότατον, ὡς ἐμοί,
ἕλεσθ' ἕλεσθέ μ' οἰκήτορα,
ἕλεσθέ μ'· οὔτε γὰρ θεῶν γένος οὔθ' ἀμερίων
ἔτ' ἄξιος βλέπειν τιν' εἰς ὄνασιν ἀνθρώπων.
ἀλλά μ' ἁ Διὸς
ἀλκίμα θεὸς
† ὀλέθριον αἰκίζει.
ποῖ τις οὖν φύγῃ;
ποῖ μολὼν μενῶ;
εἰ τὰ μὲν φθίνει, φίλοι, † τοῖσδ'
ὁμοῦ πέλας †, μωραῖς δ' ἄγραις προσκείμεθα,
πᾶς δὲ στρατὸς δίπαλτος ἄν με
χειρὶ φονεύοι.
ΤΕ. ὦ δυστάλαινα, τοιάδ' ἄνδρα χρήσιμον
φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ' ἄν.
ΑΙ. ἰὼ πόροι ἁλίρροθοι *ἀντιστροφὴ γ'.*

394. *ἐμὸν φάος. mihi lux.* h. e. quam ego præ vita diligo.

395. *ὡς ἐμοί. quo in loco res meæ sunt.* Dindorf.

396. *ἕλεσθέ μ' ἕλεσθ'* vulgo. *μ'* bis La. Γ. Θ. Correxit Elmsleius.

397. Ordinem recte declaravit Wunderus: *οὔτε γὰρ [εἰς] θεῶν γένος, οὔτε εἰς τινὰ ὄνασιν ἀμερίων ἀνθρώπων ἔτι ἄξιός εἰμι βλέπειν*, i. e. *jam enim indignus sum, qui deorum hominumve opem exspectem.*

400. *ὄνησιν* edd. ante Brunck.

403. *ὀλέθρι' αἰκίζει* ex conjectura Dindorfius. *ὀλέθριον* et sensum et metrum pervertit. *οὔλιον* conjecit Wunderus.

405. *τὰ μὲν φθίνει.* Hæc ad *greges occisos* male refert Dindorfius. Immo: *perit omnis conatus: frustra sunt hæc omnia.*

406. *τοῖσδ' ὁμοῦ πέλας.* Vix, immo ne vix quidem, hæc significare possunt: *una cum hisce gregibus qui hic prope occisi jacent.* *τοῖσδ'* etiam in metrum peccat. Dindorfius conjecit *τίσις δ' ὁμοῦ πέλει* h. e. *ultio autem prope adest.*

406. *μωραῖς δ' ἄγραις προσκείμεθα.* Insulsum suum in greges conatum dicit. Mox monet Dindorfius verba *πᾶς—φονεύοι* non pendere ex præcedente *εἰ* particula. Recte: si memineris *εἰ* ad totam periodum spectare: cujus pars posterior *πᾶς δὲ—φονεύοι* prioribus tanquam novum quiddam illatum subjicitur.

407. *δίπαλτος*] *λαβὼν τὰ δίπαλτα δοράτια* Suidas. *δίπαλτος* active sumitur, *tela cum vi librans*: sicut *δορύπαλτος* Æsch. Ag. 116.

410. *χρήσιμον. fortem, generosum.*

412. *ἁλίρροθοι πόροι.* Recte de *fluctibus marinis* exponit Lobeckius, quos Ajax de littore procul adspiciebat, coll. Æsch. Pers. 367.

πάραλά τ' ἄντρα καὶ νέμος ἐπάκτιον,
πολὺν πολύν με δαρόν τε δὴ
κατείχετ' ἀμφὶ Τροίαν χρόνον· ἀλλ' οὐκ ἔτι μ', οὐκ
ἔτ' ἀμπνοὰς ἔχοντα. τοῦτό τις φρονῶν ἴστω.
ὦ Σκαμάνδριοι
γείτονες ῥοαί,
εὔφρονες Ἀργείοις,
οὐκ ἔτ' ἄνδρα μὴ
τόνδ' ἴδητ', ἔπος
ἐξερῶ μέγ', οἷον οὔτινα
Τροία στρατοῦ δέρχθη χθονὸς μολόντ' ἀπὸ
Ἑλλανίδος· τανῦν δ' ἄτιμος
ὧδε πρόκειμαι.
ΧΟ. οὔτοι σ' ἀπείργειν, οὐδ' ὅπως ἐῶ λέγειν
ἔχω, κακοῖς τοιοῖσδε συμπεπτωκότα.
ΑΙ. αἰαῖ· τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον
τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ
καὶ τρίς· τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω·
ὅτου πατὴρ μὲν τῆσδ' ἀπ' Ἰδαίας χθονὸς
τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας στρατοῦ

420. *εὔφρονες Ἀργείοις.* Recta altera Scholiastæ explicatio: *ἐμοὶ ἐχθραί, εὔφρονες δὲ τοῖς Ἀργείοις, τοῖς ἐμοῖς ἐχθροῖς,* quod cum Lobeckio significantius quam alteram interpretationem ab eodem allatam dici puto: homines enim gravi injuria læsos cuncta sibi infesta, inimicis propitia et quasi confœderata credere.

423. *ἐξερῶ* Porsonus. *ἐξερέω* vulgo.

425. *'δέρχθη* cum coronide Hermannus, qui tamen *σφάζ'* supra v. 235. reliquit. Ad *οὔτινα* autem supplendum *ἄλλος*, ut bene monet Arndtius ad Phil. 1139. coll. Æsch. Eum. 702. *πόλεως σωτήριον ἔχοιτ' ἄν, οἷον οὔτις ἀνθρώπων ἔχει.* De hiatu post *ἀπὸ* cf. ad Œd. Col. 1068.

428. *οὐδ' ὅπως* Elmsleius, ne *οὔτε* post *οὔτοι* sequatur. Sed vid. Hermannum antea ad Œd. Col. v. 450. citatum.

430. *ἐπώνυμον.* Rarius in propriorum nominum etymologiis ludit Sophocles. Ex Tyrone fabula exemplum attulit Aristot. Rhet. 2. 23. *Σαφῶς Σιδηρὼ καὶ φοροῦσα τοὔνομα.* Plura vide apud Elmsleium ad Bacch. 508.

435. *τὰ πρῶτα καλλιστεῖα.* Hesionen Telamoni ab Hercule datam recte intelligit Scholiasta. Idem memoratur infra v. 1300—1303. Minus bene de poculo intelligit Valckenaer. coll. Pisandr. ap. Ath.

πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων·
ἐγὼ δ' ὁ κείνου παῖς, τὸν αὐτὸν ἐς τόπον
Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει,
οὐδ' ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
ἄτιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι.
καίτοι τοσοῦτόν γ' ἐξεπίστασθαι δοκῶ,
εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν ὧν πέρι
κρίνειν ἔμελλε κράτος ἀριστείας τινί,
οὐκ ἄν τις αὔτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ.
νῦν δ' αὔτ' Ἀτρεῖδαι φωτὶ παντουργῷ φρένας
ἔπραξαν, ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη.
κεἰ μὴ τόδ' ὄμμα καὶ φρένες διάστροφοι
γνώμης ἀπῇξαν τῆς ἐμῆς, οὐκ ἄν ποτε
δίκην κατ' ἄλλου φωτὸς ὧδ' ἐψήφισαν.
νῦν δ' ἡ Διὸς γοργῶπις ἀδάματος θεὰ
ἤδη μ' ἐπ' αὐτοῖς χεῖρ' ἐπευτύνοντ' ἐμὴν
ἔσφηλεν ἐμβαλοῦσα λυσσώδη νόσον,
ὥστ' ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς·
κεῖνοι δ' ἐπεγγελῶσιν ἐκπεφευγότες,
ἐμοῦ μὲν οὐχ ἑκόντος· εἰ δέ τις θεῶν
βλάπτοι, φύγοι τἂν χὠ κακὸς τὸν κρείσσονα.
καὶ νῦν τί χρὴ δρᾶν; ὅστις ἐμφανῶς θεοῖς
ἐχθαίρομαι, μισεῖ δέ μ' Ἑλλήνων στρατός,
ἔχθει δὲ Τροία πᾶσα καὶ πεδία τάδε.
πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας

xi. p. 783. 34. *ἀριστεύσας* autem pro *λαβὼν τῷ ἀριστεῦσαι* poetica audacia dictum esse monuit Hermannus.

439. *ἔργα χειρὸς ἀρκέσας.* *quum perfecerim*, sive *manu effecta dederim.* Cf. vv. 535. 590. Jungenda autem *ἔργα χειρός.*

445. *φωτὶ παντουργῷ φρένας*] *φωτὶ παντόλμῳ φρένας* Æsch. S. c. T. 671. LOBECK.

448. *ἀπῇξαν.* *aberrassent.*

449. *δίκην ὧδ' ἐψήφισαν.* Anachronismum in *ἐψήφισαν*, verbo non nisi a posterioribus usurpato, notavit Eustath. p. 361. 30.

450. *ἀδάματος* Elmsleius ad Œd. T. 196. (205.) Libri *ἀδάμαστος.*

451. *ἐπευτύνοντ'.* Sic La. *ἐπεντείνοντ'* codd. nonnulli et suprascr. in Γ.

456. *τ' ἂν* Mosq. a. *τἂν* Elmsleius. Vulgo *γ' ἄν.*

459. *πεδία.* Notent tirones tribrachyn in quinta senarii sede. Cf. Æsch. Eum. 744. *πέδον τόδε* conjecit Herm. Præf. ad Hec. p. xxxix.

μόνους τ' Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ' εἰσιδεῖν
γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ,
ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν;
οὐκ ἔστι τοὔργον τλητόν. ἀλλὰ δῆτ' ἰὼν
πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις
καὶ δρῶν τι χρηστόν, εἶτα λοίσθιον θάνω;
ἀλλ' ὧδέ γ' Ἀτρείδας ἂν εὐφράναιμί που.
οὐκ ἔστι ταῦτα. πεῖρά τις ζητητέα
τοιάδ' ἀφ' ἧς γέροντι δηλώσω πατρὶ
μή τοι φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς.
αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει
προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν;
οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν
ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.
ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.
ΧΟ. οὐδεὶς ἐρεῖ ποθ' ὡς ὑπόβλητον λόγον,
Αἴας, ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
παῦσαί γε μέντοι καὶ δὸς ἀνδράσιν φίλοις
γνώμης κρατῆσαι τάσδε φροντίδας μεθείς.
ΤΕ. ὦ δέσποτ' Αἴας, τῆς ἀναγκαίας τύχης

461. *μόνους.* *a se relictos.* Schol.

465. *ὧν στέφανον εὐκλείας* nihil aliud est quam *ὧν στέφανον εὐκλεᾶ.* Dicet autem *ὧν*, quasi non *τῶν ἀριστείων*, quod ad solius Ajacis præmium refertur, sed quasi *ἀριστείων* sine articulo præcessisset, quod ad quælibet spectaret cujuscunque præmia. HERMANN.

474. Recte vertit H. Stephanus Thes. L. G. tom. i. p. 353. *Qui nullam mutationem seu variationem aut vicissitudinem accipit in suis malis*, id est, *cui sua mala semper in eodem statu manent.* ERFURDT.

475. *παρ' ἦμαρ ἡμέρα.* *dies cum die alternans.* Cf. Schaef. ad Long. p. 339.

476. *προσθεῖσα.* sc. *τῷ βίῳ.* Metaphora videtur a calculis, quos quis in numerando summæ vel addit, vel detrahit. Angl. *adding to the account of life, and taking off from* (h. e. deferring) *death.*

485. *ἀναγκαία τύχη*, *captivitas.* Recte Erfurdtius monet, servitutis

οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν.
ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρός,
εἴπερ τινὸς σθένοντος ἐν πλούτῳ Φρυγῶν·
νῦν δ' εἰμὶ δούλη. θεοῖς γὰρ ὧδ' ἔδοξέ που
καὶ σῇ μάλιστα χειρί. τοιγαροῦν, ἐπεὶ
τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σά,
καί σ' ἀντιάζω πρός τ' ἐφεστίου Διὸς
εὐνῆς τε τῆς σῆς, ᾗ συνηλλάχθης ἐμοί,
μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν
τῶν σῶν ὑπ' ἐχθρῶν, χειρίαν ἐφεὶς τινί.
εἰ γὰρ θάνῃς σὺ καὶ τελευτήσας ἀφῇς,
ταύτῃ νόμιζε κἀμὲ τῇ τόθ' ἡμέρᾳ
βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο
ξὺν παιδὶ τῷ σῷ δουλίαν ἕξειν τροφήν.
καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ
λόγοις ἰάπτων, ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ,
οἵας λατρείας ἀνθ' ὅσου ζήλου τρέφει.
τοιαῦτ' ἐρεῖ τις. κἀμὲ μὲν δαίμων ἐλᾷ,
σοὶ δ' αἰσχρὰ τἄπη ταῦτα καὶ τῷ σῷ γένει.
ἀλλ' αἴδεσαι μὲν πατέρα τὸν σὸν ἐν λυγρῷ
γήρᾳ προλείπων, αἴδεσαι δὲ μητέρα
πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις
θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν·
οἴκτειρε δ', ὦναξ, παῖδα τὸν σόν, εἰ νέας
τροφῆς στερηθεὶς σοῦ διοίσεται μόνος

hic mentionem fieri eo fine, ut misereatur Ajacem Tecmessæ filiique. HERMANN.

488. *εἴπερ τινός.* Attractione pro *εἴπερ τις* dictum. Cf. Œd. Col. 734.

495. *ἀφεὶς* vulgo. *ἐφεὶς* restitutum ex La. et Suida, qui *ἐφῇς* habet. Nevius confert v. 1297.

496. *ᾗ* Bothius in ed. pr. eleganter certe, quod respondeat *ταύτῃ τῇ τόθ' ἡμέρᾳ.* Sed vulgatam *εἰ* mutare nolim.

511. *σοῦ διοίσεται μόνος.* Fieri quidem potest ut *διοίσεται* hic nihil nisi *ætatem deget* significet, quo modo interpretatus videtur Hesychius. Cf. Xen. Mem. ii. 1. 24. Videndum tamen cum Hermanno ne proprie intelligi debeat sc. *differri, huc illuc trudi*: quod certe melius cum sequentibus convenit.

ὑπ' ὀρφανιστῶν μὴ φίλων, ὅσον κακὸν
κείνῳ τε κἀμοὶ τοῦθ', ὅταν θάνῃς, νεμεῖς.
ἐμοὶ γὰρ οὐκ ἔτ' ἐστὶν εἰς ὅ τι βλέπω
πλὴν σοῦ. σὺ γάρ μοι πατρίδ' ἤστωσας δορί,
καὶ μητέρ' ἄλλη μοῖρα τὸν φύσαντά τε
καθεῖλεν Ἅιδου θανασίμους οἰκήτορας.
τίς δῆτ' ἐμοὶ γένοιτ' ἂν ἀντὶ σοῦ πατρίς;
τίς πλοῦτος; ἐν σοὶ πᾶσ' ἔγωγε σῴζομαι.
ἀλλ' ἴσχε κἀμοῦ μνῆστιν. ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι.
χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί·
ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιτ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ.
XO. Αἴας, ἔχειν σ' ἂν οἶκτον ὡς κἀγὼ φρενὶ
θέλοιμ' ἄν· αἰνοίης γὰρ ἂν τὰ τῆσδ' ἔπη.
AI. καὶ κάρτ' ἐπαίνου τεύξεται πρὸς γοῦν ἐμοῦ,
ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.
TE. ἀλλ', ὦ φίλ' Αἴας, πάντ' ἔγωγε πείσομαι.
AI. κόμιζέ νύν μοι παῖδα τὸν ἐμόν, ὡς ἴδω.
TE. καὶ μὴν φόβοισί γ' αὐτὸν ἐξελυσάμην.
AI. ἐν τοῖσδε τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;
TE. μὴ σοί γέ που δύστηνος ἀντήσας θάνοι.
AI. πρέπον γέ τἂν ἦν δαίμονος τοὐμοῦ τόδε.
TE. ἀλλ' οὖν ἐγὼ 'φύλαξα τοῦτό γ' ἀρκέσαι.
AI. ἐπῄνεσ' ἔργον καὶ πρόνοιαν ἣν ἔθου.

516. ἄλλη. *præterea.* Cf. Phil. 38. καὶ ταῦτά γ' ἄλλα θάλπεται ῥάκη. Ita ex Aug. b. Erfurdtius pro vulgato ἀλλ' ἡ, qui etiam conjecit φύσαντά τε pro vulgato φύσαντά με. Hoc autem habet Lb. pr. Lacunam ante h. v. posuit Hermannus, ἄλλη non habere putans quo referatur. Lobeckius *adversam fortunam* intelligit, sed vereor ut δαίμων ἄλλος Rhes. 884. et similia recte comparentur.

517. καθεῖλεν—οἰκήτορας. h. e. ὥστε εἶναι οἰκήτορας.

521. πάθῃ La. Lb. Γ. Vid. ad Œd. T. 917.

532. *Atqui metuens ne quid ei mali a te accideret, ab illo periculo eum liberavi.* WUNDER.

534. πρέπον. Insolentius hoc verbum cum genitivo junctum. Cf. Matth. Gr. Gr. 386. 4. obs. 1.

535. τοῦτό γ' ἀρκέσαι. *ut hoc saltem ei efficerem.*

TE. τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε;
AI. δός μοι προσειπεῖν αὐτὸν ἐμφανῆ τ' ἰδεῖν.
TE. καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.
AI. τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν;
TE. ὦ παῖ, πατὴρ καλεῖ σε. δεῦρο προσπόλων
ἄγ' αὐτὸν ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.
AI. ἕρποντι φωνεῖς, ἢ λελειμμένῳ λόγου;
TE. καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν.
AI. αἶρ' αὐτόν, αἶρε δεῦρο. ταρβήσει γὰρ οὔ
[νεοσφαγῆ που τόνδε προσλεύσσων φόνον,]
εἴπερ δικαίως ἔστ' ἐμὸς τὰ πατρόθεν.
ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς
δεῖ πωλοδαμνεῖν κἀξομοιοῦσθαι φύσιν.
ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός.
καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
ὁθούνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνει κακῶν.
ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος.
[τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν.]

537. ὡς ἐκ τῶνδ'. *quum hæc ita se habent.*

540. μὴ οὐ παρουσίαν ἔχειν. De particulis μὴ οὐ post μέλλειν et similia collocatis Elmsl. ad Med. 1209. 'Æsch. Prom. 627. τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν; Soph. Aj. 540. τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν; Eur. Troad. 792. τίνος ἐνδέομεν μὴ οὐ πανσυδίᾳ χωρεῖν ὀλέθρου διὰ παντός; Arist. Ach. 319. εἰπέ μοι, τί φειδόμεσθα τῶν λίθων, ὦ δημόται, μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον εἰς φοινικίδα; In his exemplis particula interrogativa negativum sensum exprimit. Idem valent verba τί μέλλεις μὴ οὐ γεγωνίσκειν quod μὴ μέλλε γεγωνίσκειν, idem τίνος ἐνδέομεν quod οὐδενὸς ἐνδέομεν.'

543. *Dicti nescio*, h. e. non audienti. Comparat Musgravius λέλειμμαι τῶν ἐν Ἕλλησιν νόμων Eur. Helen. 1246. Schol. ἐγγὺς ὄντι, ἢ ἀπολιμπανομένῳ τῆς κλήσεως.

546. Versum recte fortasse interpolatum putat Dindorfius. Sane που incommodum est.

547. δικαίως. *vere.* Cf. Œd. T. 682. 1158.

554. Versum qui post h. v. sequitur uncinis seclusit Valckenaer. ad Hipp. 247. consentientibus Brunckio et Porsono ad Eur. Med. 140. Legerunt Scholiasta, Suidas s. vv. ζηλοῦν et κάρτα, Eumath. de Ism. et Ismenia p. 52. Tzetzes Chil. vi. 69. ab Hermanno citati. Omittit Stob. Flor. 78, 9. Certe insititius videtur, quanquam interpretatione subtiliore tueri conatur Hermannus, quem vide, si libet, in annotatione ad hunc locum.

ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.
ὅταν δ' ἵκῃ πρὸς τοῦτο, δεῖ σ' ὅπως πατρὸς
δείξεις ἐν ἐχθροῖς οἷος ἐξ οἵου 'τράφης.
τέως δὲ κούφοις πνεύμασιν βόσκου, νέαν
ψυχὴν ἀτάλλων, μητρὶ τῇδε χαρμονήν.
οὔτοι σ' Ἀχαιῶν, οἶδα, μή τις ὑβρίσῃ
στυγναῖσι λώβαις, οὐδὲ χωρὶς ὄντ' ἐμοῦ.
τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφί σοι
λείψω τροφῆς ἄοκνον ἔμπα, κεἰ τανῦν
τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.
ἀλλ', ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεώς,
ὑμῖν τε κοινὴν τήνδ' ἐπισκήπτω χάριν,
κείνῳ τ' ἐμὴν ἀγγείλατ' ἐντολήν, ὅπως
τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων
Τελαμῶνι δείξει μητρί τ', Ἐρίβοιαν λέγω,
ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεί,
(?) μέχρις οὗ μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ·
καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς
θήσουσ' Ἀχαιοῖς μήθ' ὁ λυμεὼν ἐμός.
ἀλλ' αὐτό μοι σύ, παῖ, λαβὼν ἐπώνυμον,
Εὐρύσακες, ἴσχε διὰ πολυρράφου στρέφων
πόρπακος ἑπτάβοιον ἄρρηκτον σάκος·
τὰ δ' ἄλλα τεύχη κοίν' ἐμοὶ τεθάψεται.
ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου,

556. δεῖ σ' ὅπως δείξεις. Cf. Philoct. 55. Mixta constructio: δείξεις habet La. sec. δείξῃς La. pr. Lb. Γ. Iidem δείξῃ infra v. 569.

560. ὑβρίσῃ. Hinc patet canonem Dawesianum de οὐ μὴ nonnisi cum futuro indicativi conjungendis non semper verum esse. Nam ὑβριεῖ scribendum foret. Cf. Philoct. v. 381.

563. ἔμπα, κεἰ. Cf. supra v. 122. δύστηνον ἔμπας καίπερ ὄντα δυσμενῆ. Jungenda autem τροφῆς ἄοκνον, sc. *ad servandum paratum.*

566. κοινὴν La. κοινῇ codd. quidam.

571. Hunc versum delet Dindorfius. μέχρις οὗ libri plures. μέχρι Ven. μέχρις ἂν Suid. μέχρις οὗ vel μέχρις alibi apud Tragicos non reperitur. Utrum autem hoc ex interpretatione pro ἔστ' ἂν irrepserit, quod conjicit Hermannus, an totus versus mera sit præcedentis εἰσαεὶ explicatio, vix satis judicari potest.

573. ὁ λυμεὼν ἐμός. Articuli collocatio valde inusitata. Dindorfius ex Eurip. Hipp. 683. affert Ζεὺς ὁ γεννήτωρ ἐμός, et alia nonnulla quæ vide in ejus nota.

καὶ δῶμα πάκτου, μηδ' ἐπισκήνους γόους
δάκρυε. κάρτα τοι φιλοίκτιστον γυνή.
πύκαζε θᾶσσον. οὐ πρὸς ἰατροῦ σοφοῦ
θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.
ΧΟ. δέδοικ' ἀκούων τήνδε τὴν προθυμίαν.
οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη.
ΤΕ. ὦ δέσποτ' Αἴας, τί ποτε δρασείεις φρενί;
ΑΙ. μὴ κρῖνε, μὴ 'ξέταζε. σωφρονεῖν καλόν.
ΤΕ. οἴμ' ὡς ἀθυμῶ· καί σε πρὸς τοῦ σοῦ τέκνου
καὶ θεῶν ἱκνοῦμαι μὴ προδοὺς ἡμᾶς γένῃ.
ΑΙ. ἄγαν γε λυπεῖς. οὐ κάτοισθ' ἐγὼ θεοῖς
ὡς οὐδὲν ἀρκεῖν εἴμ' ὀφειλέτης ἔτι;
ΤΕ. εὔφημα φώνει. ΑΙ. τοῖς ἀκούουσιν λέγε.
ΤΕ. σὺ δ' οὐχὶ πείσει; ΑΙ. πόλλ' ἄγαν ἤδη θροεῖς.
ΤΕ. ταρβῶ γάρ, ὦναξ. ΑΙ. οὐ ξυνέρξεθ' ὡς τάχος;
ΤΕ. πρὸς θεῶν, μαλάσσου. ΑΙ. μῶρά μοι δοκεῖς φρονεῖν,
εἰ τοὐμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς.
ΧΟ. ὦ κλεινὰ Σαλαμίς, σὺ μέν που στροφὴ α΄.
ναίεις ἁλίπλακτος, εὐδαίμων,
πᾶσιν περίφαντος ἀεί·
ἐγὼ δ' ὁ τλάμων παλαιὸς ἀφ' οὗ χρόνος

579. δῶμ' ἀπάκτου libri. Correxit ex Eustathio Valckenaer. ad Herod. ii. 96.

ἐπισκήνους γόους. Intelligit poeta luctum ante tentorium in loco publico. Addit enim, lamentis mulierum facile hominum miserationem commoveri. Male vulgo hæc verba interpretantur: *facile misericordia afficitur mulier.* Hermann.

588. μὴ προδοὺς ἡμᾶς γένῃ. Vid. ad Œd. T. 957.

589. *Nescisne non me amplius hoc debere diis, ut tibi opituler?* Hermann. i. e. frustra per deos me obtestaris, qui non ita de me meriti sunt, ut eorum caussa cuiquam opem feram.

593. ξυνέρξεθ'. Sic libri, nisi quod ξυνέρξεσθ' vel ξυνέρξασθ' quidam exhibent. ἔρξεται legitur Œd. T. 890.

597. ναίεις. Hom. Iliad. B. 626. νήσων, αἳ ναίουσι πέρην ἁλός. Alloquitur autem insulam tanquam personam.

ἁλίπλακτος Γ. Δ. ἁλίπλαγκτος vulgo, et libri plerique cum Eustath. p. 306. 19. Prius verum videtur.

598. περίφαντος. Ad pugnam navalem Olymp. 75. 1. actam poetam per anachronismum spectare putant nonnulli.

600. παλαιὸς ἀφ' οὗ χρόνος μίμνω. Lobeckius contulit Isocrat. Or. ad Phil. p. 91. 47. οὔτοι οὐ πολὺς χρό-

Ἰδαίᾳ μίμνω λειμῶνι᾽ ἄποινα, μηνῶν
ἀνήριθμος αἰὲν εὐνώμᾳ
χρόνῳ τρυχόμενος,
κακὰν ἐλπίδ᾽ ἔχων
ἔτι μέ ποτ᾽ ἀνύσειν
τὸν ἀπότροπον ἀΐδηλον Ἅιδαν.
καί μοι δυσθεράπευτος Αἴας ἀντιστροφὴ α΄.
ξύνεστιν ἔφεδρος, ὤμοι μοι,
θείᾳ μανίᾳ ξύναυλος·
ὃν ἐξεπέμψω πρὶν δή ποτε θουρίῳ
κρατοῦντ᾽ ἐν Ἄρει· νῦν δ᾽ αὖ φρενὸς οἰοβώτας
φίλοις μέγα πένθος εὕρηται.
τὰ πρὶν δ᾽ ἔργα χεροῖν
μεγίστας ἀρετᾶς
ἄφιλα παρ᾽ ἀφίλοις
ἔπεσ᾽ ἔπεσε μελέοις Ἀτρείδαις.
ἦ που παλαιᾷ μὲν ἔντροφος ἁμέρᾳ, στροφὴ β΄.
λευκῷ δὲ γήρᾳ μάτηρ νιν ὅταν νοσοῦντα
φρενομόρως ἀκούσῃ,
αἴλινον αἴλινον

νος ἐξ οὗ εἰς τοσαύτην μεταβολὴν ἦλθον. Non absimilis locus Phil. 493. παλαί᾽ ἂν ἐξ ὅτου δέδοικ᾽ ἐγὼ μή μοι βεβήκῃ.

601. Vulgo Ἰδαίᾳ μίμνω λειμωνίᾳ ποίᾳ μήλων, ἀνήριθμος, contra metrum et sensum. Nihil melius vidi Hermanni correctione, quam admisi. Vertit: *diu est ex quo Idæa pratensia præmia* (i. e. præmia commorationis in prato Scamandrio) *expecto, mensium innumerabilis.* De locutione μηνῶν ἀνήριθμος vid. ad Œd. T. 179. Forte autem scribendum ἀνάριθμος.

604. εὐνώμᾳ Tricl. Aug. c. corr. εὐνόμᾳ plerique.

607. De ἀνύτειν cum accusativo juncto vid. ad Œd. Col. 1562. et cf. ad ejusdem fab. v. 432.

610. ἔφεδρος adversarius est, qui certantibus assidet cum victore denuo pugnaturus: h. e. novus adversarius. Ita dicitur hic Ajax, quod malis jam commemoratis accessit nunc tanquam gravius malum Ajax morbo correptus. Schol. πρὸς τοῖς πρώτοις κακοῖς ὥσπερ δεύτερόν ἐστί μοι κακὸν τὸ τοῦ Αἴαντος ξυνεστηκός· τοῦτο γὰρ δηλοῖ τὸ ἔφεδρος.

615. φρενὸς οἰοβώτας idem est qui αὐτόγνωτος (Ant. 875), *seorsim suam mentem pascens, obstinatus, pervicax.* Hermann.

621. ἔπεσε Γ. Vulgo ἔπεσεν.

624. λευκῷ δὲ γήρᾳ. Pendent hæc ab ἔντροφος.

627. Recte Bothius: *miserabiliter, miserabiliter, nec miseræ in*

οὐδ᾽ οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς
ἥσει δύσμορος, ἀλλ᾽ ὀξυτόνους μὲν ᾠδὰς
θρηνήσει, χερόπλακτοι δ᾽
ἐν στέρνοισι πεσοῦνται
δοῦποι καὶ πολιᾶς ἄμυγμα χαίτας.
κρείσσων γὰρ Ἅιδᾳ κεύθων ὁ νοσῶν μάταν, ἀντ. β΄.
ὃς ἐκ πατρῴας ἥκων γενεᾶς ἄριστος
πολυπόνων Ἀχαιῶν,
οὐκ ἔτι συντρόφοις
ὀργαῖς ἔμπεδος, ἀλλ᾽ ἐκτὸς ὁμιλεῖ.
ὦ τλᾶμον πάτερ, οἵαν σε μένει πυθέσθαι
παιδὸς δύσφορον ἄταν,
ἂν οὔπω τις ἔθρεψεν
αἰὼν Αἰακιδᾶν ἄτερθε τοῦδε.

ΑΙ. ἅπανθ᾽ ὁ μακρὸς κἀναρίθμητος χρόνος
φύει τ᾽ ἄδηλα καὶ φανέντα κρύπτεται·
κοὐκ ἔστ᾽ ἄελπτον οὐδέν, ἀλλ᾽ ἁλίσκεται
χὼ δεινὸς ὅρκος καὶ περισκελεῖς φρένες.
κἀγὼ γάρ, ὃς τὰ δείν᾽ ἐκαρτέρουν τότε,

modum lusciniæ plorabit, sed in acutos ejulatus erumpet. De vocis αἴλινον significatione cf. Blomf. Gloss. ad Ag. 119.

631. χερόπλακτοι. Ita Lobeckius. Vulgo χερόπληκτοι.

634. ἄμυγμα Bothius. Vulgo ἀμύγματα.

635. παρ᾽ Ἅιδᾳ Elmsleius: minus recte. Sensus est: nam qui tali in statu est, is magis lugendus est quam si mortuus esset. Œd. T. 1368. κρείσσων γὰρ ἦσθα μηκέτ᾽ ὢν ἢ ζῶν τυφλός. Mox ὁ νοσῶν pro vulgato ἢ νοσῶν correxit Lobeckius. Cum νοσῶν μάτην Hermannus contulit Arist. Pac. 95. τί πέτει; τί μάτην οὐχ ὑγιαίνεις; Significat *mentis delirium.*

636. ἥκων. *oriundus.* Ita fortasse Phil. 181. qu. v. οὗτος πρωτογόνων ἴσως ἥκων οὐδενὸς ὕστερος. Similiter Angli dicimus: *to come of a good stock.*

ἄριστος paucissimi tantum codices. Restituit Triclinius ex libro, ut ipse ait, pervetusto. La. et Γ. gl. λείπει τὸ ἄριστος.

645. ἄτερθέ γε libri deteriores quidam, qui ἀμύγματα in v. 634. legerant.

647. κρύπτεται. Cf. ad Œd. T. 148.

649. περισκελεῖς. *præfracti, obstinati.* χαὶ περισκελεῖς conjecit Brunckius, quem refellit Erfurdtius, coll. infra v. 1250. οὐ γὰρ οἱ πλατεῖς οὐδ᾽ εὐρύνωτοι φῶτες. Trach. 356. οὐ τἀπὶ Λυδοῖς, οὐδ᾽ ἐπ᾽ Ὀμφάλῃ πόνων λατρεύματ᾽. Idem comparat Hom. Il. B. 755. ὅρκου γὰρ δεινοῦ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ.

βαφῇ σίδηρος ὣς ἐθηλύνθην στόμα
πρὸς τῆσδε τῆς γυναικός· οἰκτείρω δέ νιν
χήραν παρ' ἐχθροῖς παῖδά τ' ὀρφανὸν λιπεῖν.
ἀλλ' εἶμι πρός τε λουτρὰ καὶ παρακτίους
λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ
μῆνιν βαρεῖαν ἐξαλεύσωμαι θεᾶς·
μολών τε χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω
κρύψω τόδ' ἔγχος τοὐμόν, ἔχθιστον βελῶν,
γαίας ὀρύξας ἔνθα μή τις ὄψεται·
ἀλλ' αὐτὸ νὺξ Ἅιδης τε σωζόντων κάτω.
ἐγὼ γὰρ ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην
παρ' Ἕκτορος δώρημα δυσμενεστάτου,
οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία,
ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα.
τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον. τί μή;
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
τιμαῖς ὑπείκει· τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει·
ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν·
δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε

651. *βαφῇ.* Recte putat Lobeckius *βαφὴν* h. l. omne illud artificium significare quo ferrum mollitur et ad usus hominum informatur. Non cogitandum de ferro in oleum immerso, quod comminiscitur Scholiasta.

656. *ἐξαλύξωμαι* Brunckius ex Hesychio: *ἐξαλύξωμαι, φυλάξωμαι, Σοφοκλῆς Αἴαντι μαστιγοφόρῳ.* Sed alterum habent La. Lb. *ἐξαλέξωμαι* Δ.

658. *ἔγχος. gladium.* Vid. Schol. ad Ant. 1236. Trach. 1013. et sic accipi debet hæc vox in Œdipi prioris v. 969. et 1255. Eurip. Phœn. 1413. coll. v. 1404. Electr. 696. coll. v. 688. Brunck.

668. *τί μή;* suspicor *τί μήν;* Cf. not. ad Eumen. v. 197.

672. *αἰανῆς* et *αἰανὴς* agnoscit Suidas s. v. *αἰανὴς κύκλος.* Illud melius videtur. Hoc habet La.

674. *δεινῶν.* Schaeferus: 'Verissime Bothius. Quo enim jure *ὁ παγκρατὴς ὕπνος* dicitur *cessando λύειν τὸν τέως πεπεδημένον*, eodem jure *δεινῶν ἄημα πνευμάτων* dicitur

στένοντα πόντον· ἐν δ' ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.
ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;
ἐγὼ δ', ἐπίσταμαι γὰρ ἀρτίως ὅτι
ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος,
ὡς καὶ φιλήσων αὖθις, ἔς τε τὸν φίλον
τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι,
ὡς αἰὲν οὐ μενοῦντα. τοῖς πολλοῖσι γὰρ
βροτῶν ἄπιστός ἐσθ' ἑταιρείας λιμήν.
ἀλλ' ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει· σὺ δὲ
ἔσω θεοῖς ἐλθοῦσα διὰ τέλους, γύναι,
εὔχου τελεῖσθαι τοὐμὸν ὧν ἐρᾷ κέαρ.
ὑμεῖς θ', ἑταῖροι, ταὐτὰ τῇδέ μοι τάδε
τιμᾶτε, Τεύκρῳ τ', ἢν μόλῃ, σημήνατε
μέλειν μὲν ἡμῶν, εὐνοεῖν δ' ὑμῖν ἅμα.
ἐγὼ γὰρ εἶμ' ἐκεῖσ' ὅποι πορευτέον·
ὑμεῖς δ' ἃ φράζω δρᾶτε, καὶ τάχ' ἄν μ' ἴσως
πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον.
ΧΟ. ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτάμαν. στροφή.
ἰὼ ἰὼ Πὰν Πάν,
ὦ Πὰν Πὰν ἁλίπλαγκτε Κυλ-

cessando κοιμίζειν τὸν τέως στένοντα πόντον.' Idem comparat infra v. 706. et ibi Lobeckium: Heynium ad Homer. Il. K. v. 98. t. vi. p. 25. Schol. *παυσάμενον δηλονότι.*

675. *ἐν δ'.* Cf. ad Œd. T. 27. Hermannus: *ἐν δὲ* proprie est *in horum numero*, de quibus sermo est.

678. *ἐγὼ δ'.* Anacoluthon. Dicturus erat *ἐγὼ δ', ἐπίσταμαι γὰρ ὅτι — ὅ τ' ἐχθρὸς — ἐχθαρτέος, ὅ τε φίλος ὠφελητέος — τοῦτο ποιήσω*, sed variata structura secundam sententiæ secundariæ partem ita primariæ annexit, ut cœptam constructionem deinde negligeret.

679. *ὅ τ'* Kusterus ad Suid. s. v. *ἄημα.* Vulgo *ὅτ'.* Mox *ἡμῖν* idem conjecit. *ἥμιν* La. *ἡμῖν γρ. ἥμην* Lb. Denique *ἐχθαρτέος* vulgo. Correctum ex La. pr. Cf. ad Ant. 93.

693. *ἔφριξ' ἔρωτι.* Insolenter, sed non solus Sophocles horrorem inter subitæ lætitiæ symptomata posuit. Eurip. Hel. 632. *γέγηθα· κρατὶ δ' ὀρθίας ἔθείρας ἀνεπτέρωκα.* Musgrav. Mox *ἀνεπτάμαν* ex La. et pluribus codicibus restituit Dindorfius. Vulgo *ἀνεπτόμαν.* Cf. tamen Pors. ad Eur. Med. 1.

695. *Πὰν ἁλίπλαγκτε.* Qui Panem inter Deos marinos annumerare volunt, vix certis niti videntur testimoniis. Suidas s. v. *ἁλίπλαγκτος. οὕτως καλεῖται ὁ Πάν. ἢ*

λανίας χιονοκτύπου
πετραίας ἀπὸ δειράδος φάνηθ', ὦ
θεῶν χοροποί' ἄναξ, ὅπως μοι
Νύσια Κνώσι' ὀρχήματ' αὐτοδαῆ ξυνὼν ἰάψεις.
νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.
Ἰκαρίων δ' ὑπὲρ πελαγέων μολὼν ἄναξ Ἀπόλλων
ὁ Δάλιος, εὔγνωστος
ἐμοὶ ξυνείη διὰ παντὸς εὔφρων.
ἔλυσεν αἰνὸν ἄχος ἀπ' ὀμμάτων Ἄρης. ἀντιστροφή.
ἰὼ ἰώ. νῦν αὖ,
νῦν, ὦ Ζεῦ, πάρα λευκὸν εὐ-
άμερον πελάσαι φάος
θοᾶν ὠκυάλων νεῶν, ὅτ' Αἴας

ὅτι ἐβοήθησε τοῖς Ἀθηναίοις ἐν τῇ ναυμαχίᾳ. ἢ ὅτι τὸν Τυφῶνα δικτύοις ἤγρευσεν. ἢ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν Πᾶνα, ὡς νόμιον θεόν. ἢ ὅτι μεγαλόφωνος ἐν τῇ χορείᾳ. ὡς ἁλίβρομος. ἢ ὅτι τῆς Ἠχοῦς ἐρᾷ. πολύηχος δὲ ἡ θάλασσα. Vereor tamen ne frustra pro Pane suo marino contenderit, et malim cum Hermanno jungere ἁλίπλαγκτε φάνηθι: *huc ades per mare.* Usus vocativi non ignotus, vid. Hermann. ad Viger. p. 894. et cf. ad Phil. 828.

Κυλλανίας. Recte monuit Lobeckius poetam *Cyllenen* ut notiorem Panis sedem memorare maluisse, quam Psyttaleiam Salaminiis propiorem, de qua a Pane celebrata vid. Æsch. Pers. 447. et Schol.

697. θεῶν χοροποί' ἄναξ. Eundem Pindarus Fragm. N. 67. p. 593. χορευτὴν τελεώτατον θεῶν vocavit. LOBECK.

699. Νύσια Κνώσι'. Gnosiæ dicuntur saltationes quæ quondam a Curetibus ad occultandum Jovis vagitum institutæ sunt: Nysiæ quas Satyri Nysigenæ Nymphæque Bacchi nutrices saltarunt. IDEM. αὐτοδαῆ Schol. explicat τα ἐκ φύσεως καὶ μὴ ἐκ διδαχῆς. Minus bene Lobeckius *extemporalia ludicra.*

700. ἰάψεις. Sic La. ἰάψῃς vulgo. Hermannus: Est ἰάπτειν hic usitata notione positum *jactandi.* Nec mirum si poeta saltationes jactari dixit, quum proprie dicendi essent pedes jactari saltando.

703. εὔγνωστος ξυνείη] ξυνείη La. pr. Lb. Γ. Aug. b. Vulgo ξυνείης. Ad εὔγνωστος bene notat Ellendtius: Explicandum ex sententia ætatis heroicæ. Raro enim nec nisi dilectis sibi Dii apparebant. Cf. supra v. 15. ὡς εὐμαθές σου — φώνημ' ἀκούω.

706. ἔλυσεν αἰνὸν] γὰρ addunt Lb. La. sec. et plerique. Deletum in La. pr. Ἄρης autem λῦσαι ἄχος dicitur, sicut ἄημα δεινῶν πνευμάτων dicitur κοιμίσαι στένοντα πόντον. v. 674. ubi vide notam.

708. Verba sic ordinanda: νῦν πάρα εὐάμερον φάος (ὥστε) πελάσαι θοᾶν ὠκυάλων νεῶν. εὐάμερον φάος dicit ob felicem morbi Ajacis decessum. Cf. Blomf. ad Pers. 306.

710. θοᾶν ὠκυάλων] θοᾶν La. Lb. Γ. θοῶν vulgo. Cum duplici

λαθίπονος πάλιν, θεῶν δ' αὖ
πάνθυτα θέσμι' ἐξήνυσ' εὐνομίᾳ σέβων μεγίστᾳ.
πάνθ' ὁ μέγας χρόνος μαραίνει,
κοὐδὲν ἀναύδατον φατίσαιμ' ἄν, εὖτέ γ' ἐξ ἀέλπτων
Αἴας μετανεγνώσθη
θυμοῦ τ' Ἀτρείδαις μεγάλων τε νεικέων.

ΑΓΓΕΛΟΣ.

ἄνδρες φίλοι, τὸ πρῶτον ἀγγεῖλαι θέλω,
Τεῦκρος πάρεστιν ἄρτι Μυσίων ἀπὸ
κρημνῶν· μέσον δὲ προσμολὼν στρατήγιον
κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.
στείχοντα γὰρ πρόσωθεν αὐτὸν ἐν κύκλῳ
μαθόντες ἀμφέστησαν, εἶτ' ὀνείδεσιν
ἤρασσον ἔνθεν κἄνθεν οὔτις ἔσθ' ὃς οὔ,
τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατοῦ
ξύναιμον ἀποκαλοῦντες, ὡς οὐκ ἀρκέσοι
τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν.
ὥστ' εἰς τοσοῦτον ἦλθον ὥστε καὶ χεροῖν
κολεῶν ἐρυστὰ διεπεραιώθη ξίφη.

hoc epitheto comparavit Lobeckius Hom. Od. II. 34. νηυσὶ θοῇσι πεποιθότες ὠκείῃσι. Hymn. in Apoll. 107. ποδήνεμος ὠκέα. Hes. Theog. 786. ἠλιβάτοιο ὑψηλῆς. Theocr. vii. 15. λασίοιο δασύτριχος, et nonnulla alia.

714. Post μαραίνει sequitur in omnibus libris τε καὶ φλέγει. Tantum La. τε a sec. m. habet. Delevit Heathius.

715. ἀναύδητον vulgo. Correxit Lobeckius, ex Hesychii glossa, ἀναύδακτον, ἀνεξήγητον, ἄλεκτον. Idem mox φατίσαιμ' pro φατίξαιμ' restituit.

ἐξ ἀέλπτων vereor ut bene cum νεικέων conjungi possit: ἄελπτα νείκη tamen hoc sensu accepit Brunckius: sc. *desperata, quæ componi unquam posse nemo speret.* Rectius ἐξ ἀέλπτων adverbialiter sumas, sc. *ex insperato.*

717. θυμὸν vulgo. θυμῶν Γ. pro v. l. Tricl. et pluralis quidem exempla attulit Lobeckius. θυμοῦ τ' Hermannus ex A. qui θυμόν τ' habet. Verte: *Quoniam ex insperato Ajax illud a se impetravit, ut mutato consilio iram suam in Atridas et jurgium deponeret.* Cf. λίσσομ' Ἀχιλλῆϊ μεθέμεν χόλον Iliad. A. v. 283. et vid. ad Œd. Col. 966.

726. στρατῷ Schaef. ad L. Bos. de Ell. s. v. λέγων. Sed vix opus.

727. ὡς οὐκ ἀρκέσοι. Dicentes sc. *cum non prohibiturum quin.* ἀρκέσοι veteres. ἀρκέσει Triclinius.

λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω
ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.
ἀλλ' ἡμὶν Αἴας ποῦ 'στιν, ὡς φράσω τάδε;
τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλοῦν λόγον.
ΧΟ. οὐκ ἔνδον, ἀλλὰ φροῦδος ἀρτίως, νέας
βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις.
ΑΓ. ἰοὺ ἰού.
βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν
πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδύς.
ΧΟ. τί δ' ἐστὶ χρείας τῆσδ' ὑπεσπανισμένον;
ΑΓ. τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης
μὴ 'ξω παρήκειν, πρὶν παρὼν αὐτὸς τύχοι.
ΧΟ. ἀλλ' οἴχεταί τοι, πρὸς τὸ κέρδιστον τραπεὶς
γνώμης, θεοῖσιν ὡς καταλλαχθῇ χόλου.
ΑΓ. ταῦτ' ἐστὶ τἄπη μωρίας πολλῆς πλέα,
εἴπερ τι Κάλχας εὖ φρονῶν μαντεύεται.
ΧΟ. ποῖον; τί δ' εἰδὼς τοῦδε πράγματος πέρι;
ΑΓ. τοσοῦτον οἶδα καὶ παρὼν ἐτύγχανον.
ἐκ γὰρ ξυνέδρου καὶ τυραννικοῦ κύκλου
Κάλχας μεταστὰς οἶος 'Ατρειδῶν δίχα,
εἰς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
θεὶς εἶπε κἀπέσκηψε παντοίᾳ τέχνῃ
εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε
Αἴανθ' ὑπὸ σκηναῖσι μηδ' ἀφέντ' ἐᾶν,

731. τοῦ προσωτάτω La. Lb. Γ. προσωτάτου vulgo. De constructione contulit Lobeckius ἰέναι τοῦ πρόσω Xen. Anab. i. 3. 1. προϊέναι τοῦ πρόσω Arrian. Alex. ii. 6. 7.

732. h. e. τῶν γερόντων συναλλασσόντων αὐτοὺς διὰ λόγων. Herm.

736. Liberatus morbo sui occidendi consilium abjecisse significatur. Wunder. Cf. 743.

737. ἰοὺ ἰού. Sic Turnebus. ἰοὺ ἰοὺ ἰοὺ reliqui. Vid. ad Œd. T. 754.

740. *Quid hujus negotii justo parcius*, i. e. *tardius, factum est?* Æsch. Choeph. v. 577. φόνου δ' 'Ερινὺς οὐχ ὑπεσπανισμένη ἄκρατον αἷμα πίεται, τρίτην πόσιν. Hermann.

741. ἔνδοθεν στέγης. gl. ἀντὶ τοῦ ἐκ τῆς στέγης.

742. τύχοι Γ. et suprascr. in Mosq. b. Lips. b. τύχῃ vulgo.

744. θεοῖσιν — χόλου. *ira in deos.* Cf. ad Œd. Col. 966. supra v. 717.

753. εἶρξαι Hermannus. εἷρξαι libri; de quo discrimine vid. Lobeckii notam ad h. l.

εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι ποτέ.
ἐλᾷ γὰρ αὐτὸν τῇδε θἠμέρᾳ μόνῃ
δίας 'Αθάνας μῆνις, ὡς ἔφη λέγων.
τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν
βλαστὼν ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ.
κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος
ἄνους καλῶς λέγοντος εὑρέθη πατρός.
ὁ μὲν γὰρ αὐτὸν ἐννέπει, τέκνον, δορὶ
βούλου κρατεῖν μέν, σὺν θεῷ δ' ἀεὶ κρατεῖν.
ὁ δ' ὑψικόμπως κἀφρόνως ἠμείψατο,
πάτερ, θεοῖς μὲν κἂν ὁ μηδὲν ὢν ὁμοῦ
κράτος κατακτήσαιτ'· ἐγὼ δὲ καὶ δίχα
κείνων πέποιθα τοῦτ' ἐπισπάσειν κλέος.
τοσόνδ' ἐκόμπει μῦθον. εἶτα δεύτερον
δίας 'Αθάνας, ἡνίκ' ὀτρύνουσά νιν
ηὐδᾶτ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,
τότ' ἀντιφωνεῖ δεινὸν ἄρρητόν τ' ἔπος·
ἄνασσα, τοῖς ἄλλοισιν 'Αργείων πέλας
ἵστω, καθ' ἡμᾶς δ' οὔποτ' ἐκρήξει μάχη.
τοιοῖσδέ τοι λόγοισιν ἀστεργῆ θεᾶς
ἐκτήσατ' ὀργήν, οὐ κατ' ἄνθρωπον φρονῶν.
ἀλλ' εἴπερ ἔστι τῇδε θἠμέρᾳ, τάχ' ἂν
γενοίμεθ' αὐτοῦ σὺν θεῷ σωτήριοι.
τοσαῦθ' ὁ μάντις εἶφ'· ὁ δ' εὐθὺς ἐξ ἕδρας
πέμπει με σοὶ φέροντα τάσδ' ἐπιστολὰς
Τεῦκρος φυλάσσειν. εἰ δ' ἀπεστερήμεθα,
οὐκ ἔστιν ἀνὴρ κεῖνος, εἰ Κάλχας σοφός.

760. φύσιν. Cf. ad Trach. 1062.

761. φρονῇ La. pr. Lb.

771. Notandum anacoluthon. Excidit enim cœpta constructione, quum vellet dicere, δίας 'Αθάνας, ἡνίκ' ὤτρυνέ νιν, αὐδωμένης. Hermann.

776. τοιοῖσδέ τοι Hermannus. τοιοῖσδε τοῖς vulgo.

780. ὁ δ'—Τεῦκρος. Vid. ad Œd. Col. 1221.

782. ἀπεστερήμεθα. *sero advenimus.*

783. ἀνήρ. ἀνὴρ edd. ante Brunck.

ΧΟ. ὦ δαία Τέκμησσα, δύσμορον γένος,
ὅρα μολοῦσα τόνδ' ὁποῖ' ἔπη θροεῖ.
ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο μὴ χαίρειν τινά.
ΤΕ. τί μ' αὖ τάλαιναν, ἀρτίως πεπαυμένην
κακῶν ἀτρύτων, ἐξ ἕδρας ἀνίστατε;
ΧΟ. τοῦδ' εἰσάκουε τἀνδρός, ὡς ἥκει φέρων
Αἴαντος ἡμῖν πρᾶξιν ἣν ἤλγησ' ἐγώ.
ΤΕ. οἴμοι, τί φής, ὤνθρωπε; μῶν ὀλώλαμεν;
ΑΓ. οὐκ οἶδα τὴν σὴν πρᾶξιν, Αἴαντος δ' ὅτι,
θυραῖος εἴπερ ἐστίν, οὐ θαρσῶ πέρι.
ΤΕ. καὶ μὴν θυραῖος, ὥστε μ' ὠδίνειν τί φής.
ΑΓ. ἐκεῖνον εἴργειν Τεῦκρος ἐξεφίεται
σκηνῆς ὕπαυλον μηδ' ἀφιέναι μόνον.
ΤΕ. ποῦ δ' ἐστὶ Τεῦκρος, κἀπὶ τῷ λέγει τάδε;
ΑΓ. πάρεστ' ἐκεῖνος ἄρτι· τήνδε δ' ἔξοδον
ὀλεθρίαν Αἴαντος ἐλπίζει φέρειν.
ΤΕ. οἴμοι τάλαινα, τοῦ ποτ' ἀνθρώπων μαθών;
ΑΓ. τοῦ Θεστορείου μάντεως, καθ' ἡμέραν
τὴν νῦν, ὅτ' αὐτῷ θάνατον ἢ βίον φέρει.

786. *ξυρεῖ γὰρ ἐν χρῷ.* Cf. Thucyd. ii. 84. *ἐν χρῷ παραπλέοντες.* Mox *μὴ χαίρειν τινὰ* per *ὥστε μὴ χαίρειν* explicat Suidas.

789. *φέρων—πρᾶξιν.* Miror displicuisse viris doctis *φέρων πρᾶξιν.* Eur. Hec. 166. *ὦ κάκ' ἐνεγκοῦσαι πήματα,* ubi Wakef. Diatr. Extemp. p. 15. ad eundem lapidem offendit. Idem Phœn. v. 1337. *μεγάλα γὰρ φέρω κακά.* Cicero Philipp. xiv. c. 1. *Ante vero quam ea res, quam avidissime civitas expectat, allata sit.* Epist. ii. 12. *Ita tumultuosæ conciones, ita molestæ Quinquatrus afferebantur:* SCHAEFER.

790. *ἣν ἤλγησ'.* *ἀκούων* inepte subaudit Brunckius. Cf. ad Œd. T. 785.

792. *τὴν σὴν πρᾶξιν.* *Res tuæ quidem quomodo se habeant nescio.*

794. *ὠδίνειν τί φῄς.* Cf. ad Œd. T. 74.

799. *ἐλπίζει.* *metuit.* Cf. Trach. 111. Sensus est: metuit ne si hodie exierit Ajax, exitus iste de quo nuncius adest, illi funestus sit futurus.

802. 'Non *καθ' ἡμέραν τὴν νῦν* conjungenda sunt, secluso *ὅτε*, sed *νῦν ὅτε* cohærent. Debebat dicere, *καθ' ἡμέραν τὴν νῦν ὅτε αὐτῷ θάνατον ἢ βίον φέρουσαν*, quod poterat etiam omisso *ὅτε* dici. Nunc posito illo *ὅτε*, non participium, quod propter *τὴν* inferendum erat, adjicit, sed verbum *φέρει* construit cum particula *ὅτε*. *Νῦν ὅτε* mediæ orationi inseritur ut *ἔστιν ὅτε*, et similia. Æsch. S. c. T. 705. *νῦν ὅτε σοι παρέστακεν.* Suppl. 630. *νῦν ὅτε καὶ θεοὶ διογενεῖς κλύοιτ' εὐκταῖα γένει χεούσας.*' HERMANN. Idem bene vertit, *hoc ipso die, qui nunc mortem ei aut vitam feret.*

ΤΕ. οἳ 'γώ, φίλοι, πρόστητ' ἀναγκαίας τύχης,
καὶ σπεύσαθ', οἱ μὲν Τεῦκρον ἐν τάχει μολεῖν,
οἱ δ' ἑσπέρους ἀγκῶνας, οἱ δ' ἀντηλίους
ζητεῖτ' ἰόντες τἀνδρὸς ἔξοδον κακήν.
ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη
καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
οἴμοι, τί δράσω, τέκνον· οὐχ ἱδρυτέον.
ἀλλ' εἶμι κἀγὼ κεῖσ' ὅποιπερ ἂν σθένω.
χωρῶμεν, ἐγκονῶμεν, οὐχ ἕδρας ἀκμή,
σῴζειν θέλοντες ἄνδρα γ' ὃς σπεύδει θανεῖν.
ΧΟ. χωρεῖν ἕτοιμος, κοὐ λόγῳ δείξω μόνον.
τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται.
ΑΙ. ὁ μὲν σφαγεὺς ἕστηκεν ᾗ τομώτατος
γένοιτ' ἄν, εἴ τῳ καὶ λογίζεσθαι σχολή,
δῶρον μὲν ἀνδρὸς Ἕκτορος ξένων ἐμοὶ
μάλιστα μισηθέντος, ἐχθίστου θ' ὁρᾶν.
πέπηγε δ' ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι,
σιδηροβρῶτι θηγάνῃ νεηκονής·
ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγώ,
εὐνούστατον τῷδ' ἀνδρὶ διὰ τάχους θανεῖν.
οὕτω μὲν εὐσκευοῦμεν· ἐκ δὲ τῶνδέ μοι
σὺ πρῶτος, ὦ Ζεῦ, καὶ γὰρ εἰκός, ἄρκεσον.
αἰτήσομαι δέ σ' οὐ μακρὸν γέρας λαχεῖν.
πέμψον τιν' ἡμῖν ἄγγελον, κακὴν φάτιν
Τεύκρῳ φέροντα, πρῶτος ὥς με βαστάσῃ
πεπτῶτα τῷδε περὶ νεορράντῳ ξίφει,
καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος

803. *πρόστητ'.* *Succurrite.*

805. *ἀντηλίους.* De Ionismo in *ἀντηλίους* cf. Lobeckium ad h. l.

812. Versus Dindorfio judice ab interpretibus adscriptus. *ὃς ἂν σπεύδῃ* La. pr. *ὃς σπεύδει* La. sec. Lb.

823. *ἐκ τῶνδε,* *porro, deinceps.*

825. *λαχεῖν* La. sec. *λαβεῖν* La. pr. Lb.

ῥιφθῶ κυσὶν πρόβλητος οἰωνοῖς θ' ἕλωρ.
τοσαῦτά σ', ὦ Ζεῦ, προστρέπω, καλῶ θ' ἅμα
πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι,
ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι
πλευρὰν διαρρήξαντα τῷδε φασγάνῳ.
καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους
ἀεὶ δ' ὁρώσας πάντα τὰν βροτοῖς πάθη,
σεμνὰς Ἐρινῦς τανύποδας, μαθεῖν ἐμὲ
πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
[καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους
ξυναρπάσειαν, ὥσπερ εἰσορῶσ' ἐμὲ
αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς
πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.]
ἴτ', ὦ ταχεῖαι ποίνιμοί τ' Ἐρινύες,
γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ.
σὺ δ', ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν
ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν
γέροντι πατρὶ τῇ τε δυστήνῳ τροφῷ.
ἦ που τάλαινα, τήνδ' ὅταν κλύῃ φάτιν,
ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην·
ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.

833. *ἀσφαδάστῳ.* Cf. Æsch. Ag. 1293.

836. *ἀεί θ'* Turn. sed δ' La. Lb. Γ. Δ. Θ. Hermannus: 'δ' servandum duxi, eodem modo ut in El. 1099. Utroque in loco Elmsleius ad Aj. v. 1050. *τε* probat. Adeo usitatum est hoc *δὲ* in repetitionibus ejusdem verbi, de quo v. Elmsleium etiam ad Heracl. 874. et ad Med. 21. et 1039. ut consentaneum sit, etiam prægresso *τε* ad eam constructionem rediri.'

839—842. His quatuor versibus bellum non sine caussa olim a grammaticis indictum est. Primum constructio impedita est: nam copula ante *ὥσπερ* desideratur. Deinde *τὼς* nusquam alibi apud Sophoclem legitur; denique superlativus *φιλίστων* nusquam alibi reperies. Quis autem non primo aspectu versos istos prorsus loco nobilissimo indignos esse judicet, et ut a librarii interpolatione profectos ejiciat?

ὦ Θάνατε Θάνατε, νῦν μ' ἐπίσκεψαι μολών·
καίτοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών.
σὲ δ', ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
καὶ τὸν διφρευτὴν Ἥλιον προσεννέπω,
πανύστατον δὴ κοὔποτ' αὖθις ὕστερον.
ὦ φέγγος, ὦ γῆς ἱερὸν οἰκείας πέδον
Σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον,
κλειναί τ' Ἀθῆναι, καὶ τὸ σύντροφον γένος,
κρῆναί τε ποταμοί θ' οἵδε, καὶ τὰ Τρωϊκὰ
πεδία προσαυδῶ, χαίρετ', ὦ τροφῆς ἐμοί·
τοῦθ' ὑμὶν Αἴας τοὔπος ὕστατον θροεῖ·
τὰ δ' ἄλλ' ἐν Ἅιδου τοῖς κάτω μυθήσομαι.

ΗΜΙΧΟΡΙΟΝ.

πόνος πόνῳ πόνον φέρει.
πᾷ πᾷ
πᾷ γὰρ οὐκ ἔβαν ἐγώ;
κοὐδεὶς ἐπίσταταί με συμμαθεῖν τόπος.
ἰδού, ἰδού,
δοῦπον αὖ κλύω τινά.
ΗΜ. ἡμῶν γε ναὸς κοινόπλουν ὁμιλίαν.
ΗΜ. τί οὖν δή;
ΗΜ. πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν.
ΗΜ. ἔχεις οὖν;

863. *τροφῆς.* Vid. ad Œd. T. 18. *τροφεῖς* La. Lb.

866. *πόνος πόνῳ πόνον φέρει.* Vid. ad Œd. T. 175.

869. Elmsleius explicat *οὐδεὶς τόπος ἐπίσταται, ὥστε με συμμαθεῖν.* h. e. *nullus locus ubi Ajax sit cognitum habet, adeo ut et ipse scire possim.* Hoc fortasse ut e malis minimum recipiendum erit: sed ita Sophoclem scripsisse quis affirmaverit? Alii *συμμαθεῖν* per *διδάσκειν* explicant: quam in sententiam disputata sunt nonnulla a Lobeckio: sed nec illa satisfaciunt. Crediderim *τόπος* ex *ὅπου* vel *θ' ὅπου* corruptum esse. Succurrit inter alia *κοὐδεὶς ἐπίσταταί σφε συμβαλεῖν ὅπου.*

870. *ἰδού, ἰδού.* Alterum *ἰδού* recte fortasse ejecit Hermannus.

872. *ἡμῶν γε.* sc. *δοῦπον κλύεις,* cui deinde accommodat sequentia, *ναὸς κοινόπλουν ὁμιλίαν.* Vel *ναὸς ὁμιλίαν* pro *ναυτικὴν ὁμιλίαν* dictum accipere possis, ut genitivus post inferatur sicut in Ant. 1205. Phil. 489.

ΗΜ. πόνου γε πλῆθος, κοὐδὲν εἰς ὄψιν πλέον.
ΗΜ. ἀλλ' οὐδὲ μὲν δὴ τὴν ἀφ' ἡλίου βολῶν
κέλευθον ἀνὴρ οὐδαμοῦ δηλοῖ φανείς.
ΧΟ. τίς ἂν δῆτά μοι, τίς ἂν φιλοπόνων στροφή.
ἁλιαδᾶν ἔχων ἀΰπνους ἄγρας,
ἢ τίς Ὀλυμπιάδων θεᾶν, ἢ ῥυτῶν
Βοσπορίων ποταμῶν, τὸν ὠμόθυμον
εἴ ποθι πλαζόμενον λεύσσων
ἀπύοι; σχέτλια γὰρ
ἐμέ γε τὸν μακρῶν ἀλάταν πόνων
οὐρίῳ μὴ πελάσαι δρόμῳ,
ἀλλ' ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.
ΤΕ. ἰώ μοί μοι.
ΧΟ. τίνος βοὴ πάραυλος ἐξέβη νάπους;
ΤΕ. ἰὼ τλήμων.
ΧΟ. τὴν δουρίληπτον δύσμορον νύμφην ὁρῶ
Τέκμησσαν, οἴκτῳ τῷδε συγκεκραμένην.
ΤΕ. οἴχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι.

877. *ἀλλ' οὐδὲ μὲν δή.* Ita La. Lb. Dresd. a. Aug. b. Vulgo *ἀλλ' οὐδ' ἐμοὶ δή.* Similis particularum collocatio Trach. 1128. El. 913.

τὴν ἀφ' ἡλίου βολῶν κέλευθον. *in parte orientali.* Absimilis est quem conferunt Electræ locus v. 1273. *φιλτάταν ὁδὸν ἐπαξιώσας ἐμοὶ φανῆναι.*

879. *δῆτα* Hermannus. Libri *δή.*

881. *Ὀλυμπιάδων θεᾶν*] *θεᾶν* La. Lb. Γ. Aug. b. Vulgo *θεῶν.* Recte statuit Lobeckius Oreades Dryadesque montis Olympi invocari, quem Tragicos *ἀγεωγραφήτους* cum Ida confundere rebusque Trojanis immiscere Strabo conqueritur L. x. 186. T. iv.

884. Post *ποταμῶν* vulgo legebatur *ἴδρις* (omittunt tamen Mosq. a. b.) quod nihil habet quod respondeat in antistrophico: et recte deletum videtur ab Erfurdtio. Flumina pro fluminum numinibus posuit poeta. *Ἴδρις* autem si recte legeretur, certe cum Hermanno ad sequentia referendum esset. Quæ enim comparat Lobeckius e. g. *gens conscia Nilo* Lucan. 1. 20. vereor ne parum huic loco conveniant.

886. *εἴποθι λεύσσων*] *εἴποθι alicubi* videtur notare: quemadmodum *εἴτινα* explicari posse monui supra v. 178. *ἦ χαλκοθώραξ εἴ τιν' Ἐνυάλιος μομφὰν ἔχων — ἐτίσατο λώβαν.* Exempla quædam attulit Lobeckius, sed ex recentiore Græcitate desumta. Cf. Phil. 1204.

888. *μακρῶν ἀλάταν πόνων.* *longis circumactum erroribus.*

889. *πελάσαι.* sc. *τοῦ Αἴαντος.*

895. *οἴκτῳ τῷδε συγκεκραμένην.* Cf. Ant. 1311. *δειλαίᾳ δὲ συγκέκραμαι δύᾳ.*

896. *ᾤχωκ'* scribi jubet Dind. ex Herodiano MS. *περὶ μεγάλου ῥήματος*, coll. Koen. ad Greg. Cor. p. 66. Cf. ad Trach. 268.

ΧΟ. τί δ' ἔστιν;
ΤΕ. Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.
ΧΟ. ὤμοι ἐμῶν νόστων·
ὤμοι, κατέπεφνες, ἄναξ,*
τόνδε συνναύταν, ὦ τάλας·
ὦ ταλαῖφρον γύναι.
ΤΕ. ὡς ὧδε τοῦδ' ἔχοντος αἰάζειν πάρα.
ΧΟ. τίνος ποτ' ἆρ' ἔρξε χειρὶ δύσμορος;
ΤΕ. αὐτὸς πρὸς αὑτοῦ· δῆλον. ἐν γάρ οἱ χθονὶ
πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ.
ΧΟ. ὤμοι ἐμᾶς ἄτας, οἷος ἄρ' αἱμάχθης,
ἄφρακτος φίλων·
ἐγὼ δ' ὁ πάντα κωφός, ὁ πάντ' ἄϊδρις,
κατημέλησα. πᾶ πᾶ
κεῖται ὁ δυστράπελος
δυσώνυμος Αἴας;
ΤΕ. οὔτοι θεατός· ἀλλά νιν περιπτυχεῖ
φάρει καλύψω τῷδε παμπήδην, ἐπεὶ
οὐδεὶς ἄν, ὅστις καὶ φίλος, τλαίη βλέπειν
φυσῶντ' ἄνω πρὸς ῥῖνας, ἔκ τε φοινίας
πληγῆς μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.
οἴμοι, τί δράσω; τίς σε βαστάσει φίλων;
ποῦ Τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι,

900. *ὦ μοι* Hermannus. *ἰώ μοί μοι* vulgo.

901. Post *ἄναξ* syllaba excidit.

903. *ταλαῖφρον* Lb. Γ. Δ. Vulgo *ταλαίφρων.*

905. *ἔρξε* Hermannus ex Hesychii glossa *ἔρξεν, ἔπραξεν.* Vulgo *ἔπραξεν.*

907. *οἱ περιπετές.* Insolentius dicitur ensis, in quem cecidit Ajax, ipse Ajaci *περιπεσεῖν*, sive circumdatus fuisse.

910. *ἄφαρκτος* Dindorfius. Vid. ad Ant. 235.

914. *δυσώνυμος.* Articulum male præfigunt libri plerique.

921. *ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι.* Verte post Hermannum: *Utinam tempori, si veniat, adsit ad funus interempti fratris curandum.* *ὡς* autem voto exprimendo inservit. Vid. Matth. Gr. Gr. 513. et cf. El. 126. Cum opta-

πεπτῶτ᾽ ἀδελφὸν τόνδε συγκαθαρμόσαι.
ὦ δύσμορ᾽ Αἴας, οἷος ὢν οἵως ἔχεις,
ὡς καὶ παρ᾽ ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.
ΧΟ. ἔμελλες, τάλας, ἔμελλες χρόνῳ *ἀντιστροφή.*
στερεόφρων ἄρ᾽ ἐξανύσειν κακὰν
μοῖραν ἀπειρεσίων πόνων. τοῖά μοι
πάννυχα καὶ φαέθοντ᾽ ἀνεστέναζες
ὠμόφρων ἐχθοδόπ᾽ Ἀτρείδαις
οὐλίῳ σὺν πάθει.
μέγας ἄρ᾽ ἦν ἐκεῖνος ἄρχων χρόνος
πημάτων, ἦμος ἀριστόχειρ
* * * * ὅπλων ἔκειτ᾽ ἀγὼν πέρι.
ΤΕ. ἰώ μοί μοι.
ΧΟ. χωρεῖ πρὸς ἧπαρ, οἶδα, γενναία δύη.
ΤΕ. ἰώ μοί μοι.
ΧΟ. οὐδέν σ᾽ ἀπιστῶ καὶ δὶς οἰμῶξαι, γύναι,
τοιοῦδ᾽ ἀποβλαφθεῖσαν ἀρτίως φίλου.
ΤΕ. σοὶ μὲν δοκεῖν ταῦτ᾽ ἔστ᾽, ἐμοὶ δ᾽ ἄγαν φρονεῖν.
ΧΟ. ξυναυδῶ.
ΤΕ. οἴμοι, τέκνον, πρὸς οἷα δουλείας ζυγὰ
χωροῦμεν, οἷοι νῷν ἐφεστᾶσι σκοποί.
ΧΟ. ὤμοι, ἀναλγήτων
δισσῶν ἐθρόησας ἄναυδον
ἔργον Ἀτρειδᾶν τῷδ᾽ ἄχει.
ἀλλ᾽ ἀπείργοι θεός.
ΤΕ. οὐκ ἂν τάδ᾽ ἔστη τῇδε, μὴ θεῶν μέτα.
ΧΟ. ἄγαν ὑπερβριθὲς ἄχθος ἤνυσαν.

tivo εἰ βαίη confert Herm. Arist. Pac. 1072. ἐξώλης ἀπόλοι᾽, εἰ μὴ παύσαιο βακίζων. Porsonus correxit ὡς ἀκμαῖ᾽ ἄν.

926. ὦδ᾽ post ἄρ᾽ addidit Erfurdtius.

930. πάννυχα καὶ φαέθοντ᾽. *nocte dieque.*

931. ὠμόφρων. Monet Dindorfius in versu strophico 886. εἴ ποθι ante πλαζόμενον cretici mensuram habere.

935. 936. ἀριστόχειρ ἀγών. *virtutis certamen.* Post ἀριστόχειρ quatuor exciderunt syllabæ.

945. οἷοι νῷν—σκοποί. h. e. ὅτι τοιοῦτοι. σκοποὶ Atridæ sunt.

948. τῷδ᾽ ἄχει. *hoc malum commemorando.*

ΤΕ. τοιόνδε μέντοι Ζηνὸς ἡ δεινὴ θεὸς
Παλλὰς φυτεύει πῆμ᾽ Ὀδυσσέως χάριν.
ΧΟ. ἦ ῥα κελαινώπαν θυμὸν ἐφυβρίζει
πολύτλας ἀνήρ,
γελᾷ δὲ τοῖσδε μαινομένοις ἄχεσιν
πολὺν γέλωτα, φεῦ φεῦ,
ξύν τε διπλοῖ βασιλῆς
κλύοντες Ἀτρεῖδαι.
ΤΕ. οἱ δ᾽ οὖν γελώντων κἀπιχαιρόντων κακοῖς
τοῖς τοῦδ᾽. ἴσως τοι, κεἰ βλέποντα μὴ ᾽πόθουν,
θανόντ᾽ ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.
οἱ γὰρ κακοὶ γνώμαισι τἀγαθὸν χεροῖν
ἔχοντες οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ.
ἐμοὶ πικρὸς τέθνηκεν ἢ κείνοις γλυκύς,
αὑτῷ δὲ τερπνός. ὧν γὰρ ἠράσθη τυχεῖν
ἐκτήσαθ᾽ αὑτῷ, θάνατον, ὅνπερ ἤθελεν.
τί δῆτα τοῦδ᾽ ἐπεγγελῷεν ἂν κάτα;
θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ.
πρὸς ταῦτ᾽ Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω.
Αἴας γὰρ αὐτοῖς οὐκέτ᾽ ἐστίν· ἀλλ᾽ ἐμοὶ
λιπὼν ἀνίας καὶ γόους διοίχεται.

ΤΕΥΚΡΟΣ.

ἰώ μοί μοι.
ΧΟ. σίγησον. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν
βοῶντος ἄτης τῆσδ᾽ ἐπίσκοπον μέλος.

954. κελαινώπαν θυμὸν ἐφυβρίζει] ἐφυβρίζει ἔχων interpretatur Hermannus.

956. ὁ ante πολύτλας delevit Pors. ad Orest. 1297. Consentit Palat.

957. τοῖσδε Elmsleius. τοῖς veteres. τοῖσι Triclinius.

961. οἱ δ᾽. Vulgo οἵδ᾽. Correxit Bergler. ad Arist. Ach. 186. Cf. Œd. T. 669. Trach. 329.

963. ἐν χρείᾳ δορός. Cf. S. c. T. 506. ἐν χρείᾳ τύχης.

966. ἢ. h. e. μᾶλλον ἢ.

969. τοῦδέ γ᾽ ἐγγελῷεν correxit Pors. Suppl. ad præf. in Eur. Hec. p. xxx.

970. θεοῖς. h. e. *per deos.*

971. ἐν κενοῖς. Cf. ad Œd. T. v. 287.

976. ἐπίσκοπον. *convenientem.* Cf. Æsch. Eum. 903.

ΤΕ. ὦ φίλτατ' Αἴας, ὦ ξύναιμον ὄμμ' ἐμοί,
ἆρ' ἠμπόληκας, ὥσπερ ἡ φάτις κρατεῖ;
ΧΟ. ὄλωλεν ἀνήρ, Τεῦκρε, τοῦτ' ἐπίστασο.
ΤΕ. ὤμοι βαρείας ἆρα τῆς ἐμῆς τύχης.
ΧΟ. ὡς ὧδ' ἐχόντων ΤΕ. ὦ τάλας ἐγώ, τάλας.
ΧΟ. πάρα στενάζειν. ΤΕ. ὦ περισπερχὲς πάθος.
ΧΟ. ἄγαν γε, Τεῦκρε. ΤΕ. φεῦ τάλας. τί γὰρ τέκνον
τὸ τοῦδε ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος;
ΧΟ. μόνος παρὰ σκηναῖσιν. ΤΕ. οὐχ ὅσον τάχος
δῆτ' αὐτὸν ἄξεις δεῦρο, μή τις ὡς κενῆς
σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσῃ;
ἴθ', ἐγκόνει, σύγκαμνε. τοῖς θανοῦσί τοι
φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.
ΧΟ. καὶ μὴν ἔτι ζῶν, Τεῦκρε, τοῦδέ σοι μέλειν
ἐφίεθ' ἀνὴρ κεῖνος, ὥσπερ οὖν μέλει.
ΤΕ. ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
ἄλγιστον ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ,
ὁδός θ' ὁδῶν πασῶν ἀνιάσασα δὴ
μάλιστα τοὐμὸν σπλάγχνον, ἣν δὴ νῦν ἔβην,

978. ἠμπόληκας. *an lucrum fecisti*, id est, *adeptus es id quod optabas et in lucro ponebas?* sc. mortem. Cf. v. 967. Ita Matthiæ ad Eurip. Cycl. 254. Paullo melius, opinor, Hermannus: 'ἠμπόληκας est *perfecisti.* Nam ἐμπολᾶν significat *negotiari, negotium transigere.* Vid. Hesych. in v. et ejus interpretes.'

983. τί γὰρ] sc. κυρεῖ, ad quod ποῦ etiam duplici interrogatione refertur.

985. Digna quæ exscribantur ad h. l. annotavit Hermannus. 'Elmsleio mirum videtur, quod nemo eorum, qui Sophoclem ediderunt, ad vocem δῆτα offenderit, quæ non possit in initio versus collocari. Itaque scribendum putat οὐχ ὅσον τάχος δεῦρ' αὐτὸν ἄξεις δῆτα. Cave quidquam mutes. Nam ubi sententia circa finem versus incipit, duorum versuum numeri ita conjunguntur, ut in fine alterius, alterius autem initio ea jam licita habeantur, quæ aliter non nisi in medio versu concessa sunt. Dixi de hac re Elem. Doctr. Metr. p. 118. seq. Simillimum exemplum extat infra v. 1067. καί σοι προφωνῶ τόνδε μὴ θάπτειν ὅπως μή, τόνδε θάπτων, αὐτὸς ἐς ταφὰς πέσῃς. Ubi cohærent arctissime ὅπως μή, quas particulas si disjungeres sententia prodiret ineptissima. Œd. R. 1084. οὐκ ἂν ἐξέλθοιμ' ἔτι ποτ' ἄλλος, ὥστε μὴ 'κμαθεῖν τοὐμὸν γένος.'

986. κενῆς. Bene comparat Hermannus Œd. Col. 1200. τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος. κενῆς leænæ conditionem notat, postquam catulo orbata est. Sic φθίνουσα τόκοισιν ἀγόνοις γυναικῶν. Œd. T. 26.

ὦ φίλτατ' Αἴας, τὸν σὸν ὡς ἐπῃσθόμην
μόρον διώκων κἀξιχνοσκοπούμενος.
ὀξεῖα γάρ σου βάξις, ὡς θεοῦ τινος,
διῆλθ' Ἀχαιοὺς πάντας ὡς οἴχει θανών.
ἁγὼ κλύων δείλαιος ἐκποδὼν μὲν ὢν
ὑπεστέναζον, νῦν δ' ὁρῶν ἀπόλλυμαι.
οἴμοι.
ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
ὦ δυσθέατον ὄμμα καὶ τόλμης πικρᾶς,
ὅσας ἀνίας μοι κατασπείρας φθίνεις.
ποῖ γὰρ μολεῖν μοι δυνατόν, εἰς ποίους βροτούς,
τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
ἦ πού με Τελαμών, σὸς πατὴρ ἐμός θ' ἅμα,
δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ' ἰσως
χωροῦντ' ἄνευ σοῦ. πῶς γὰρ οὔχ; ὅτῳ πάρα
μηδ' εὐτυχοῦντι μηδὲν ἥδιον γελᾶν.
οὗτος τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακόν,
τὸν ἐκ δορὸς γεγῶτα πολεμίου νόθον,
τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ
σέ, φίλτατ' Αἴας, ἢ δόλοισιν, ὡς τὰ σὰ
κράτη θανόντος καὶ δόμους νέμοιμι σούς.
τοιαῦτ' ἀνὴρ δύσοργος, ἐν γήρᾳ βαρύς,
ἐρεῖ, πρὸς οὐδὲν εἰς ἔριν θυμούμενος.
τέλος δ' ἀπωστὸς γῆς ἀπορριφθήσομαι,

998. ὀξεῖα σου βάξις. *de te.* Cf. ad Ant. 11. ὡς θεοῦ τινος. *tanquam a Deo aliquo immissa.* Cf. ὥστε τέκτονος Trach. v. 768.

1007. Constructio; ποῖ δυνατόν μοι μολεῖν (με) ἀρήξαντ'. Cf. Elmsl. ad Heracl. 693. Med. 553. not. Matth. Gr. Gr. 536. obs.

1008. ἦ που. Irrisioni has particulas inservire monet Triclinius: unde in v. 1010. πῶς γὰρ οὔχ; recte dicitur: namque hæc ita accipienda sunt: *cur non excipiat me gravi severoque vultu?* Monuit Wunderus.

1011. μηδὲν ἥδιον. sc. ἢ δυστυχοῦντι.

1013. τὸν ἐκ δορὸς γεγῶτα πολεμίου νόθον. Hesione, quæ designatur, erat δορὸς γέρας (vide v. 434.) et peregrina: quapropter Teucer ea prognatus metuit, ne a patre νόθος appelletur. IAEGER.

1018. *Levissimam quamque ob caussam ad jurgia irritabilis.* BRUNCK.

δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
τοιαῦτα μὲν κατ' οἶκον· ἐν Τροίᾳ δέ μοι
πολλοὶ μὲν ἐχθροί, παῦρα δ' ὠφελήσιμα.
καὶ ταῦτα πάντα σοῦ θανόντος εὑρόμην.
οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ
τοῦδ' αἰόλου κνώδοντος, ὦ τάλας, ὑφ' οὗ
φονέως ἄρ' ἐξέπνευσας; εἶδες ὡς χρόνῳ
ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν;
σκέψασθε, πρὸς θεῶν, τὴν τύχην δυοῖν βροτοῖν.
Ἕκτωρ μέν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα,
ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων
ἐκνάπτετ' αἰέν, ἔς τ' ἀπέψυξεν βίον·
οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων
πρὸς τοῦδ' ὄλωλε θανασίμῳ πεσήματι.
ἆρ' οὐκ Ἐρινὺς τοῦτ' ἐχάλκευσε ξίφος
κἀκεῖνον Ἅιδης, δημιουργὸς ἄγριος;
ἐγὼ μὲν ἂν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς·
ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα,
κεῖνος τὰ κείνου στεργέτω, κἀγὼ τάδε.

ΧΟ. μὴ τεῖνε μακράν, ἀλλ' ὅπως κρύψεις τάφῳ
φράζου τὸν ἄνδρα, χὤ τι μυθήσει τάχα.
βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ' ἂν κακοῖς
γελῶν ἃ δὴ κακοῦργος ἐξίκοιτ' ἀνήρ.

ΤΕ. τίς δ' ἐστὶν ὅντιν' ἄνδρα προσλεύσσεις στρατοῦ;

ΧΟ. Μενέλαος, ᾧ δὴ τόνδε πλοῦν ἐστείλαμεν.

ΤΕ. ὁρῶ· μαθεῖν γὰρ ἐγγὺς ὢν οὐ δυσπετής.

1022. ὠφελήσιμοι libri. Correxit Johnsonus.

1027. ἀποφθιεῖν Dindorfius.

1029. Ordo est: Ἕκτωρ μέν, πρισθεὶς ἐξ ἱππικῶν ἀντύγων ζωστῆρι ᾧ δὴ ἐδωρήθη παρὰ τοῦδε (sc. Αἴαντος). πρισθεὶς Suidas interpretatur ἐξαφθείς, δεσμευθείς. De donis mutuo ab Hectore et Ajace datis cf. Hom. Il. H. 303. seqq. ὣς ἄρα φωνήσας δῶκε ξίφος ἀργυρόηλον, σὺν κολεῷ τε φέρων καὶ ἐϋτμήτῳ τελαμῶνι· Αἴας δὲ ζωστῆρα δίδου φοίνικι φαεινόν.

1040. κρύψῃς La. pr. Lb. κρύψεις La. em.

1043. ἃ δὴ κακοῦργος. Pro vulgari ἅτε δή. SCHAEFER.

ΜΕΝΕΛΑΟΣ.

οὗτος, σὲ φωνῶ τόνδε τὸν νεκρὸν χεροῖν
μὴ συγκομίζειν, ἀλλ' ἐᾶν ὅπως ἔχει.

ΤΕ. τίνος χάριν τοσόνδ' ἀνάλωσας λόγον;

ΜΕ. δοκοῦντ' ἐμοί, δοκοῦντα δ' ὃς κραίνει στρατοῦ.

ΤΕ. οὔκουν ἂν εἴποις ἥντιν' αἰτίαν προθείς;

ΜΕ. ὁθούνεκ' αὐτὸν ἐλπίσαντες οἴκοθεν
ἄγειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
ἐξεύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν·
ὅστις στρατῷ ξύμπαντι βουλεύσας φόνον
νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δορί·
κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὅδ' εἴληχεν τύχην,
θανόντες ἂν προὐκείμεθ' αἰσχίστῳ μόρῳ,
οὗτος δ' ἂν ἔζη. νῦν δ' ἐνήλλαξεν θεὸς
τὴν τοῦδ' ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν.
ὧν οὕνεκ' αὐτὸν οὔτις ἔστ' ἀνὴρ σθένων
τοσοῦτον ὥστε σῶμα τυμβεῦσαι τάφῳ,
ἀλλ' ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος
ὄρνισι φορβὴ παραλίοις γενήσεται.
πρὸς ταῦτα μηδὲν δεινὸν ἐξάρῃς μένος.
εἰ γὰρ βλέποντος μὴ 'δυνήθημεν κρατεῖν,
πάντως θανόντος γ' ἄρξομεν, κἂν μὴ θέλῃς,
χερσὶν παρευθύνοντες. οὐ γὰρ ἔσθ' ὅπου

1047. Puncto, quod ponunt post φωνῶ, deleto, arcte jungenda σὲ φωνῶ μὴ ξυγκομίζειν. Supra v. 71. seq. οὗτος, σὲ—προσμολεῖν καλῶ. φωνῶ verte *jubeo*. Sic etiam 72. καλῶ. Cf. not. ad Theocr. p. 224. SCHAEFER.

1049. ἀνήλωσας. Hanc formam contra grammaticos tuentur inscriptiones veteres. Vide Elmsleium Mus. Crit. Cantab. t. i. p. 369. GAISFORD. ἀνάλωσας duo codd.

1056. ἐλοιδόρει habet pro v. l. La. quo deceptus Scholiasta insulsam interpretationem fingit. δόρει h. l. putat scribendum Hermannus, de quo vide ad Œd. Col. 620. et Dindorfii notam ad hunc locum.

1058. Accusativus τύχην ita explicandus, ut memineris poetam pro ἐλάχομεν quod dicturus erat, alia verba substituere. HERMANN.

λόγων ἀκοῦσαι ζῶν ποτ᾽ ἠθέλησ᾽ ἐμῶν.
καίτοι κακοῦ πρὸς ἀνδρὸς ἄνδρα δημότην
μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ᾽ ἄν, ἔνθα μὴ καθεστήκῃ δέος,
οὔτ᾽ ἂν στρατός γε σωφρόνως ἄρχοιτ᾽ ἔτι
μηδὲν φόβου πρόβλημα μηδ᾽ αἰδοῦς ἔχων.
ἀλλ᾽ ἄνδρα χρή, κἂν σῶμα γεννήσῃ μέγα,
δοκεῖν πεσεῖν ἂν κἂν ἀπὸ σμικροῦ κακοῦ.
δέος γὰρ ᾧ πρόσεστιν αἰσχύνη θ᾽ ὁμοῦ,
σωτηρίαν ἔχοντα τόνδ᾽ ἐπίστασο·
ὅπου δ᾽ ὑβρίζειν δρᾶν θ᾽ ἃ βούλεται παρῇ,
ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
ἐξ οὐρίων δραμοῦσαν εἰς βυθὸν πεσεῖν.
ἀλλ᾽ ἑστάτω μοι καὶ δέος τι καίριον,
καὶ μὴ δοκῶμεν δρῶντες ἂν ἡδώμεθα
οὐκ ἀντιτίσειν αὖθις ἂν λυπώμεθα.
ἕρπει παραλλὰξ ταῦτα. πρόσθεν οὗτος ἦν
αἴθων ὑβριστής· νῦν δ᾽ ἐγὼ μέγ᾽ αὖ φρονῶ.
καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
μὴ τόνδε θάπτων αὐτὸς εἰς ταφὰς πέσῃς.
ΧΟ. Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς
εἶτ᾽ αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.
ΤΕ. οὐκ ἄν ποτ᾽, ἄνδρες, ἄνδρα θαυμάσαιμ᾽ ἔτι,
ὃς μηδὲν ὢν γοναῖσιν εἶθ᾽ ἁμαρτάνει,
ὅθ᾽ οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι
τοιαῦθ᾽ ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.
ἄγ᾽ εἴπ᾽ ἀπ᾽ ἀρχῆς αὖθις, ἦ σὺ φῂς ἄγειν

1074. *καθεστήκοι* Turn. et A. pro v. l. quod verisimile videtur. Sed et alterum stare potest.

1083. *ἐξ οὐρίων δραμοῦσαν recto* vel *secundo cursu euntem.* Similia comparavit Lobeckius. *πεσεῖν* rectissime explicuit Hermannus, ut *ἂν* particula minime opus sit: 'Omitte in Sophoclis loco *νόμιζε*, et habebis sensum qui in verbis inest; *ὅπου δρᾶν ἃ βούλεται πάρα, αὕτη ἡ πόλις χρόνῳ ποτὲ ἐς βυθὸν ἔπεσεν.*'

1089. *ὅπως | μή.* Vid. ad Œd. T. 1075.

τὸν ἄνδρ᾽ Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
οὐκ αὐτὸς ἐξέπλευσεν, ὡς αὑτοῦ κρατῶν;
ποῦ σὺ στρατηγεῖς τοῦδε; ποῦ δὲ σοὶ λεῶν
ἔξεστ᾽ ἀνάσσειν ὧν ὅδ᾽ ἡγεῖτ᾽ οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν.
οὐδ᾽ ἔσθ᾽ ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον
ἀρχῆς ἔκειτο θεσμὸς ἢ καὶ τῷδε σέ.
ὕπαρχος ἄλλων δεῦρ᾽ ἔπλευσας, οὐχ ὅλων
στρατηγός, ὥστ᾽ Αἴαντος ἡγεῖσθαί ποτε.
ἀλλ᾽ ὧνπερ ἄρχεις ἄρχε, καὶ τὰ σέμν᾽ ἔπη
κόλαζ᾽ ἐκείνους· τόνδε δ᾽, εἴτε μὴ σὺ φῂς
εἴθ᾽ ἅτερος στρατηγός, εἰς ταφὰς ἐγὼ
θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.
οὐ γάρ τι τῆς σῆς οὕνεκ᾽ ἐστρατεύσατο
γυναικός, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ,
ἀλλ᾽ οὕνεχ᾽ ὅρκων οἷσιν ἦν ἐνώμοτος,
σοῦ δ᾽ οὐδέν· οὐ γὰρ ἠξίου τοὺς μηδένας.
πρὸς ταῦτα πλείους δεῦρο κήρυκας λαβὼν
καὶ τὸν στρατηγὸν ἧκε. τοῦ δὲ σοῦ ψόφου
οὐκ ἂν στραφείην, ὡς ἂν ᾖς οἷός περ εἶ.
ΧΟ. οὐδ᾽ αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.
τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ᾽ ᾖ, δάκνει.
ΜΕ. ὁ τοξότης ἔοικεν οὐ σμικρὸν φρονεῖν.
ΤΕ. οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.
ΜΕ. μέγ᾽ ἄν τι κομπάσειας, ἀσπίδ᾽ εἰ λάβοις.
ΤΕ. κἂν ψιλὸς ἀρκέσαιμι σοί γ᾽ ὡπλισμένῳ

1100. *ποῦ.* Cf. Œd. T. 390. *ποῦ σὺ μάντις εἶ σαφής;*

1101. *ἦγεν* Pors. *ἤγετ᾽* Elmsl. ad Heracl. 371. *ἤγαγ᾽* Palat. ap. Dindorf. quod fortasse recipiendum.

1103. *κοσμῆσαι. imperium in eum exercere.*

1108. Cf. ad Œd. T. 340.

1112. *οἱ πόνου πολλοῦ πλέῳ.* Monet Nevius inesse in his verbis miserationem eorum qui omnibus Atridarum imperiis obedire coacti sint.

1114. *ἠξίου. honorabat.* V. Porson. ad Eurip. Hec. v. 319. SCHAEF.

1117. *στραφείην.* Eundem quem verbum compositum *ἐπιστρέφεσθαι* hoc loco verbum simplex et casum et significationem adsciscere recte monet Wunderus. *ὡς ἂν ᾖς. quamdiu.* Cf. ad Œd. Col. 1361. et Phil. 1330.

ΜΕ. ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.
ΤΕ. ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστιν φρονεῖν.
ΜΕ. δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με;
ΤΕ. κτείναντα; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.
ΜΕ. θεὸς γὰρ ἐκσῴζει με, τῷδε δ' οἴχομαι.
ΤΕ. μή νυν ἀτίμα θεούς, θεοῖς σεσωσμένος.
ΜΕ. ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;
ΤΕ. εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.
ΜΕ. τούς γ' αὐτὸς αὑτοῦ πολεμίους. οὐ γὰρ καλόν.
ΤΕ. ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;
ΜΕ. μισοῦντ' ἐμίσει· καὶ σὺ τοῦτ' ἠπίστασο.
ΤΕ. κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς εὑρέθης.
ΜΕ. ἐν τοῖς δικασταῖς, κοὐκ ἐμοί, τόδ' ἐσφάλη.
ΤΕ. πόλλ' ἂν κακῶς λάθρα σὺ κλέψειας κακά.
ΜΕ. τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι.
ΤΕ. οὐ μᾶλλον, ὡς ἔοικεν, ἢ λυπήσομεν.
ΜΕ. ἕν σοι φράσω· τόνδ' ἐστὶν οὐχὶ θαπτέον.
ΤΕ. σὺ δ' ἀντακούσει τοῦτον ὡς τεθάψεται.
ΜΕ. ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασὺν
ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
ᾧ φθέγμ' ἂν οὐκ εὗρες, ἡνίκ' ἐν κακῷ
χειμῶνος εἴχετ', ἀλλ' ὑφ' εἵματος κρυφεὶς
πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων.
οὕτω δὲ καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα

1126. κτείναντά με. *qui me occidere voluerit.* Cf. ad Trach. 363.

1131. οὐκ ἐᾷς. Hoc præcedente εἰ dictum esse, propterea quod conjuncta hæc verba κωλύειν valent; vix opus est ut moneam. Cf. ad Œd. T. 885.

1135. Dissenius ad Pind. Nem. viii. 45. a Wundero laudatus: 'κρυφίαις ἐν ψάφοις (verba sunt Pindari de armis Ulixi datis) significat, ni fallor, dolosis suffragiis: factum enim erat fraudulentis præstigiis quorundam, ut Ulixes majorem partem suffragiorum haberet. Fuit inter hos Menelaus, de quo Teucer apud Sophoclem in Ajace 1135. conqueritur, comparans eum cum præstigiatoribus, qui calculos aut globulos tanta cum dexteritate movent et alio transferunt, ut oculos spectantium fallant, de quibus dixit Casaub. ad Athen. i. p. 19. B. His igitur occultis suffragiorum præstigiis victoriam pararunt Ulixi.'

1138. τινί. h. e. σοί. Cf. ad Ant. 751.

1147. Duas constructiones in

σμικροῦ νέφους τάχ' ἄν τις ἐκπνεύσας μέγας
χειμὼν κατασβέσειε τὴν πολλὴν βοήν.
ΤΕ. ἐγὼ δέ γ' ἄνδρ' ὄπωπα μωρίας πλέων,
ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
κᾆτ' αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ
ὀργήν θ' ὅμοιος εἶπε τοιοῦτον λόγον,
ἄνθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς·
εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος.
τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει παρών.
ὁρῶ δέ τοί νιν, κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
οὐδείς ποτ' ἄλλος ἢ σύ. μῶν ᾐνιξάμην;
ΜΕ. ἄπειμι· καὶ γὰρ αἰσχρόν, εἰ πύθοιτό τις,
λόγοις κολάζειν ᾧ βιάζεσθαι πάρα.
ΤΕ. ἄφερπέ νυν. κἀμοὶ γὰρ αἴσχιστον κλύειν
ἀνδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου.
ΧΟ. ἔσται μεγάλης ἔριδός τις ἀγών.
ἀλλ' ὡς δύνασαι, Τεῦκρε, ταχύνας
σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
τῷδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
τάφον εὐρώεντα καθέξει.
ΤΕ. καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίον
πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνή,
τάφον περιστελοῦντε δυστήνου νεκροῦ.
ὦ παῖ πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας
ἱκέτης ἔφαψαι πατρός, ὅς σ' ἐγείνατο.
θάκει δὲ προστρόπαιος ἐν χεροῖν ἔχων
κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου,
ἱκτήριον θησαυρόν. εἰ δέ τις στρατοῦ
βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,
κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονός,

unam confusas, τὸ σὸν στόμα ἂν κατασβέσειεν, et κατασβέσειεν ἂν τὴν πολλὴν τοῦ σοῦ στόματος βοήν, vix opus ut explicemus. HERMANN.

1159. αἰσχρόν, εἰ πύθοιτο. Cf. ad Œd. T. 917.

1165. ἰδεῖν. *providere.* MUSGRAV.

1168. πλησίοι La. Lb. Γ. πλησίον vulgo.

γένους ἅπαντος ῥίζαν ἐξημημένος,
αὔτως ὅπωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον.
ἔχ' αὐτόν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.
ὑμεῖς τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας
παρέστατ', ἀλλ' ἀρήγετ', ἔς τ' ἐγὼ μόλω
τάφου μεληθεὶς τῷδε, κἂν μηδεὶς ἐᾷ.
ΧΟ. τίς ἄρα νέατος ἐς πότε λή- στροφὴ α΄.
ξει πολυπλάγκτων ἐτέων ἀριθμὸς
τὰν ἄπαυστον αἰὲν ἐμοὶ δορυσσοήτων
μόχθων ἄταν ἐπάγων
† ἀνὰ τὰν εὐρώδη Τροίαν,
δύστανον ὄνειδος Ἑλλάνων ;
ὄφελε πρότερον αἰθέρα δῦ- ἀντιστροφὴ α΄.
ναι μέγαν ἢ τὸν πολύκοινον Ἅιδαν
κεῖνος ἀνήρ, ὃς στυγερῶν ἔδειξεν ὅπλων
Ἕλλασι κοινὸν Ἄρη.

1185. *τίς ἄρα νέατος.* Recte veteres libri non ponunt signum interrogandi post *νέατος*. Usitatum est enim Græcis, duas interrogationes una comprehendere. Eur. Helen. 1543. *ὦ τλήμονες, πῶς ἐκ τίνος νεὼς ποτε Ἀχαΐδος θραύσαντες ἥκετε σκάφος;* Plura dedit Seidlerus in annotatione mea ad Ant. v. 2. Hermann.

1187. *τὰν ἄπαυστον.* Cf. ad Œd. T. 634.

1188. *δορυσσόντων* vulgo. *δορυσσοήτων* dubitanter cum Dindorfio ex La. rescripsi, quam formam (sc. *δορυσσόης*, gen. *δορυσσόητος*) Tragicos pro *δορυσσόος* interdum usurpare docuit Th. Bergkius in Zimmermanni Diar. Ant. fasc. 1. a. 1836. n. 7. p. 57. *δορυσσόητα* in Eur. Her. 774. ubi vulgo *δορύσσοντα*, item rescribi vult Dindorf. Vulgatam tuentur Suidas et Eustath. p. 1292. 19. Certe eo commendatur *δορυσσόητων* quod ita veterum librorum scriptura congruit in antistropha, ubi *ἔδειξ'* Brunckius. De locutione ipsa Lobeckius confert Æsch. Ag. 404. *ἀσπίστορες κλόνοι λόγχιμοί τε καὶ ναυβάται ὁπλισμοί.* Eur. Hel. 444. *ἀσπισταὶ μόχθοι.* Theogn. 965. *δορυσσόος πόνος.* Suidas *τῶν κατὰ πόλεμον μόχθων* interpretatur.

1189. *ἐπάγων.* Cum *λήξει* construendum.

1190. *ἀνὰ τὰν εὐρώδη Τροίαν.* Vulgatam quamvis vitii manifestam reliqui. *εὐρώδη* tamen idem quod *εὐρεῖαν* esse volunt. Lobeckius confert *βραχὺς βραχώδης, τραχὺς τραχώδης.* Cf. eundem ad Phryn. p. 541. *Τροίη εὐρεῖα* locutio ex Homero nota. Dindorfius conjecit *ἀν' εὐρώδη Τροΐαν.*

1195. *ἀνὴρ* edd. ante Brunckium. Primam in *ἀνὴρ* in melico carmine produci putat Lobeckius.

(?) ἰὼ πόνοι πρόγονοι πόνων.
κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.
ἐκεῖνος οὔτε στεφάνων στροφὴ β΄.
οὔτε βαθειᾶν κυλίκων
νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
οὔτε γλυκὺν αὐλῶν ὄτοβον
δύσμορος οὔτ' ἐννυχίαν
τέρψιν ἰαύειν.
ἐρώτων δ' ἐρώτων ἀπέπαυσεν, ὤμοι·
κεῖμαι δ' ἀμέριμνος οὕτως,
ἀεὶ πυκιναῖς δρόσοις
τεγγόμενος κόμας,
λυγρᾶς μνήματα Τροίας.
καὶ πρὶν μὲν * ἐννυχίου ἀντιστροφὴ β΄.
δείματος ἦν μοι προβολὰ
καὶ βελέων θούριος Αἴας,
νῦν δ' οὗτος ἀνεῖται στυγερῷ
δαίμονι. τίς μοι, τίς ἔτ' οὖν
τέρψις ἐπέσται ;
γενοίμαν ἵν' ὑλᾶεν ἔπεστι πόντου
πρόβλημ' ἀλίκλυστον, ἄκραν

1197. *ἰὼ πόνοι πρόγονοι πόνων.* Miram certe, nec tamen damnandam dixerim locutionem: saltem relinquendam donec certius aliquid de hujus et strophici versus scriptura sciamus. *ἰὼ πόνοι πρόπονοι* conjicit Dindorfius ejecto *πόνων.*

1199. *ἐκεῖνος οὐ* Hermannus: ut versus cum antistrophico exæquetur. Cf. ad v. 1211.

1201. *ὁμιλεῖν* ex abundantia quadam sermonis additum: sicut mox *ἰαύειν* v. 1204.

1204. Vulgo *τέρψιν ἰαύειν ἐρώτων. ἐρώτων δ' ἀπέπαυσεν.* Correxit Hermannus: idem in Γ. inventum testatur Dindorfius.

1207. *ἀμέριμνος.* *neglectus.*

1209. Cf. Æsch. Ag. 561. *δρόσοι κατεψέκαζον, ἔμπεδον σίνος ἐσθημάτων, τιθέντες ἔνθηρον τρίχα.*

1210. *λυγρᾶς* Brunckius. Olim *λυγράς.*

1211. *καὶ πρὶν μὲν *] οὖν* metri caussa inseruit Triclinius.

1214. *ἀνεῖται.* *devotus, consecratus est.* Ita recte Musgravius, coll. Eur. Phœn. 955. ubi vid. Valck. not.

στυγερῷ δαίμονι vel *Plutonem* vel triste Ajacis fatum intelligere possis.

1219. *πρόβλημ'.* Pausanias ait l. i. c. 28. 2. a Sunio promontorio accedentibus conspici jam cuspidem hastæ cristamque galeæ Minervæ Poliados. Unde consentaneum ex eo loco Athenas salutari, ut monuit Wunderus.

ὑπὸ πλάκα Σουνίου,
τὰς ἱερὰς ὅπως
προσείποιμεν Ἀθάνας.

ΤΕ. καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον·
δῆλος δέ μοὐστὶ σκαιὸν ἐκλύσων στόμα.

ΑΓΑΜΕΜΝΩΝ.

σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτὶ χανεῖν ;
σέ τοι τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω,
ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο
ὑψήλ' ἐκόμπεις κἀπ' ἄκρων ὡδοιπόρεις,
ὅτ' οὐδὲν ὢν τοῦ μηδὲν ἀντέστης ὕπερ,
κοὔτε στρατηγοὺς οὔτε ναυάρχους μολεῖν
ἡμᾶς Ἀχαιῶν οὔτε σοῦ διωμόσω·
ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φῄς, Αἴας ἔπλει.
ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά ;
ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα ;
ποῦ βάντος ἢ ποῦ στάντος οὗπερ οὐκ ἐγώ ;

1221. *προσείποιμεν.* De optativo cf. ad Trach. 657. Phil. 325. De more quo veteres tellurem accedentes salutabant confert Wunderus Virg. Æn. iii. 524. *Italiam læto socii clamore salutant.* Stat. Theb. iv. 808. *salutatus cum Leucada pandit Apollo.*

1225. *μοὐστὶ* Hermannus. *μοι 'στὶ* vulgo. *μοἰστι* La. Lb.

1226. *τὰ δεινὰ ῥήματ'.* sc. quæ relata acceperat Agamemnon. HERMANN.

1228. *αἰχμαλώτιδος.* vid. ad v. 71.

1230. *κἀπ' ἄκρων ὡδοιπόρεις*] *ἐπ' ἄκρων δακτύλων ἔφαινες γαυριῶν.* Suidas.

1233. h. e. *οὔτε Ἀχαιῶν, οὔτε σοῦ.*

1236. *ποίου κέκραγας ἀνδρός.* Cf. ad Trach. 1122.

1237. '*ποῦ* hic non proprie *ubi*, sed ut solitum in indignatione, fere idem quod *πῶς* est, ut v. 1100. *ποῦ σὺ στρατηγεῖς τοῦδε ; ποῦ δὲ σοὶ λεῶν ἔξεστ' ἀνάσσειν, ὧν ὅδ' ἡγεῖτ' οἴκοθεν ;* Eaque caussa est, quare *ποῦ βάντος* ne possit quidem in *ποῖ βάντος* mutari. Itaque sensus est, *quomodo profectus ille est, aut constitit alicubi ubi non ego steterim*, h. e. ut ibi ille, ac non ego potius steterim. Quod dicit, si plenius dicatur, hoc est : *πῶς γὰρ ἔβη ἢ ἔστη, οὗπερ οὐκ ἐγὼ σταίην, ἀλλ' ἐκεῖνος ;* eadem ratio est in illo *οὐ μᾶλλον ἢ οὐ.* Thucyd. iii. 36. *μετάνοια ἦν αὐτοῖς καὶ ἀναλογισμός, ὠμὸν τὸ βούλευμα ἐγνῶσθαι, πόλιν ὅλην διαφθεῖραι μᾶλλον ἢ οὐ τοὺς αἰτίους ;* i. e. *οὐ τοὺς αἰτίους ἀλλὰ μᾶλλον πόλιν ὅλην.*' Hæc ad v. 1281. annotavit Hermannus. Recte autem dispu-

οὐκ ἆρ' Ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε ;
πικροὺς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων
ἀγῶνας Ἀργείοισι κηρῦξαι τότε,
εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου κακοί,
κοὐκ ἀρκέσει ποθ' ὑμὶν οὐδ' ἡσσημένοις
εἴκειν ἃ τοῖς πολλοῖσιν ἤρεσκεν κριταῖς,
ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που
ἢ σὺν δόλῳ κεντήσεθ' οἱ λελειμμένοι.
ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν
καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
ἀλλ' εἰρκτέον τάδ' ἐστίν. οὐ γὰρ οἱ πλατεῖς
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
καὶ σοὶ προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον
ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσει τινά·
ὃς ἀνδρὸς οὐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
θαρσῶν ὑβρίζεις κἀξελευθεροστομεῖς.
οὐ σωφρονήσεις ; οὐ μαθὼν ὃς εἶ φύσιν
ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά ;
σοῦ γὰρ λέγοντος οὐκέτ' ἂν μάθοιμ' ἐγώ·
τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.

ΧΟ. εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.

tata sunt ; nam coll. v. 1281. dubium esse non potest quin sensus hujus loci sit, *οὐδαμοῦ στάντος οὗπερ ἐγὼ ἔστην.*

1245. *οἱ λελειμμένοι*] *οἱ ἡττηθέντες ἐν τῇ κρίσει.* Schol.

1260. Hæc satis contumeliose ab Agamemnone proferuntur. Servi enim, qualem Teucrum traducit, non poterant Athenis in concione caussam agere. Cf. Terent. Phorm. ii. 1. 62. WESSELING.

1263. Nihil aliud hic Teucro exprobratur, quam quod ex Hesione Laomedontis filia natus, non pro Græco habendus sit. HERMANN.

ΤΕ. *φεῦ· τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς*
χάρις διαρρεῖ καὶ προδοῦσ' ἁλίσκεται,
εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρῶν λόγων,
Αἴας, ἔτ' ἴσχει μνῆστιν, οὗ σὺ πολλάκις
τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δορί·
ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐρριμμένα.
ὦ πολλὰ λέξας ἄρτι κἀνόνητ' ἔπη,
οὐ μνημονεύεις οὐκέτ' οὐδέν, ἡνίκα
ἑρκέων ποθ' ὑμᾶς οὗτος ἐγκεκλῃμένους,
ἤδη τὸ μηδὲν ὄντας, ἐν τροπῇ δορὸς
ἐρρύσατ' ἐλθὼν μοῦνος, ἀμφὶ μὲν νεῶν
ἄκροισιν ἤδη ναυτικοῖς ἑδωλίοις
πυρὸς φλέγοντος, εἰς δὲ ναυτικὰ σκάφη
πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;
τίς ταῦτ' ἀπεῖρξεν; οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε,
ὃν οὐδαμοῦ φῂς οὐδὲ συμβῆναι ποδί;
ἆρ' ὑμὶν οὗτος ταῦτ' ἔδρασεν ἔνδικα;
χὤτ' αὖθις αὐτὸς Ἕκτορος μόνος μόνου,
λαχών τε κἀκέλευστος, ἦλθ' ἐναντίος,
οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθείς,
ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφου

1266. *ταχεῖά τις.* Cf. Phil. 519. *μὴ νῦν τις εὐχερὴς παρῇς.*

1268. *εἰ σοῦ γ'.* Cf. Œd. Col. 260.

ἐπὶ σμικρῶν λόγων si verum est vix aliud significare potest quam *ne minimum quidem*, h. e. *ne minimis quidem in rebus.* Sed durius hoc est: nescio an mihi arrideat quod Lobeckio videtur in mentem venisse, sc. *οὐδ' ἐπὶ σμικρὸν λόγου*, coll. Electr. 414. Sic autem reddideris: *Si quidem vir iste ita tui oblitus est, ut ne verbulo quidem tui caussa me honorare velit.* *λόγων* et *ψυχὴν* quodammodo inter se opposita videntur.

1273. *μνημονεύεις ἡνίκα.* Cf. ad Œd. T. 1134.

1274. *ἑρκέων ἐγκεκλῃμένους*] *ἐγκεκλειμένους* La. Barocc. Vid. ad Œd. T. 1262. De genitivo vid. Matth. Gr. Gr. 379. obs. 2. et cf. *τόνδ' εἰσεδέξω τειχέων* Eur. Phœn. 451. Male huc trahunt Œd. T. 238.

1277. Notanda, si genuina lectio, tautologia *νεῶν ναυτικοῖς ἑδωλίοις.* Bothius *ναυτικοῖς θ'.*

1281. *Quem tu ne adstitisse quidem tibi unquam contendis.* Hermann. Vid. ad v. 1237.

1283. *χὤτε.* Pendet a *μνημονεύεις* in v. 1273.

μόνος μόνου. Cf. supra 267.

1286. *ὑγρᾶς ἀρούρας βῶλον.* Alludit ad Cresphontis dolum, quo, quum ducerentur sortes, de Peloponnesi divisione inter Herculis

κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν;
ὅδ' ἦν ὁ πράσσων ταῦτα, σὺν δ' ἐγὼ παρών,
ὁ δοῦλος, οὐκ τῆς βαρβάρου μητρὸς γεγώς.
δύστηνε, ποῖ βλέπων ποτ' αὐτὰ καὶ θροεῖς;
οὐκ οἶσθα σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ
ἀρχαῖον ὄντα Πέλοπα βάρβαρον Φρύγα;
Ἀτρέα δ', ὃς αὖ σ' ἔσπειρε δυσσεβέστατον,
προθέντ' ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;
αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρῆσσης, ἐφ' ᾗ
λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φιτύσας πατὴρ
ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν.
τοιοῦτος ὢν τοιάνδ' ὀνειδίζεις σποράν;
ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγώς,

posteros, Messeniam, quam cupiebat, obtinuit. Brunck. De doli ratione hæc monuit Wunderus: 'Notum est ex Hom. Il. II. 171—190. fuisse hanc veterum Græcorum consuetudinem, ut si qui inter se sortirentur de aliqua re, suam quisque sortem, aliqua nota insignitam, in galeam vel urnam seu situlam conjiceret, nunc plenam aquæ, nunc vacuam. Ex qua concussa cujus prima prosiluerat sors, ei id obtigit, de quo sortiebantur. Itaque si quis sortiendi necessitatem defugere honeste non potuit, ac tamen suam nolebat primam prodire sortem, talem dejicere in situlam solebat, quæ propter materiam, ex qua composita esset, non prodiret facile, sed in fundo situlæ hæreret, a Sophocle commode *δραπέτην κλῆρον* dictam. Primus commisisse fraudem illam quamvis aliud moliens, Cresphontes vulgo existimatus est, quam ob causam anachronismi *εὐμεθόδου* Sophocles ab Eustathio p. 361. 26. (273. 42.) accusatus est. Quum enim (narrante Apollodoro ii. 8. 4.) in divisione Peloponnesi, Cresphontes, Temenus, et filii Aristodemi, qui proximi erant, Argos, Lacedæmonem, et Messeniam sortirentur ea lege, ut cujus sors prima excidisset, ei Argos, cujus secunda, ei Lacedæmon, cujus tertia, ei Messene obtingeret: Cresphontes, qui Messenæ obtinendæ cupidissimus esset, quum ceteri lapillos in situlam aqua repletam demisissent, glebam conjecit, qua soluta fieri non posset, quin quam vellet civitatem, Messenen sortiretur.'

1292. *Πέλοπα βάρβαρον Φρύγα.* Eodem modo Herod. vii. 11. *Πέλοψ ὁ Φρύξ*, et Orosius i. 12. *Tantalus rex Phrygiorum*, aliique Phrygum et Lydorum nomine promiscue utuntur. Vid. Markland. ad Maximum xxxvi. 1. p. 179. Lobeck. Cf. Ant. 824.

1294. *δεῖπνον οἰκείων τέκνων.* Æsch. Ag. 1593. *δαῖτα παιδείων κρεῶν.*

1295. *Κρήσσης.* Contumeliose dicitur ob communem Cretensium infamiam. Plato Comicus ap. Schol. Arist. Av. 798. *τὸν μαινόμενον, τὸν Κρῆτα, τὸν μόγις Ἀττικόν.* Lobeck.

ὅστις στρατοῦ τὰ πρῶτ' ἀριστεύσας ἐμὴν
ἴσχει ξύνευνον μητέρ', ἣ φύσει μὲν ἦν
βασίλεια, Λαομέδοντος· ἔκκριτον δέ νιν
δώρημα κείνῳ 'δωκεν Ἀλκμήνης γόνος.
ἆρ' ὧδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν
βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος,
οὓς νῦν σὺ τοιοῖσδ' ἐν πόνοισι κειμένους
ὠθεῖς ἀθάπτους, οὐδ' ἐπαισχύνει λέγων;
εὖ νυν τόδ' ἴσθι, τοῦτον εἰ βαλεῖτέ που,
βαλεῖτε χἡμᾶς τρεῖς ὁμοῦ συγκειμένους.
ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένῳ
θανεῖν προδήλως μᾶλλον ἢ τῆς σῆς ὑπὲρ
γυναικός, ἢ τοῦ σοῦ γ' ὁμαίμονος λέγω;
πρὸς ταῦθ' ὅρα μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σόν.
ὡς εἴ με πημανεῖς τι, βουλήσει ποτὲ
καὶ δειλὸς εἶναι μᾶλλον ἢ 'ν ἐμοὶ θρασύς.
ΧΟ. ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ' ἐληλυθώς,
εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει.
ΟΔ. τί δ' ἔστιν, ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην
βοὴν Ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ.
ΑΓ. οὐ γὰρ κλύοντές ἐσμεν αἰσχίστους λόγους,
ἄναξ Ὀδυσσεῦ, τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως;
ΟΔ. ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
κλύοντι φλαῦρα συμβαλεῖν ἔπη κακά.
ΑΓ. ἤκουσεν αἰσχρά· δρῶν γὰρ ἦν τοιαῦτά με.

1300. *ἀριστεύσας.* Cf. supra v. 435.

1304. *ἀριστεὺς* corrigit Porson. ad Med. v. 5.

1307. *λέγων.* *nec pudet*, inquit, *id profiteri.* HERMANN.

1312. *σοῦ γ'* Bothius. *σοῦ θ'* vulgo. Hermannus hæc annotat: *λέγω* conjunctivus est interrogantis: *decorum mihi est, pro hoc potius, quam pro tua, vel dicamne adeo fratris tui uxore mori.* Teucer ira commotus ambos Atridas comprehendit, indecorum sibi esse dicens pro eorum uxoribus pugnare, magis autem pro uxore Menelai, qui ne summus quidem dux sit exercitus. Videndus Eustathius p. 754. 21. ab Hermanno laudatus.

1316. *καιρόν.* Cf. supra v. 34.

1317. Angl. *If you are come not to help to entangle, but to assist in adjusting this matter.* Vid. ad Ant. 40.

ΟΔ. τί γάρ σ' ἔδρασεν, ὥστε καὶ βλάβην ἔχειν;
ΑΓ. οὔ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.
ΟΔ. ἔξεστιν οὖν εἰπόντι τἀληθῆ φίλῳ
σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετμεῖν;
ΑΓ. εἴπ'· ἦ γὰρ εἴην οὐκ ἂν εὖ φρονῶν, ἐπεὶ
φίλον σ' ἐγὼ μέγιστον Ἀργείων νέμω.
ΟΔ. ἄκουέ νυν. τὸν ἄνδρα τόνδε πρὸς θεῶν
μὴ τλῇς ἄθαπτον ὧδ' ἀναλγήτως βαλεῖν·
μηδ' ἡ βία σε μηδαμῶς νικησάτω
τοσόνδε μισεῖν ὥστε τὴν δίκην πατεῖν.
κἀμοὶ γὰρ ἦν ποθ' οὗτος ἔχθιστος στρατοῦ,
ἐξ οὗ 'κράτησα τῶν Ἀχιλλείων ὅπλων.
ἀλλ' αὐτὸν ἔμπας ὄντ' ἐγὼ τοιόνδ' ἐμοὶ
οὐκ ἄν γ' ἀτιμάσαιμ' ἄν, ὥστε μὴ λέγειν
ἕν' ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως.
ὥστ' οὐκ ἂν ἐνδίκως γ' ἀτιμάζοιτό σοι.
οὐ γάρ τι τοῦτον, ἀλλὰ τοὺς θεῶν νόμους
φθείροις ἄν. ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι,
βλάπτειν τὸν ἐσθλόν, οὐδ' ἐὰν μισῶν κυρῇς.
ΑΓ. σὺ ταῦτ', Ὀδυσσεῦ, τοῦδ' ὑπερμαχεῖς ἐμοί;
ΟΔ. ἔγωγ'· ἐμίσουν δ', ἡνίκ' ἦν μισεῖν καλόν.
ΑΓ. οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;
ΟΔ. μὴ χαῖρ', Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς.

1329. *ξυνηρετμεῖν.* Penultima in hoc verbo corripitur ante tenuem et liquidam, ut in *ὄκνος*, *ἀκμή*, *πότμος*, et similibus. Æschylus Pers. 376. *τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.* BRUNCK.

1339. *οὐκ ἂν* La. pr. Γ. Δ. *οὔκουν* A. Ald. *οὐκ ἄν γ'* Triclinius. *οὐτᾶν* Elmsleius. *οὐκ ἄν γ'* tamen cum Hermanno retinui, non quia cum illo particulas illas sensui aptissimas arbitror, sed quod nondum cum Dindorfio *ἂν* produci posse persuasum habeo. Vid. Hermann. Opusc. vol. iv. p. 373.

1344. *εἰ θάνοι.* Cf. ad Œd. T. 917.

1345. *τὸν ἐσθλόν.* Agamemnonem innuit.

1348. *καὶ προσεμβῆναι.* *Non ergo mortuo etiam præterea* (h. e. præter odium quo vivum persequebaris) *te infestum esse oportet?* HERMANN.

ΑΓ. τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.
ΟΔ. ἀλλ' εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.
ΑΓ. κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.
ΟΔ. παῦσαι· κρατεῖς τοι τῶν φίλων νικώμενος.
ΑΓ. μέμνησ' ὁποίῳ φωτὶ τὴν χάριν δίδως.
ΟΔ. ὅδ' ἐχθρὸς ἀνήρ, ἀλλὰ γενναῖός ποτ' ἦν.
ΑΓ. τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ' αἰδεῖ νέκυν;
ΟΔ. νικᾷ γὰρ ἁρετή με τῆς ἔχθρας πολύ.
ΑΓ. τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτοῖς.
ΟΔ. ἦ κάρτα πολλοὶ νῦν φίλοι καὖθις πικροί.
ΑΓ. τοιούσδ' ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;
ΟΔ. σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.
ΑΓ. ἡμᾶς σὺ δειλοὺς τῇδε θἠμέρᾳ φανεῖς.
ΟΔ. ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.
ΑΓ. ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;
ΟΔ. ἔγωγε. καὶ γὰρ αὐτὸς ἐνθάδ' ἵξομαι.
ΑΓ. ἦ πάνθ' ὅμοια πᾶς ἀνὴρ αὑτῷ πονεῖ.
ΟΔ. τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν;
ΑΓ. σὸν ἆρα τοὔργον, οὐκ ἐμὸν κεκλήσεται.
ΟΔ. ὡς ἂν ποιήσῃς, πανταχῇ χρηστός γ' ἔσει.

1350. Significat, non bene didicisse Ulyssem debitam regi reverentiam præstare. HERMANN.

1351. ἀλλ' εὖ λέγουσι κ. τ. λ.] ῥᾴδιον sc. ex præc. v. repetendum.

1355. ἀνὴρ libri. Correxit Hermannus.

1357. ἁρετή] ἀρέτη Aug. b. et Stob. ed. pr. quod veræ est lectionis vestigium. ἡ ἀρετὴ pauci: ἡ 'ρετὴ plerique. Cæterum νικᾷ με πολὺ τῆς ἔχθρας, non ita dicitur ut πολὺ pro πλέον positum sit, sed quod comparatio in νικᾷ inest. Idem est ac si dixisset πολύ μοι κρείσσων ἐστὶ τῆς ἔχθρας. Hoc recte monuit Hermannus.

1358. βροτοῖς A. D. et Brunckii codex. βροτῶν reliqui: βροτῶν (οῖς) La. Dativus videtur significare *inter homines, in hominum judicio.* βροτῶν mihi quidem solœcum videtur.

1359. Hoc dicit: multi sunt, qui ex amicis inimici fiunt: mihi contra, si ex inimico amicus factus fuero, minime vitio verti potest. Hoc spectant quæ v. seq. dicuntur.

1363. μὲν οὖν. *immo vero.* Harum particularum usus satis notus. e. g. Æsch. Eum. 38. δείσασα γὰρ γραῦς οὐδέν, ἀντίπαις μὲν οὖν.

1365. ἐνθάδ' ἵξομαι. h. e. *ut sepultura indigeam.*

1366. *Ut quisque semper facit quæ ingenio suo consentanea sunt.* i. e. quam tu ne in tali quidem caussa mentem tuæ utilitati intentam fateri dubitas. ERFURDT.

1369. πανταχῇ. *quoquo modo.* Cf. ad Ant. 634.

ΑΓ. ἀλλ' εὖ γε μέντοι τοῦτ' ἐπίστασ', ὡς ἐγὼ
σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν·
οὗτος δὲ κἀκεῖ κἀνθάδ' ὢν ἔμοιγ' ὁμῶς
ἔχθιστος ἔσται. σοὶ δὲ δρᾶν ἔξεσθ' ἃ χρῄς.
ΧΟ. ὅστις σ', Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν
φῦναι, τοιοῦτον ὄντα, μῶρός ἐστ' ἀνήρ.
ΟΔ. καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ' ἀγγέλλομαι
ὅσον τότ' ἐχθρὸς ἦν, τοσόνδ' εἶναι φίλος.
καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
καὶ ξυμπονεῖν καὶ μηδὲν ἐλλείπειν ὅσον
χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.
ΤΕ. ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
λόγοισι· καί μ' ἔψευσας ἐλπίδος πολύ.
τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ
μόνος παρέστης χερσίν, οὐδ' ἔτλης παρὼν
θανόντι τῷδε ζῶν ἐφυβρίσαι μέγα,
ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολών,
αὐτός τε χὠ ξύναιμος ἠθελησάτην
λωβητὸν αὐτὸν ἐκβαλεῖν ταφῆς ἄτερ.
τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ
μνήμων τ' Ἐρινὺς καὶ τελεσφόρος Δίκη
κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
σὲ δ', ὦ γεραιοῦ σπέρμα Λαέρτου πατρός,
τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν,
μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶ·
τὰ δ' ἄλλα καὶ ξύμπρασσε, κεἴ τινα στρατοῦ

1372. ὁμῶς] ὅμως habent libri nonnulli, inter quos Γ. Δ.

1373. χρῄς Dindorfius, quem vide ad Ant. 887. Cf. etiam ad El. 606. Hoc valde probabile est, ut recipiendum putaverim. Vulgo χρή, unde inepta fere evadit sententia.

1379. ὅσων Pors. et Elmsl. Sed bene Gaisfordius: Recte fortasse vulgata, uti verba καὶ μηδὲν ἐλλείπειν quasi in parenthesi posita intelligantur.

1396. ξύμπραττε libri. Correxit Brunckius, qui idem vitium et aliquoties alibi sustulit.

θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.
ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ· σὺ δὲ
ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.
ΟΔ. ἀλλ' ἤθελον μέν· εἰ δὲ μὴ 'στί σοι φίλον
πράσσειν τάδ' ἡμᾶς, εἶμ', ἐπαινέσας τὸ σόν.
ΤΕ. ἅλις· ἤδη γὰρ πολὺς ἐκτέταται
χρόνος. ἀλλ' οἱ μὲν κοίλην κάπετον
χερσὶ ταχύνατε, τοὶ δ' ὑψίβατον
τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων
θέσθ' ἐπίκαιρον· μία δ' ἐκ κλισίας
ἀνδρῶν ἴλη τὸν ὑπασπίδιον
κόσμον φερέτω.
παῖ, σὺ δὲ πατρός γ', ὅσον ἰσχύεις,
φιλότητι θιγών, πλευρὰς σὺν ἐμοὶ
τάσδ' ἐπικούφιζ'· ἔτι γὰρ θερμαὶ
σύριγγες ἄνω φυσῶσι μέλαν
μένος. ἀλλ' ἄγε πᾶς, φίλος ὅστις ἀνὴρ
φησὶ παρεῖναι, σούσθω, βάτω,
τῷδ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ,
κοὐδενί πω λῴονι θνητῶν
Αἴαντος, ὅτ' ἦν, τότε φωνῶ.

1399. καθ' ἡμᾶς. *quod ad nos attinet.*

1405. λουτρῶν ἐπίκαιρον recte conjungit Musgravius, i. e. καιρὸν ἔχοντα λουτρῶν, *idoneum lavacro.*

1407. ὑπασπίδιον κόσμον. Arma sunt præter clipeum, proprie autem lorica et fortasse ocreæ, quippe clipeo tegi solita. ELLENDT. Clipeum autem secum sepeliri vetuerat Ajax supra v. 574. seqq.

1412. μέλαν μένος. *atram sanguinis vim.* De sanguine violenter erumpente dicitur. In Eumen. v. 54. legebatur ἐκ δ' ὀμμάτων λείβουσι δυσφιλῆ βίαν, sed ibi λίβα pro βίαν receptum est e Burgessii conjectura; ad qu. l. alia nonnulla sed non satis apta attulit Wakefieldius.

1416. κοὐδενί πω λῴονι θνητῶν. Sic Ald. et codd. vett. Dindorfius omittit qui sequitur versus Αἴαντος ὅτ' ἦν, τότε φωνῶ. Hermannus correxit κοὐδενί γ' ᾧτινι λῴονι θνητῶν, quod ita explicat: 'Quum dicere vellet τῷ πάντ' ἀγαθῷ, καὶ οὗ οὐδεὶς ὅστις λῴων ἦν θνητῶν, ὅτ' ἦν ἐκεῖνος, per attractionem dixit, κοὐδενί γ' ᾧτινι λῴονι θνητῶν, quo factum ut deinde pro οὗ cogeretur Αἴαντος substituere.' Fateor autem mihi attractionem hujusmodi ita contortam videri, ut plane non satisfaciat. Simpliciter fortasse constructio ita expediri potest: καὶ οὔπω τινὶ λῴονι θνητῶν (ἐπονήσατε). Dindorfio v. 1416. videtur esse ex sanissimis: sed quomodo intelligendum putet non explicat. Equidem v. 1417. retinendum censeo donec de constructione alterius certiora proferre possimus.

ΧΟ. ἦ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσιν
γνῶναι· πρὶν ἰδεῖν δ' οὐδεὶς μάντις
τῶν μελλόντων ὅ τι πράξει.

ΦΙΛΟΚΤΗΤΗΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΔΥΣΣΕΥΣ.
ΧΟΡΟΣ.
ΣΚΟΠΟΣ ὡς ΕΜΠΟΡΟΣ.
ΝΕΟΠΤΟΛΕΜΟΣ.
ΦΙΛΟΚΤΗΤΗΣ.
ΗΡΑΚΛΗΣ.

ΥΠΟΘΕΣΙΣ.

'Απαγωγὴ Φιλοκτήτου ἐκ Λήμνου εἰς Τροίαν ὑπὸ Νεοπτολέμου καὶ 'Οδυσσέως καθ' Ἑλένου μαντείαν, ὃς κατὰ μαντείαν Κάλχαντος, ὡς εἰδὼς χρησμοὺς συντελοῦντας πρὸς τὴν τῆς Τροίας ἅλωσιν, ὑπὸ 'Οδυσσέως νύκτωρ ἐνεδρευθείς, δέσμιος ἤχθη τοῖς Ἕλλησιν. ἡ δὲ σκηνὴ ἐν Λήμνῳ. ὁ δὲ χορὸς ἐκ γερόντων τῶν Νεοπτολέμῳ συμπλεόντων. κεῖται δὲ καὶ παρ' Αἰσχύλῳ ἡ μυθοποιΐα.* ἐδιδάχθη ἐπὶ Γλαυκίππου.† πρῶτος ἦν Σοφοκλῆς.

ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ.

Χρύσης 'Αθηνᾶς βωμὸν ἐπίκεχωσμένον,
ἐφ' οὗπερ 'Αχαιοῖς χρησθὲν ἦν θῦσαι, μόνος
Ποίαντος ᾔδει παῖς ποθ' Ἡρακλεῖ συνών.
ζητῶν δὲ τοῦτον ναυάτῃ ‡ δεῖξαι στόλῳ,
πληγεὶς ὑπ' ἔχεως, ἐλίπετ' ἐν Λήμνῳ νοσῶν.
Ἕλενος δ' 'Αχαιοῖς εἶφ' ἁλώσεσθ' Ἴλιον
τοῖς Ἡρακλέους τόξοισι παιδί τ' 'Αχιλλέως.
τὰ τόξ' ὑπῆρχε παρὰ Φιλοκτήτῃ μόνῳ·
πεμφθεὶς δ' 'Οδυσσεὺς ἀμφοτέρους συνήγαγεν.

* ἡ μυθοποιΐα i. q. ὁ μῦθος. Diodor. Sic. i. c. 96. τὴν τῶν ἐν Ἅδου μυθοποιΐαν ἀπενέγκασθαι. Idem iii. c. 65. τῷ συνταξαμένῳ τὰς παλαιὰς μυθοποιΐας. SCHAEFER. Cf. arg. Antig. p. 162.

† Ol. XCII. 3.

‡ De ναυάτῃ librariorum, ut putat, barbariei debito, vide Dindorfii annotationem ad hunc locum. ναυβάτῃ edidit Brunckius.

ΦΙΛΟΚΤΗΤΗΣ.

ΟΔΥΣΣΕΥΣ.

Ἀκτὴ μὲν ἥδε τῆς περιρρύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστειπτος οὐδ' οἰκουμένη,
ἔνθ', ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ' ἐγώ ποτε,
ταχθεὶς τόδ' ἔρδειν τῶν ἀνασσόντων ὕπο,
νόσῳ καταστάζοντα διαβόρῳ πόδα·
ὅτ' οὔτε λοιβῆς ἡμὶν οὔτε θυμάτων
παρῆν ἑκήλοις προσθιγεῖν, ἀλλ' ἀγρίαις
κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις,
βοῶν, στενάζων. ἀλλὰ ταῦτα μὲν τί δεῖ
λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων,
μὴ καὶ μάθῃ μ' ἥκοντα κἀκχέω τὸ πᾶν
σόφισμα τῷ νιν αὐτίχ' αἱρήσειν δοκῶ.
ἀλλ' ἔργον ἤδη σὸν τὰ λοίφ' ὑπηρετεῖν,
σκοπεῖν θ' ὅπου 'στ' ἐνταῦθα δίστομος πέτρα
τοιάδ', ἵν' ἐν ψύχει μὲν ἡλίου διπλῆ
πάρεστιν ἐνθάκησις, ἐν θέρει δ' ὕπνον
δι' ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.

2. ἄστιπτος hic et στιπτὴ in v. 33. ex La. Γ. revocat Dindorfius: ut a præterito ἐστίβημαι deductum.

4. Νεοπτόλεμε. Quadrisyllabum.

3. τραφεὶς non regit genitivum πατρός, sed nihil fere nisi ὤν, s. γεγώς, significat.

4. Μηλιᾶ. Vid. ad Trach. 194.

βαιὸν δ' ἔνερθεν ἐξ ἀριστερᾶς τάχ' ἂν
ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ σῶν.
ἅ μοι προσελθὼν σῖγα σήμαιν' εἴτ' ἔχει
χῶρον πρὸς αὐτὸν τόνδε γ' εἴτ' ἄλλῃ κυρεῖ,
ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύῃς,
ἐγὼ δὲ φράζω, κοινὰ δ' ἐξ ἀμφοῖν ἴῃ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἄναξ 'Οδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις.
δοκῶ γὰρ οἷον εἶπας ἄντρον εἰσορᾶν.
ΟΔ. ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.
ΝΕ. τόδ' ἐξύπερθε, καὶ στίβου γ' οὐδεὶς τύπος.
ΟΔ. ὅρα καθ' ὕπνον μὴ καταυλισθεὶς κυρῇ.
ΝΕ. ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.
ΟΔ. οὐδ' ἔνδον οἰκοποιός ἐστί τις τροφή;
ΝΕ. στειπτή γε φυλλὰς ὡς ἐναυλίζοντί τῳ.
ΟΔ. τὰ δ' ἄλλ' ἔρημα, κοὐδέν ἐσθ' ὑπόστεγον;
ΝΕ. αὐτόξυλόν γ' ἔκπωμα, φλαυρουργοῦ τινὸς
τεχνήματ' ἀνδρός, καὶ πυρεῖ' ὁμοῦ τάδε.
ΟΔ. κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.
ΝΕ. ἰοὺ ἰού· καὶ ταῦτά γ' ἄλλα θάλπεται
ῥάκη, βαρείας του νοσηλείας πλέα.
ΟΔ. ἀνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς,

22. σημαίνειν, ἔχει Porsonus, ut regulæ suæ de cretico satisfaceret. Sed vid. Herm. Elem. Doctr. Metr. lib. II. xiv. 9. Cæterum ἔχει valet κατοικεῖ sc. ὁ Φιλοκτήτης.

23. τόνδε γ'] τόνδ' La. Lb. alii. τόνδ' ἔτ' Elmsleius, quod fortasse verum est.

25. ἴῃ Camerarius. εἴη libri.

26. Cf. Ag. 1650. τοὔργον οὐκ ἑκὰς τόδε. HERMANN.

30. κατακλιθεὶς vulgo. Sed καταυλισθεὶς quod est in La. Lb. R. vix a librariis excogitari potuisse monet Gaisfordius. Mox κυρεῖ conjecit Schaeferus Melet. Crit. i. p. 115.

33. στειπτή. Cf. ad v. 2.

36. τεχνήματ'. De usu numeri pluralis v. Porson. ad Eurip. Orest. 1051. Sic *artes* apud Virgil. Æn. v. 359. *Et clipeum efferri jussit, Didymaonis artes.* DINDORF. φλαυρουργοῦ autem recto accentu scriptum in La. Lb. Vid. Arcad. de Ton. p. 88. 16.

38. ἄλλα. *præterea.* Cf. ad Aj. 516.

κἄστ' οὐχ ἑκάς που. πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
κῶλον παλαιᾷ κηρὶ προσβαίη μακράν;
ἀλλ' ἢ 'πὶ φορβῆς νόστον ἐξελήλυθεν,
ἢ φύλλον εἴ τι νώδυνον κάτοιδέ που.
τὸν οὖν παρόντα πέμψον εἰς κατασκοπήν,
μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
ἕλοιτό μ' ἢ τοὺς πάντας 'Αργείους λαβεῖν.
ΝΕ. ἀλλ' ἔρχεταί τε καὶ φυλάξεται στίβος.
σὺ δ' εἴ τι χρῄζεις, φράζε δευτέρῳ λόγῳ.
ΟΔ. 'Αχιλλέως παῖ, δεῖ σ' ἐφ' οἷς ἐλήλυθας
γενναῖον εἶναι, μὴ μόνον τῷ σώματι,
ἀλλ' ἤν τι καινόν, ὧν πρὶν οὐκ ἀκήκοας,
κλύῃς, ὑπουργεῖν, ὡς ὑπηρέτης πάρει.
ΝΕ. τί δῆτ' ἄνωγας; ΟΔ. τὴν Φιλοκτήτου σε δεῖ
ψυχὴν ὅπως λόγοισιν ἐκκλέψεις λέγων.
ὅταν σ' ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,
λέγειν, 'Αχιλλέως παῖς· τόδ' οὐχὶ κλεπτέον·
πλεῖς δ' ὡς πρὸς οἶκον, ἐκλιπὼν τὸ ναυτικὸν
στράτευμ' 'Αχαιῶν, ἔχθος ἐχθήρας μέγα,
οἵ σ' ἐν λιταῖς στείλαντες ἐξ οἴκων μολεῖν,
μόνην ἔχοντες τήνδ' ἅλωσιν 'Ιλίου,
οὐκ ἠξίωσαν τῶν 'Αχιλλείων ὅπλων
ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ,
ἀλλ' αὔτ' 'Οδυσσεῖ παρέδοσαν· λέγων ὅσ' ἂν

42. προσβαίη μακράν. *ad locum remotum accesserit.* HERMANN.

43. φορβῆς νόστον. *viam qua victum quæreret* explicant alii, Brunckii interpretationem tanquam longius petitam damnantes. Hanc tamen veriorem puto. Intellige: *ad locum ubi aves et feræ*, quas Philoctetæ cibum præbere solitas infra dicit poeta, *se statis horis conferre solent.*

44. h. e. ἢ (ἐπὶ φύλλον) εἴ τι φύλλον κ. τ. λ.

48. ἔρχεται. *abiit.* Cf. infra v. 1181. Ant. 99. De φυλάξεται vid. ad Œd. Col. 1186.

55. Mixta constructio: sc. δεῖ σε ἐκκλέπτειν et δεῖ ὅπως ἐκκλέψεις. Cf. Aj. 556. Cæterum ἐκκλέψῃς habent La. Lb. Lc. alii. Alterum B.

56. τίς τε καὶ πόθεν πάρει. Cf. ad Trach. 421.

58. ὡς πρὸς οἶκον] ὡς ex abundantia additum, ut sæpe in hujusmodi locutionibus.

60. στείλαντες. Cf. ad Ant. 165.

62. Conflata oratio ex duabus locutionibus, una, οὐκ ἠξίωσάν σε

θέλης καθ' ἡμῶν ἔσχατ' ἐσχάτων κακά.
τούτων γὰρ οὐδέν μ' ἀλγυνεῖς· εἰ δ' ἐργάσει
μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς.
εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
οὐκ ἔστι πέρσαι σοι τὸ Δαρδάνου πέδον.
ὡς δ' ἔστ' ἐμοὶ μὲν οὐχί, σοὶ δ' ὁμιλία
πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.
σὺ μὲν πέπλευκας οὔτ' ἔνορκος οὐδενὶ
οὔτ' ἐξ ἀνάγκης οὔτε τοῦ πρώτου στόλου,
ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον.
ὥστ' εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
ὄλωλα καὶ σὲ προσδιαφθερῶ ξυνών.
ἀλλ' αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
ὅπως γενήσει τῶν ἀνικήτων ὅπλων.
ἔξοιδα καὶ φύσει σε μὴ πεφυκότα
τοιαῦτα φωνεῖν μηδὲ τεχνᾶσθαι κακά.
ἀλλ' ἡδὺ γάρ τοι κτῆμα τῆς νίκης λαβεῖν,
τόλμα· δίκαιοι δ' αὖθις ἐκφανούμεθα.
νῦν δ' εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ
δός μοι σεαυτόν, κᾆτα τὸν λοιπὸν χρόνον
κέκλησο πάντων εὐσεβέστατος βροτῶν.
ΝΕ. ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων,
Λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ.
ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
οὔτ' αὐτὸς οὔθ', ὥς φασιν, οὑκφύσας ἐμέ.

τῶν Ἀχιλλείων ὅπλων, et altera, οὐκ ἠξίωσάν σοι δοῦναι τὰ ὅπλα. HERMANN.

66. Miror Buttmannum τούτῳ scribendum judicasse, neque animadvertisse, τούτων οὐδὲν conjuncta cum verbo ἀλγυνεῖς esse construenda. Sic in Aj. v. 1107. καὶ τὰ σέμν' ἔπη κόλαζ' ἐκείνους. Confusis in unam duabus locutionibus orta hæc dicendi ratio, pro οὐδὲν τούτων λέγων ἀλγυνεῖς με. HERMANN. οὐδὲν ἀλγυνεῖ μ' præter necessitatem conjecit Dindorfius.

εἰ δ' ἐργάσει | μὴ ταῦτα. Cf. ad Œd. T. 1074.

73. τοῦ πρώτου στόλου. Cf. 246. 247.

79. παῖ corrigit Erfurdtius. καὶ satis recte defendi posse videtur. Ea est particulæ vis quam sic fere expresseris; ἔξοιδα καὶ τοῦτο, σὲ κ. τ. λ. *I know well enough that*, etc.

ἀλλ' εἴμ' ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ' ἄγειν
καὶ μὴ δόλοισιν, οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.
πεμφθείς γε μέντοι σοὶ ξυνεργάτης ὀκνῶ
προδότης καλεῖσθαι· βούλομαι δ', ἄναξ, καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.
ΟΔ. ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ
γλῶσσαν μὲν ἀργόν, χεῖρα δ' εἶχον ἐργάτιν·
νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην.
ΝΕ. τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;
ΟΔ. λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν.
ΝΕ. τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;
ΟΔ. οὐ μὴ πίθηται· πρὸς βίαν δ' οὐκ ἂν λάβοις.
ΝΕ. οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;
ΟΔ. ἰοὺς ἀφύκτους καὶ προπέμποντας φόνον.
ΝΕ. οὐκ ἆρ' ἐκείνῳ γ' οὐδὲ προσμῖξαι θρασύ;
ΟΔ. οὔ, μὴ δόλῳ λαβόντα γ', ὡς ἐγὼ λέγω.
ΝΕ. οὐκ αἰσχρὸν ἡγεῖ δῆτα τὰ ψευδῆ λέγειν;
ΟΔ. οὔκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.
ΝΕ. πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λαλεῖν;
ΟΔ. ὅταν τι δρᾷς εἰς κέρδος, οὐκ ὀκνεῖν πρέπει.
ΝΕ. κέρδος δ' ἐμοὶ τί τοῦτον εἰς Τροίαν μολεῖν;
ΟΔ. αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.
ΝΕ. οὐκ ἆρ' ὁ πέρσων γ', ὡς ἐφάσκετ', εἴμ' ἐγώ;
ΟΔ. οὔτ' ἂν σὺ κείνων χωρὶς οὔτ' ἐκεῖνα σοῦ.

91. ἐξ ἑνὸς ποδός. Similia quodammodo sunt ἐξ ἀκινήτου ποδὸς Trach. 875. οὔκουν ποτ' ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι ὁδοιπορήσεις Œd. Col. 848.

100. τί οὖν. Cf. quæ notavimus ad Eumen. 841.

106. προσμῖξαι La. προσμίξαι vulgo. L. Dindorfius comparat Pind. Nem. 7. 74. θρασύ μοι τόδ' εἰπεῖν. Xen. Hist. Gr. vi. 5. 32. καὶ τὸ μὲν μὴ πρὸς τὴν πόλιν προσβαλεῖν ἂν ἔτι αὐτοὺς ἤδη τι ἐδόκει θαρραλεώτερον εἶναι.

111. εἰς La. Γ. Ven. ἐς Ald.

112. δ' ἐμοί. Sic La. R. Γ. δέ μοι vulgo. Mox εἰς Γ. ἐς reliqui.

113. αἱρεῖ. Præsens ut sæpe pro futuro positum. Cf. Agam. A. 126. χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος. Vid. Matth. Gr. Gr. 504. 3. Abresch. Animadv. Æsch. 1. 463.

ΝΕ. θηρατέ' ἂν γίγνοιτ' ἄν, εἴπερ ὧδ' ἔχει.
ΟΔ. ὡς τοῦτό γ' ἔρξας δύο φέρει δωρήματα.
ΝΕ. ποίω; μαθὼν γὰρ οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.
ΟΔ. σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ' ἅμα.
ΝΕ. ἴτω. ποιήσω, πᾶσαν αἰσχύνην ἀφείς.
ΟΔ. ἦ μνημονεύεις οὖν ἅ σοι παρῄνεσα;
ΝΕ. σάφ' ἴσθ', ἐπείπερ εἰσάπαξ συνῄνεσα.
ΟΔ. σὺ μὲν μένων νυν κεῖνον ἐνθάδ' ἐκδέχου,
ἐγὼ δ' ἄπειμι, μὴ κατοπτευθῶ παρών,
καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.
καὶ δεῦρ', ἐάν μοι τοῦ χρόνου δοκῆτέ τι
κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
τοῦτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρου τρόποις
μορφὴν δολώσας, ὡς ἂν ἀγνοίᾳ προσῇ·
οὗ δῆτα, τέκνον, ποικίλως αὐδωμένου
δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε·
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν,
Νίκη τ' Ἀθάνα Πολιάς, ἣ σῴζει μ' ἀεί.

116. θηρατέ' ἂν Hermannus. θηρατέα La. Lb. R. θηρατέα γοῦν V.

117. ὡς — φέρει. ὡς asseverandi vi dictum. Cf. ad Aj. 98.

119. αὐτὸς Vauvillersius. αὐτὸς vulgo. Vid. ad Œd. T. 458.

126. τοῦ χρόνου κατασχολάζειν. *tempus male cunctando perdere.*

128. τρόποις. Libri Tricliniani τρόπον. At τρόποις exquisitius esse monuit Hermannus, coll. Æsch. Ag. 918. μὴ γυναικὸς ἐν τρόποις ἐμὲ ἅβρυνε. Choeph. 479. πάτερ, τρόποισιν οὐ τυραννικοῖς θανών. Eum. 441. σεμνὸς προσίκτωρ, ἐν τρόποις Ἰξίονος.

129. ἀγνοίᾳ La. R. V. ἄγνοια vulgo. Vid. ad Trach. 350.

133. Ἑρμῆς δ' ὁ πέμπων. Id est πομπαῖος, seu, ut semet ipse in comici Pluto 1159. appellat, ἡγεμόνιος. Quod quidem Mercurii officium vulgo haud minus notum quam illius κλεπτοσύνη, seu fallendi peritia, unde alterum illi cognomen inditum, δόλιος. Brunck.

134. Νίκη τ' Ἀθάνα Πολιάς. Schol. Νίκη. οὕτως ἡ πολιοῦχος Ἀθηνᾶ Νίκη καλεῖται ἐν Ἀττικῇ. Eurip. Ion. 1528. Μὰ τὴν παρασπίζουσαν ἅρμασίν ποτε Νίκην Ἀθάναν Ζηνὶ γηγενεῖς ἔπι. *Victoriæ* nomine cultæ Minervæ templum erat in arce: idcirco mulieres quæ arcem occupaverant, in comici Lysistr. 317. ejus implorant opem. δέσποινα Νίκη ξυγγενοῦ. Vide Meursii Att. Lect. 1. 20. Idem. Ἀθάνα autem correctum ex Eustathio Il. 1. p. 758. 44. Λ. p. 880. 1. Libri Ἀθηνᾶ.

ΧΟΡΟΣ.

τί χρὴ τί χρή με, δέσποτ', ἐν ξένᾳ ξένον στρ. α'.
στέγειν; ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
φράζε μοι. τέχνα γὰρ
τέχνας ἑτέρας προὔχει
καὶ γνώμα παρ' ὅτῳ τὸ θεῖον
Διὸς σκῆπτρον ἀνάσσεται.
σὲ δ', ὦ τέκνον, τόδ' ἐλήλυθεν
πᾶν κράτος ὠγύγιον· τό μοι ἔννεπε
τί σοι χρεὼν ὑπουργεῖν.
ΝΕ. νῦν μὲν ἴσως γὰρ τόπον ἐσχατιαῖς
προσιδεῖν ἐθέλεις ὄντινα κεῖται,
δέρκου θαρσῶν· ὁπόταν δὲ μόλῃ
δεινὸς ὁδίτης τῶνδ' ἐκ μελάθρων,
πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν
πειρῶ τὸ παρὸν θεραπεύειν.
ΧΟ. μέλον πάλαι μέλημά μοι λέγεις, ἄναξ, ἀντιστρ. α'.
φρουρεῖν ὄμμ' ἐπὶ σῷ μάλιστα καιρῷ·

136. ὑπόπταν. *insidias metuentem.*

137. τέχνα γὰρ—παρ' ὅτῳ. sc. ἐκείνου παρ' ὅτῳ. Cæterum cf. Œd. T. 380.

140. ἀνάσσεται. Wunderus comparat σκῆπτρα κραίνειν Œd. Col. 449. et Virg. Æn. 1. 340. *Imperium Dido regit*: ubi Heynius: Exquisitius *regit* quam *tenet*, *habet*.

141. ἐλήλυθεν Hermannus. ἐλήλυθε vulgo.

142. πᾶν κράτος. Herod. vi. 35. ἐν δὲ τῇσι Ἀθήνῃσι τηνικαῦτα εἶχε μὲν τὸ πᾶν κράτος Πεισίστρατος. Plutarch. Nic. xv. in. τὸ πᾶν ἤδη κράτος ὁ Νικίας ἔσχε. Wunder.

τό μοι ἔννεπε. *quare.* Vid. ad Trach. v. 136.

144. νῦν μὲν ἴσως γάρ. Brunckius et qui insecuti sunt commate distinxerunt post νῦν μέν. Recte, nisi fallor, abest in antiquioribus interpunctio. Eadem enim hujus constructionis ratio esse videtur, quæ ubi ἀλλὰ et γὰρ conjunguntur, de quibus dixerunt Schaeferus Mel. Crit. p. 77. et Elmsleius ad Heracl. 481. Hermann.

147. Sensus est, *quum autem veniet metuendus vir, qui ex hoc antro abiit.* Hermannus. Vereor autem ut hunc sensum verba præbeant. Forte corrigendum τῶνδ' οὐκ (i.e. ὁ ἐξιὼν ἐκ) μελάθρων.

148. πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν. *ad jussum meum et quasi manum procedens.*

151. φρουρεῖν ὄμμ'. *ut vigilet oculus.* h. e. *ut ego oculis vigilem.*

νῦν δέ μοι λέγ' αὐλὰς
ποίας ἔνεδρος ναίει
καὶ χῶρον τίν' ἔχει. τὸ γάρ μοι
μαθεῖν οὐκ ἀποκαίριον,
μὴ προσπεσών με λάθῃ ποθέν.
τίς τόπος, ἢ τίς ἕδρα, τίν' ἔχει στίβον,
ἔναυλον, ἢ θυραῖον;

ΝΕ. οἶκον μὲν ὁρᾷς τόνδ' ἀμφίθυρον
πετρίνης κοίτης.

ΧΟ. ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστιν;

ΝΕ. δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ
στίβον ὀγμεύει τόνδε πέλας που.
ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν
λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
πτηνοῖς ἰοῖς στυγερὸν στυγερῶς,
οὐδέ τιν' αὐτῷ
παιῶνα κακῶν ἐπινωμᾶν.

ΧΟ. οἰκτείρω νιν ἔγωγ', ὅπως, — στροφὴ β'.
μή του κηδομένου βροτῶν
μηδὲ σύντροφον ὄμμ' ἔχων,
δύστανος, μόνος ἀεί,
νοσεῖ μὲν νόσον ἀγρίαν,

Falsi sunt magnopere Tricl. et Schol. qui ὄμμα Neoptolemi oculum intellexerint. Cf. Trach. 914. κἀγὼ λαθραῖον ὄμμ' ἐπεσκιασμένη φρούρουν sc. ὄμματι.

156. Vulgo μή με λάθῃ προσπεσών ποθέν. Correxit Hermannus.

166. σμυγερὸν σμυγερῶς conjecit Brunckius. Hermannus: 'Nihil mutandum erat. Nam στυγερὸς sæpe apud Tragicos nihil aliud quam tristem vel infelicem notat. Sic στυγερὰ ζωὰ Eurip. El. 121. ὁδὸς Æsch. S. c. T. 335. μοῖρα Pers. 909. Μοῦσα Eum. 308.' Recte: dicitur autem quis στυγερὸς esse, cujus sors aliis odiosa videtur, ergo tristis. Nec tamen per se tristem significat magis quam ἡδὺς *lætum*, οἰκτρὸς *miserum*, et quæ sunt similia.

167. αὐτῷ Turnebus. αὔτῷ reliqui. Neque ἐπινωμᾶν *sibi parare, nancisci*, vertendum puto: neque per intransitivum *accedere* exponentibus assentior, inter quos est Lobeckius ad Aj. 604. τιν' et παιῶνα ad diversos spectare puto: *neque quenquam esse, qui medicum ei malorum admoveat.* Cf. προσενώμα infra v. 717.

172. ἀεί. Sic vett. ut videtur.

ἀλύει δ' ἐπὶ παντί τῳ
χρείας ἱσταμένῳ. πῶς ποτε πῶς
δύσμορος ἀντέχει;
ὢ παλάμαι θνητῶν,
ὢ δύστανα γένη βροτῶν,
οἷς μὴ μέτριος αἰών.
οὗτος πρωτογόνων ἴσως — ἀντιστροφὴ β'.
οἴκων οὐδενὸς ὕστερος,
πάντων ἄμμορος ἐν βίῳ
κεῖται μοῦνος ἀπ' ἄλλων
στικτῶν ἢ λασίων μετὰ
θηρῶν, ἔν τ' ὀδύναις ὁμοῦ
λιμῷ τ' οἰκτρός, ἀνήκεστα μεριμνήματ' ἔχων. † βαρεῖα δ' ἀθυρόστομος
ἀχὼ τηλεφανὴς πικρᾶς
οἰμωγᾶς ὑπ' ὀχεῖται.

ΝΕ. οὐδὲν τούτων θαυμαστὸν ἐμοί.
θεῖα γάρ, εἴπερ κἀγώ τι φρονῶ,
καὶ τὰ παθήματα κεῖνα πρὸς αὐτὸν

174. ἐπὶ παντί τῳ χρείας. h. e. ἐπὶ παντί τινί χρείας. Cf. ad Œd. T. 1174.

179. μὴ μέτριος αἰὼν dicitur hic vita malis modum excedens: alibi rebus secundis nimia. HERMANN.

181. ἥκων pro vulgato οἴκων habet Suid. s. v. λασίοις. Notandum autem, quod monuit Gaisfordius, duos Suidæ MSS. optimæ notæ οἴκων retinere. ἥκων rescribi jussit Porson. App. ad Toup. p. 458. Utra vera sit lectio, dubium videtur. Constat locum in Ajace v. 637. huic nostro simillimum esse: nec tamen sequitur Sophoclem οἴκων hoc loco, illo ἥκων, scribere non potuisse. Vulgatam igitur relinquendam duxi.

184. μεταὶ Hermannus. Sed de glyconeo brevi syllaba terminato cf. Seidler. ad Eurip. El. 207.

187. βαρεῖ-|α δ' ἀθυρόστομος reliqui: quanquam in versus principio syllabam longam requiri dubium non esse videtur. Mirum quantum languent βάρη ab Hermanno, βαρεῖ a Boeckhio tanquam emendationes proposita, scilicet ut mox ἁ pro articulo habeatur. Wunderus comparavit ἠχὼ βαρεῖα Eur. Hipp. 791. βαρεῖα αὐδὰ infra v. 208.

190. Vulgo ὑπόκειται. Correxit Hermannus: qui jungenda monet ὀχεῖται τηλεφανής, h. e. ὥστε τηλόθεν φανῆναι. Sic τηλωπὸν ἰωὰν v. 216. Cæterum πικρὰς οἰμωγὰς ὑποχεῖται ante conjiciendo præiverat Musgravius.

193. παθήματ' ἐκεῖνα libri. Correxit Brunckius.

τῆς ὠμόφρονος Χρύσης ἐπέβη,
καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων,
οὐκ ἔσθ' ὡς οὐ θεῶν του μελέτῃ,
τοῦ μὴ πρότερον τόνδ' ἐπὶ Τροίᾳ
τεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
πρὶν ὅδ' ἐξήκοι χρόνος, ᾧ λέγεται
χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι.
ΧΟ. εὔστομ' ἔχε, παῖ. ΝΕ. τί τόδε ; στροφὴ γ'.
ΧΟ. προὐφάνη κτύπος,
φωτὸς σύντροφος ὡς τειρομένου του,
ἤπου τῇδ' ἢ τῇδε τόπων.
βάλλει βάλλει μ' ἐτύμα φθογγά
του, στίβου κατ' ἀνάγκαν
ἕρποντος, οὐδέ με λάθει
βαρεῖα τηλόθεν αὐδὰ τρυσάνωρ·
διάσημα γὰρ θρηνεῖ.
ΧΟ. ἀλλ' ἔχε, τέκνον ΝΕ. λέγ' ὅ τι. ἀντιστροφὴ γ'.
ΧΟ. φροντίδας νέας·

194. Chrysam dicit nympham, cujus in insula cognomine ara fuit, in qua sacra facere oportebat Græcos Trojam navigantes, si urbem expugnare vellent. Eam aram quum investigasset Philoctetа, a serpente, qui custodiebat, vulneratus ob eamque caussam Lemni est relictus, quæ non procul a Chrysa dissita insula est. Hanc famam secutus est Sophocles: alia alii tradiderunt. DINDORF.

196. *οὐκ ἔσθ' ὡς οὐ θεῶν του μελέτῃ.* Ita Porsonus. Vulgo *ἔσθ' ὅπως. ἔστιν ὅπως* omisso *του* Triclinius.

197. *ἐπὶ Τροίᾳ τεῖναι.* Æsch. Ag. 364. *ἐπ' Ἀλεξάνδρῳ τείνοντα πάλαι τόξον.* *Τροίαν* male exhibent Lc. Γ. T. Ven.

199. *ἐξήκοι.* Præstat, opinor, *ἐξήκῃ.* SCHAEFER. Minime præstat: nam optativus ad verba *θεῶν μελέτῃ* refertur. Cf. ad El. 57. *ἐξήκοι* *donec advenisset* significat.

201. *εὔστομ' ἔχε.* *tace.*

203. Male commate post *σύντροφος* distinxit Brunckius. Vertit Hermannus: *sensi sonitum, tanquam viri alicujus laborantis proprium, aut hic locorum aut hic.* Idem *ὥς* propter anastrophen accentu notavit. *του* in versus fine addidit Porsonus.

204. Neoptolemo assignant veteres libri. Choro continuandum esse vidit Hermannus: qui etiam *ἦ που* in *ἤ που* mutavit.

206. *στίβου κατ' ἀνάγκαν ἕρποντος.* *gravi laboriosoque incessu ingredientis.* HERM. Cf. ad Œd. Col. 890.

208. *αὐδὰ τρυσάνωρ.* h. e. *αὐδὰ ἀνδρὸς τειρομένου.*

209. *θρηνεῖ* Dindorfius. *θροεῖ* vulgo.

ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ.
οὐ μολπὰν σύριγγος ἔχων,
ὡς ποιμὴν ἀγροβότας, ἀλλ' ἤ
που πταίων ὑπ' ἀνάγκας
βοᾷ τηλωπὸν ἰωάν,
ἢ ναὸς ἄξενον αὐγάζων ὅρμον·
προβοᾷ τι γὰρ δεινόν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἰὼ ξένοι,
τίνες ποτ' ἐς γῆν τήνδε ναυτίλῳ πλάτῃ
κατέσχετ' οὔτ' εὔορμον οὔτ' οἰκουμένην ;
ποίας πάτρας ὑμᾶς ἂν ἢ γένους ποτὲ
τύχοιμ' ἂν εἰπών ; σχῆμα μὲν γὰρ Ἑλλάδος
στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί·
φωνῆς δ' ἀκοῦσαι βούλομαι· καὶ μή μ' ὄκνῳ
δείσαντες ἐκπλαγῆτ' ἀπηγριωμένον,
ἀλλ' οἰκτίσαντες ἄνδρα δύστηνον, μόνον,
ἔρημον ὧδε κἄφιλον καλούμενον,
φωνήσατ', εἴπερ ὡς φίλοι προσήκετε.
ἀλλ' ἀνταμείψασθ'· οὐ γὰρ εἰκὸς οὔτ' ἐμὲ
ὑμῶν ἁμαρτεῖν τοῦτό γ' οὔθ' ὑμᾶς ἐμοῦ.
ΝΕ. ἀλλ', ὦ ξέν', ἴσθι τοῦτο πρῶτον, οὕνεκα
Ἕλληνές ἐσμεν. τοῦτο γὰρ βούλει μαθεῖν.
ΦΙ. ὦ φίλτατον φώνημα. φεῦ τὸ καὶ λαβεῖν
πρόσφθεγμα τοιοῦδ' ἀνδρὸς ἐν χρόνῳ μακρῷ.

212. *ἀνὴρ* edd. ante Brunckium.

215. *ὑπ' ἀνάγκας βοᾷ.* *præ dolore vociferatur.* BUTTMANN.

217. *ναὸς ἄξενον αὐγάζων ὅρμον.* Navis inhospitalem stationem dicit quæ est in portu inhospitali, atque ob id ipsum insolita. HERMANN.

218. Vulgo *γάρ τι.* Correxit Wunderus, coll. Iph. T. 1036. *τίν' αἰτίαν ἔχουσ'; ὑποπτεύω τι γάρ.*

223. *τύχοιμ' ἂν εἰπών.* *recte dixerim.* Cf. Blomf. Gloss. in Agam. v. 1203.

Ἑλλάδος gl. *Ἑλληνικῆς.*

228. *καλούμενον.* *invocantem* bene vertit Hermannus, coll. Æsch. Choeph. 201. 216. Eum. 436. Minus bene Blomf. ad Agam. 1244. passive accipiendum putat. *κακούμενον* Brunckii conjectura fuit.

234. *φεῦ* admirantis et lætantis est. *Ah! quam dulce est accepisse*

τίς σ', ὦ τέκνον, προσέσχε, τίς προσήγαγεν
χρεία; τίς ὁρμή; τίς ἀνέμων ὁ φίλτατος;
γέγωνέ μοι πᾶν τοῦθ', ὅπως εἰδῶ τίς εἶ.
ΝΕ. ἐγὼ γένος μέν εἰμι τῆς περιρρύτου
Σκύρου· πλέω δ' ἐς οἶκον· αὐδῶμαι δὲ παῖς
Ἀχιλλέως, Νεοπτόλεμος. οἶσθα δὴ τὸ πᾶν.
ΦΙ. ὦ φιλτάτου παῖ πατρός, ὦ φίλης χθονός,
ὦ τοῦ γέροντος θρέμμα Λυκομήδους, τίνι
στόλῳ προσέσχες τήνδε γῆν; πόθεν πλέων;
ΝΕ. ἐξ Ἰλίου τοι δὴ τανῦν γε ναυστολῶ.
ΦΙ. πῶς εἶπας; οὐ γὰρ δὴ σύ γ' ἦσθα ναυβάτης
ἡμῖν κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου.
ΝΕ. ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;
ΦΙ. ὦ τέκνον, οὐ γὰρ οἶσθά μ' ὅντιν' εἰσορᾷς;
ΝΕ. πῶς γὰρ κάτοιδ' ὅν γ' εἶδον οὐδεπώποτε;
ΦΙ. οὐδ' ὄνομ' ἄρ' οὐδὲ τῶν ἐμῶν κακῶν κλέος
ἤσθου ποτ' οὐδέν, οἷς ἐγὼ διωλλύμην;
ΝΕ. ὡς μηδὲν εἰδότ' ἴσθι μ' ὧν ἀνιστορεῖς.
ΦΙ. ὦ πόλλ' ἐγὼ μοχθηρός, ὦ πικρὸς θεοῖς,
οὗ μηδὲ κληδὼν ὧδ' ἔχοντος οἴκαδε
μηδ' Ἑλλάδος γῆς μηδαμοῦ διῆλθέ που.
ἀλλ' οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ
γελῶσι σῖγ' ἔχοντες, ἡ δ' ἐμὴ νόσος
ἀεὶ τέθηλε κἀπὶ μεῖζον ἔρχεται.
ὦ τέκνον, ὦ παῖ πατρὸς ἐξ Ἀχιλλέως,
ὅδ' εἰμ' ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως

236. *τίς* non est *quis homo*, sed conjungi debet cum *χρεία*. Verbum *προσέσχε* recte Schol. interpretatur: *προσορμίσαι ἐποίησεν*. Similiter Eur. Alc. 479. *χρεία τίς σε Θεσσαλῶν χθόνα πέμπει;* Wunder.

241. *Νεοπτόλεμος*. Cf. ad v. 4.

244. *τίνι στόλῳ*. Angl. *on what sending or errand.*

245. *δῆτα νῦν γε* vulgo. Correxit Buttmannus.

246. Cf. supra v. 73.

251. *οὐδ' ὄνομ' ἄρ'* Erfurdtius, quod verum videtur. *οὐδ' ὄνομ'* libri veteres, unde *οὐδ' οὔνομ'* V. Turn. *οὐδ' ὄνομά γ'* conjicit Hermannus. *οὐ τοὔνομ'* Martinus.

255. *οὗ μηδὲ κληδὼν—διῆλθέ που.* *quippe cujus ne fama quidem domum pervenerit.*

τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων,
ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης, ὃν οἱ
δισσοὶ στρατηγοὶ χὠ Κεφαλλήνων ἄναξ
ἔρριψαν αἰσχρῶς ὧδ' ἔρημον, ἀγρίᾳ
νόσῳ καταφθίνοντα, τῆς ἀνδροφθόρου
πληγέντ' ἐχίδνης ἀγρίῳ χαράγματι·
ξὺν ᾗ μ' ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε
ᾤχοντ' ἔρημον, ἡνίκ' ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ.
τότ' ἄσμενοί μ' ὡς εἶδον ἐκ πολλοῦ σάλου
εὕδοντ' ἐπ' ἀκτῆς ἐν κατηρεφεῖ πέτρῳ,
λιπόντες ᾤχονθ', οἷα φωτὶ δυσμόρῳ
ῥάκη προθέντες βαιὰ καί τι καὶ βορᾶς
ἐπωφέλημα σμικρόν, οἷ' αὐτοῖς τύχοι.
σὺ δή, τέκνον, ποίαν μ' ἀνάστασιν δοκεῖς
αὐτῶν βεβώτων ἐξ ὕπνου στῆναι τότε;
ποῖ' ἐκδακρῦσαι, ποῖ' ἀποιμῶξαι κακά;
ὁρῶντα μὲν ναῦς ἃς ἔχων ἐναυστόλουν
πάσας βεβώσας, ἄνδρα δ' οὐδέν' ἔντοπον,
οὐχ ὅστις ἀρκέσειεν, οὐδ' ὅστις νόσου
κάμνοντι συλλάβοιτο, πάντα δὲ σκοπῶν
εὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρόν,
τούτου δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον.
ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι,
κἄδει τι βαιᾷ τῇδ' ὑπὸ στέγῃ μόνον

263. *ὃν οἱ | δισσοί.* Cf. ad Œd. T. 1075. et Hermannum ad Ant. 409. (405. ed. Herm.)

266. *τῆς* Auratus. Libri *τῆσδ'*.

275. *οἷ' αὐτοῖς τύχοι.* *quæ ipsis contingant precor.* Recte Scholiasta, *καταρᾶται.*

281. *νόσου κάμνοντι συλλάβοιτο.* Recte *συλλαμβάνειν* et *συλλαμβάνεσθαι* cum genitivo rei, dativo personæ, construuntur. Arist. Vesp. 733. comparavit Brunckius, *νῦν δ' αὖ παρών τις ἐμφανής σοι τῶν θεῶν συλλαμβάνει τοῦ πράγματος.*

285. *ὁ μὲν χρόνος διὰ χρόνου*] *ὁ μὲν* disjunctivum est: *χρόνος* autem *temporis partem* significat. Sensus est: *dies diem excipiebat.* Eur. Androm. 1247. attulit Wunderus: *βασιλέα δ' ἐκ τοῦδε χρὴ ἄλλον δι' ἄλλου διαπερᾶν Μολοσσίαν.*

286. *βαιᾷ* Turn. *βαιῇ* La. et reliqui. *βαιὰ* ex Æsch. Pers. 448. indicat Hermannus.

διακονεῖσθαι. γαστρὶ μὲν τὰ σύμφορα
τόξον τόδ' ἐξεύρισκε, τὰς ὑποπτέρους
βάλλον πελείας· πρὸς δὲ τοῦθ', ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
εἰλυόμην δύστηνον ἐξέλκων πόδα
πρὸς τοῦτ' ἄν· εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
καί που πάγου χυθέντος, οἷα χείματι,
ξύλον τι θραῦσαι, ταῦτ' ἂν ἐξέρπων τάλας
ἐμηχανώμην· εἶτα πῦρ ἂν οὐ παρῆν,
ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων, μόλις
ἔφην' ἄφαντον φῶς, ὃ καὶ σώζει μ' ἀεί.
οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα
πάντ' ἐκπορίζει πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
φέρ', ὦ τέκνον, νῦν καὶ τὸ τῆς νήσου μάθης.
ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκών.
οὐ γάρ τις ὅρμος ἐστίν, οὐδ' ὅποι πλέων
ἐξεμπολήσει κέρδος, ἢ ξενώσεται.
οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσιν βροτῶν.
τάχ' οὖν τις ἄκων ἔσχε· πολλὰ γὰρ τάδε
ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ.
οὗτοί μ', ὅταν μόλωσιν, ὦ τέκνον, λόγοις
ἐλεοῦσι μέν, καί πού τι καὶ βορᾶς μέρος
προσέδοσαν οἰκτείραντες, ἤ τινα στολήν·
ἐκεῖνο δ' οὐδείς, ἡνίκ' ἂν μνησθῶ, θέλει,
σῶσαί μ' ἐς οἴκους, ἀλλ' ἀπόλλυμαι τάλας
ἔτος τόδ' ἤδη δέκατον ἐν λιμῷ τε καὶ

287. διακονεῖσθαι. *mihi ipsi ministrare.*
290. De particula ἂν hoc modo imperfecto juncta vid. Matth. Gr. Gr. 599. *a.*
291. δύστηνον Canterus. δύστηνος libri, quod nimis subtiliter tuetur Hermannus. Sic τῷδε δυστήνῳ ποδὶ v. 1377.
296. ἐκθλίβων La. altero supras.
300. τὰ τῆς νήσου pro vulgato τὸ τῆς νήσου scribendum puto. Aptior h. l. videtur pluralis.
303. ξενώσεται. Cf. supra ad v. 48. Œd. C. 1186.
304. Fort. leg. οὐ δ' ἐνθάδ' οἱ πλοῖ.
305. τάχ' οὖν. h. e. *fortasse igitur, inquies, aliquis invitus appulit.* Ex mente Neoptolemi hæc dicuntur, quem paullo post v. 307. compellat Philocteta. DINDORF. ταχ' ἂν correxit Hermannus. Cf. ad Œd. T. 523.

κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.
τοιαῦτ' Ἀτρεῖδαί μ' ἥ τ' Ὀδυσσέως βία,
ὦ παῖ, δεδράκασ'· οἷς Ὀλύμπιοι θεοὶ
δοῖέν ποτ' αὐτοῖς ἀντίποιν' ἐμοῦ παθεῖν.
ΧΟ. ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα
ξένοις ἐποικτείρειν σε, Ποίαντος τέκνον.
ΝΕ. ἐγὼ δὲ καὐτὸς τοῖσδε μάρτυς ὢν λόγοις,
ὡς εἴσ' ἀληθεῖς οἶδα, συντυχὼν κακῶν
ἀνδρῶν Ἀτρειδῶν τῆς τ' Ὀδυσσέως βίας.
ΦΙ. ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις
ἔγκλημ' Ἀτρείδαις, ὥστε θυμοῦσθαι παθών;
ΝΕ. θυμὸν γένοιτο χειρὶ πληρῶσαί ποτε,
ἵν' αἱ Μυκῆναι γνοῖεν ἡ Σπάρτη θ' ὅτι
χἠ Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.
ΦΙ. εὖ γ', ὦ τέκνον. τίνος γὰρ ὧδε τὸν μέγαν
χόλον κατ' αὐτῶν ἐγκαλῶν ἐλήλυθας;
ΝΕ. ὦ παῖ Ποίαντος, ἐξερῶ, μόλις δ' ἐρῶ,
ἅγωγ' ὑπ' αὐτῶν ἐξελωβήθην μολών.
ἐπεὶ γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν—
ΦΙ. οἴμοι· φράσῃς μοι μὴ πέρα, πρὶν ἂν μάθω
πρῶτον τόδ', ἦ τεθνηχ' ὁ Πηλέως γόνος;
ΝΕ. τέθνηκεν, ἀνδρὸς οὐδενός, θεοῦ δ' ὕπο,

313. τὴν ἀδηφάγον νόσον. Cf. ad Œd. T. 634.
315. οἷ' Porsonus. Vulgatam ita defendit Hermannus, ut pronominis repetitionem fieri censeat, coll. Œd. T. 246. Trach. 288. quorum tamen locorum paullo diversa videtur ratio. Et hoc et οἷ' verum esse potest, sed fieri potest etiam ut αὐτοῖς ex abundantia quadam sermonis verbis ἀντίποιν' ἐμοῦ παθεῖν additum sit.
319. μάρτυς ἐν λόγοις vulgo. ὤν, quod et mihi in mentem venerat, correxit Gernhardius.
320. συντυχὼν idem est quod τυχών. Cf. ad Œd. Col. 1482. ἐναισίου δὲ συντύχοιμι. Verte, *malos expertus Atridas.*
324. θυμῷ γένοιτο χεῖρα libri. Correxit Brunckius.
325. γνοῖεν. Vid. ad Eumen. v. 289. coll. infra v. 529. 961. Aj. 1221.
327. τίνος—ἐγκαλῶν] τίνος χόλον significat *cujus rei iram*: v. ad Viger. p. 878. seq. χόλον ἐγκαλεῖν autem ut νεῖκος ἐγκαλεῖν in Œd. R. 702. est *culpæ, quæ movit iram, accusare.* Itaque sensus est: *cujus rei culpam, quæ ita tibi hanc magnam iram commovit, Atridis vitio vertens hic ades?* HERMANN.

τοξευτός, ὡς λέγουσιν, ἐκ Φοίβου δαμείς.
ΦΙ. ἀλλ' εὐγενὴς μὲν ὁ κτανών τε χὠ θανών.
ἀμηχανῶ δὲ πότερον, ὦ τέκνον, τὸ σὸν
πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω.
ΝΕ. οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ', ὦ τάλας,
ἀλγήμαθ', ὥστε μὴ τὰ τῶν πέλας στένειν.
ΦΙ. ὀρθῶς ἔλεξας. τοιγαροῦν τὸ σὸν φράσον
αὖθις πάλιν μοι πρᾶγμ', ὅτῳ σ' ἐνύβρισαν.
ΝΕ. ἦλθόν με νηῒ ποικιλοστόλῳ μέτα
δῖός τ' Ὀδυσσεὺς χὠ τροφεὺς τοὐμοῦ πατρός,
λέγοντες, εἴτ' ἀληθὲς εἴτ' ἄρ' οὖν μάτην,
ὡς οὐ θέμις γίγνοιτ', ἐπεὶ κατέφθιτο
πατὴρ ἐμός, τὰ πέργαμ' ἄλλον ἢ 'μ' ἑλεῖν.
ταῦτ', ὦ ξέν', οὕτως ἐννέποντες οὐ πολὺν
χρόνον μ' ἐπέσχον μή με ναυστολεῖν ταχύ,
μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ,
ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην·
ἔπειτα μέντοι χὠ λόγος καλὸς προσῆν,
εἰ τἀπὶ Τροίᾳ πέργαμ' αἱρήσοιμ' ἰών.
ἦν δ' ἦμαρ ἤδη δεύτερον πλέοντί μοι,
κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ
κατηγόμην· καί μ' εὐθὺς ἐν κύκλῳ στρατὸς
ἐκβάντα πᾶς ἠσπάζετ', ὀμνύντες βλέπειν
τὸν οὐκ ἔτ' ὄντα ζῶντ' Ἀχιλλέα πάλιν.

335. *τοξευτὸς ἐκ Φοίβου δαμείς*, h. e. *τόξοις ἐκ Φοίβου δαμείς*, jungenda esse monet Buttmannus.
344. Phœnicem dicit: cf. Hom. Il. I. 481—490.
347. *πέργαμα* quæ fere *Τροίας πέργαμα* dici solent, sic nude dixit etiam v. 1334. Hermann. Mox *ἢ 'μ'* Erfurdt. Vulgo *ἤ μ'*.
351. *ἄθαπτον*. *nondum rogo impositum*. *θάπτειν* antiquitus *rogo cremare* significabat. Cf. omnino Odyss. M. 12. *οὐ γὰρ εἰδόμην*. Gl. *ζῶντα*.
352. *χὠ λόγος καλὸς προσῆν*. Similis articuli collocatio Œd. Col. 7. *χὠ χρόνος ξυνὼν μακρός*. Cf. Matth. Gr. Gr. 277. b.
353. *εἰ αἱρήσοιμι*. Futurum optativi simili modo adhibetur infra v. 376. *εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με*. Cf. Aj. 313.
354. *ἦν δ'—καί*. Cf. ad Œd. T. v. 718. Ant. 1186.
355. *πικρόν*. Propter mortem Achillis. Schol.

κεῖνος μὲν οὖν ἔκειτ'· ἐγὼ δ' ὁ δύσμορος,
ἐπεὶ δάκρυσα κεῖνον οὐ μακρῷ χρόνῳ,
ἐλθὼν Ἀτρείδας πρὸς φίλους, ὡς εἰκὸς ἦν,
τά θ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς τά τ' ἄλλ' ὅσ' ἦν.
οἱ δ' εἶπον, οἴμοι, τλημονέστατον λόγον,
ὦ σπέρμ' Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
πατρῷ' ἑλέσθαι, τῶν δ' ὅπλων κείνων ἀνὴρ
ἄλλος κρατύνει νῦν, ὁ Λαέρτου γόνος.
κἀγὼ δακρύσας εὐθὺς ἐξανίσταμαι
ὀργῇ βαρείᾳ, καὶ καταλγήσας λέγω,
ὦ σχέτλι', ἦ τολμήσατ' ἀντ' ἐμοῦ τινι
δοῦναι τὰ τεύχη τἀμά, πρὶν μαθεῖν ἐμοῦ;
ὁ δ' εἶπ' Ὀδυσσεύς, πλησίον γὰρ ὢν κυρεῖ,
ναί, παῖ, δεδώκασ' ἐνδίκως οὗτοι τάδε.
ἐγὼ γὰρ αὔτ' ἔσωσα κἀκεῖνον παρών.
κἀγὼ χολωθεὶς εὐθὺς ἤρασσον κακοῖς
τοῖς πᾶσιν, οὐδὲν ἐνδεὲς ποιούμενος,
εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.
ὁ δ' ἐνθάδ' ἥκων, καίπερ οὐ δύσοργος ὤν,
δηχθεὶς πρὸς ἁξήκουσεν ὧδ' ἠμείψατο,
οὐκ ἦσθ' ἵν' ἡμεῖς, ἀλλ' ἀπῆσθ' ἵν' οὔ σ' ἔδει.
καὶ ταῦτ' ἐπειδὴ καὶ λέγεις θρασυστομῶν,
οὐ μή ποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσῃς ἔχων.
τοιαῦτ' ἀκούσας κἀξονειδισθεὶς κακὰ

359. *ἔκειτ'*. sc. paratus ad sepulturam.
360. *δάκρυσα*. Coronidem addidit Brunckius: idem in v. 369. fecit Vauvillersius.
369. *ὦ σχέτλι'*. Singulari numero utitur, eum in mente habens a quo verba illa audiverat, sive Agamemnonem cogitans, quod Scholiastæ videtur, sive alium. Dindorf.
371. *ὢν κύρει* libri. Correxit Porsonus ad Med. 1138. *ἦν κυρῶν* Brunckius.
376. Cf. supra v. 353. et ad Ant. 414.
381. *ἐκπλεύσεις* Brunckius. Sed futurum esset *ἐκπλευσεῖ*. Vid. ad Aj. 560. Aliud exemplum constructionis quæ Dawesio solœca fuit est in Arist. Thesm. 1167. *οὐδὲν μή ποτε κακῶς ἀκούσητ'*, sicut bene vulgatam *ἀκούσαιτ'* correxit Elmsleius ad Ach. 295. aliud Vesp. 395. *κοὐ μή ποτέ σου παρὰ τὰς κάννας οὐρήσω, μηδ' ἀποπάρδω*. Nam futurum verbi *οὐρεῖν* est *οὐρήσομαι*.

πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.
κοὐκ αἰτιῶμαι κεῖνον ὡς τοὺς ἐν τέλει.
πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων
στρατός τε σύμπας· οἱ δ' ἀκοσμοῦντες βροτῶν
διδασκάλων λόγοισι γίγνονται κακοί.
λόγος λέλεκται πᾶς. ὁ δ' Ἀτρείδας στυγῶν
ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος.
ΧΟ. ὀρεστέρα παμβῶτι Γᾶ, *στροφή.*
μᾶτερ αὐτοῦ Διός,
ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
σὲ κἀκεῖ, μᾶτερ πότνι', ἐπηυδώμαν,
ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν ὕβρις πᾶσ' ἐχώρει,
ὅτε τὰ πάτρια τεύχεα παρεδίδοσαν,
ἰὼ μάκαιρα ταυροκτόνων
λεόντων ἔφεδρε, τῷ Λαρτίου
σέβας ὑπέρτατον.
ΦΙ. ἔχοντες, ὡς ἔοικε, σύμβολον σαφὲς
λύπης πρὸς ἡμᾶς, ὦ ξένοι, πεπλεύκατε,

391. *ὀρεστέρα παμβῶτι Γᾶ.* Non ipsam Terram, sed Deam Cybelen vel Rheam h. l. sub Terræ nomine significari monuit Musgravius: quam cultam fuisse in Lydia constat ex Herod. v. 102. Eurip. Bacch. 55. seqq. Accedit quod hæc Dea culta fuit et in ipsa Lemno, cujus rei testem Gedikius adducit Steph. Byz. in Λῆμνος, qui nomen insulæ inditum ait ἀπὸ τῆς μεγάλης θεοῦ, ἣν Λῆμνόν φασι· ταύτῃ δὲ καὶ παρθένους ἔθυον.

392. *νέμεις. colis, tenes.* Non opus cum Hermanno conjungere εὔχρυσον νέμεις h. e. *auro fecundas.* Similis collocatio Œd. T. 1199. τὰν γαμψώνυχα παρθένον χρησμῳδόν. Nec tamen tirones hæc ita accipiant quasi nihil intersit utrum ὁ εὔχρυσος Πακτωλός, an ὁ Πακτωλὸς εὔχρυσος dicas. Aliud enim est hoc, aliud quum quis adjectivum inter articulum et substantivum ex communi usu Græcorum intulerit, alterum tanquam novum epitheton deinde subjungi.

395. *κἀκεῖ*] *καὶ τότε* male explicat Schol. Immo *ad Trojam* dicit; ubi sc. res gestæ fuerant de quibus modo dixerat Neoptolemus.

400. *ταυροκτόνων λεόντων ἔφεδρε. currui leonibus juncto insidens.* Contulit Matthiæ Lucret. ii. 601. Virg. Æn. iii. 113. Ovid. Met. x. 703. Fast. iv. 215.

401. *Λαρτίου* ex Γ. Dindorfius. Vulgo *Λαερτίου.* Cf. ad Aj. v. 1.

402. *σέβας ὑπέρτατον.* Arma dicit.

403. *σύμβολον* nihil est aliud quam *indicium.* Σύμβολον λύπης, ὥστε γιγνώσκειν ὅτι ταῦτα ἐξ Ἀτρειδῶν ἔργα, usitata Græcis ratione dictum est pro σύμβολον ὥστε γιγνώσκειν ὅτι αὕτη ἡ λύπη ἔργα ἐστὶν ἐξ Ἀτρειδῶν. HERMANN. Idem bene monet verba καί μοι προσᾴδεθ' in medio inserta esse: quæ tamen κἀμοὶ προσᾴδεθ' scribenda censeo. Nec tamen σαφὲς πρὸς ἡμᾶς cum Hermanno junxerim, sed potius σύμβολον πρὸς ἡμᾶς h. e. *quod ad nos perferretis.* Cf. Sept. c. T. 49. μνημεῖά θ' αὑτῶν τοῖς τεκοῦσιν ἐς δόμους ἔστεφον h. e. *quæ domum perferrentur.* Possis tamen et πρὸς ἡμᾶς πεπλεύκατε jungere: neque enim de industria quæsitum esse ab illis Philoctetam verba necessario significant.

καί μοι προσᾴδεθ', ὥστε γιγνώσκειν ὅτι
ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα κἀξ Ὀδυσσέως.
ἔξοιδα γάρ νιν παντὸς ἂν λόγου κακοῦ
γλώσσῃ θιγόντα καὶ πανουργίας, ἀφ' ἧς
μηδὲν δίκαιον ἐς τέλος μέλλει ποιεῖν.
ἀλλ' οὔ τι τοῦτο θαῦμ' ἔμοιγ', ἀλλ' εἰ παρὼν
Αἴας ὁ μείζων ταῦθ' ὁρῶν ἠνείχετο.
ΝΕ. οὐκ ἦν ἔτι ζῶν, ὦ ξέν'· οὐ γὰρ ἄν ποτε
ζῶντός γ' ἐκείνου ταῦτ' ἐσυλήθην ἐγώ.
ΦΙ. πῶς εἶπας; ἀλλ' ἦ χοὖτος οἴχεται θανών;
ΝΕ. ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει.
ΦΙ. οἴμοι τάλας. ἀλλ' οὐχ ὁ Τυδέως γόνος,
οὐδ' οὑμπολητὸς Σισύφου Λαερτίου,
οὐ μὴ θάνωσι. τούσδε γὰρ μὴ ζῆν ἔδει.
ΝΕ. οὐ δῆτ'· ἐπίστω τοῦτό γ'· ἀλλὰ καὶ μέγα
θάλλοντές εἰσι νῦν ἐν Ἀργείων στρατῷ.
ΦΙ. τί δ' ὃς παλαιὸς κἀγαθὸς φίλος τ' ἐμός,
Νέστωρ ὁ Πύλιος ἔστιν; οὗτος γάρ τά γε
κείνων κάκ' ἐξήρυκε, βουλεύων σοφῶς.
ΝΕ. κεῖνός γε πράσσει νῦν κακῶς, ἐπεὶ θανὼν

409. *ἐς τέλος. postremo.* Eurip. Ion. 1615. χρόνια μὲν τὰ τῶν θεῶν πως, εἰς τέλος δ' οὐκ ἀσθενῆ. HERM. μέλλοι La. quod bonum videtur.

416. *Σισύφου Λαερτίου*] Σισύφου pro adjectivo est, ut sensus sit, Λαερτίου, Σισύφου ὄντος, quod potuisset uno nomine dici Σισυφολαερτίου, ut Luciani Icaromenippus dictus est. ἐμπολητὸς autem non est cum isto genitivo construendum, tamquam si esset ἐμποληθείς, sed per se positum est; *per negotiationem suppositus Sisypholaërtis filius.* HERMANN. Σισυφολαερτίου sic uno verbo dictum Comicum magis sapere videretur. Schol. Σισύφου Λαερτίου. ἐκ Σισύφου κύουσα ἡ Ἀντίκλεια ἐγαμήθη Λαέρτῃ. καὶ διὰ τοῦτο φησὶν αὐτὸν ὥσπερ πεπρᾶσθαι, ἐπειδὴ Λαέρτης πολλὰ δοὺς χρήματα ἠγάγετο τὴν Ἀντίκλειαν.

421. *τί δ' — ἔστιν; Quid vero? Nestor vivitne?* Arist. Pac. 700. τί δαί; Κρατῖνος ὁ σοφὸς ἔστιν; BRUNCK.

Ἀντίλοχος αὐτῷ φροῦδος, ὃς παρῆν, γόνος.
ΦΙ. οἴμοι, δύ' αὔτως δείν' ἔλεξας, οἷν ἐγὼ
ἥκιστ' ἂν ἠθέλησ' ὀλωλότοιν κλύειν.
φεῦ φεῦ· τί δῆτα δεῖ σκοπεῖν, ὅθ' οἵδε μὲν
τεθνᾶσ', Ὀδυσσεὺς δ' ἔστιν αὖ κἀνταῦθ' ἵνα
χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρόν;
ΝΕ. σοφὸς παλαιστὴς κεῖνος, ἀλλὰ χαἰ σοφαὶ
γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται θαμά.
ΦΙ. φέρ' εἰπὲ πρὸς θεῶν, ποῦ γὰρ ἦν ἐνταῦθά σοι
Πάτροκλος, ὃς σοι πατρὸς ἦν τὰ φίλτατα;
ΝΕ. χοὖτος τεθνηκὼς ἦν· λόγῳ δέ σ' ἐν βραχεῖ
τοῦτ' ἐκδιδάξω. πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.
ΦΙ. ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε
ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,
γλώσσῃ δὲ δεινοῦ καὶ σοφοῦ, τί νῦν κυρεῖ.
ΝΕ. ποίου γε τούτου πλήν γ' Ὀδυσσέως ἐρεῖς;

425. ὃς παρῆν Musgravius. ὅσπερ ἦν libri inepte. Hermannus vertit: *Nam filius ei*, inquit, *Antilochus, qui aderat, occidit.* Idem addit: 'Affuisse illum, etsi id sciebat Philoctetes, propterea adjicit, quia major est præsente in funere dolor, quam absentis morte nunciata.' Fateor tamen locum non persanatum videri. Conjeceram ὃς παρῆν πόνοις, quod et Arndtio in mentem venisse video, Quæstt. Soph. p. 33.

426. δύ' αὔτως. *Duo æque tristia narrasti de iis quos omnium minime mortuos vellem* sc. *Ajacem et Antilochum.* αὔτως sic Ant. 85. 715. Œd. T. 931. HERMANN. Cf. ad Œd. T. 931.

428. τί δῆτα δεῖ σκοπεῖν] *quo respicere*, h. e. *cui fidere, oportet, si hæc ita se habent?*

429. αὖ si, ut Buttmanno videtur, *ex altera parte* significaret, deberet statim post Ὀδυσσεὺς positum esse. Refertur ad κἀνταῦθα hoc sensu: *si hi perierunt, Ulysses autem, ut alias, sic rursum hic quoque superstes est, ubi illorum loco eum mortuum dici oportebat.* HERMANN.

431. χαἰ σοφαί. Sapienter et caute præliari dicit Ulixem: et tamen cautum cautorem, ut Plautus ait, capi interdum ait, ut de inimico male ominans. CAMERARIUS. Ita fere Scholiasta.

433. ἐνταῦθα. *hoc tempore.*

434. ὃς σοῦ Hemsterhus. ad Lucian. tom. i. p. 147. Hoc recipiendum puto non quod σοι per se displicet, sed quod idem vix repetiturus videtur poeta, ubi in promtu erat alterum substituere.

435. δέ σε βραχεῖ vulgo. Correxit Erfurdtius ad Aj. 1109.

441. ποίου τε La. Lb. δὲ correxit Flor. Christian. Vim particulæ γε recte explicat Hermannus, monens verba hoc significare: οὐκ ἄλλου γε τούτου ἢ Ὀδυσσέως ἐρεῖς. Nam si abfuissent verba πλήν γ' Ὀδυσσέως, γε locum in tali interrogatione habere non potuisset.

ΦΙ. οὐ τοῦτον εἶπον, ἀλλὰ Θερσίτης τις ἦν,
ὃς οὐκ ἂν εἵλετ' εἰσάπαξ εἰπεῖν, ὅπου
μηδεὶς ἐῴη· τοῦτον οἶσθ' εἰ ζῶν κυρεῖ;
ΝΕ. οὐκ εἶδον αὐτόν, ᾐσθόμην δ' ἔτ' ὄντα νιν.
ΦΙ. ἔμελλ'· ἐπεὶ οὐδέν πω κακόν γ' ἀπώλετο,
ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες,
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ
χαίρουσ' ἀναστρέφοντες ἐξ Ἅιδου, τὰ δὲ
δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί.
ποῦ χρὴ τίθεσθαι ταῦτα, ποῦ δ' αἰνεῖν, ὅταν
τὰ θεῖ' ἐπαινῶν τοὺς θεοὺς εὕρω κακούς;
ΝΕ. ἐγὼ μέν, ὦ γένεθλον Οἰταίου πατρός,
τὸ λοιπὸν ἤδη τηλόθεν τό τ' Ἴλιον
καὶ τοὺς Ἀτρείδας εἰσορῶν φυλάξομαι,
ὅπου θ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει
κἀποφθίνει τὰ χρηστὰ χὠ δεινὸς κρατεῖ,
τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ·
ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι
ἔσται τὸ λοιπόν, ὥστε τέρπεσθαι δόμῳ.
νῦν δ' εἶμι πρὸς ναῦν. καὶ σύ, Ποίαντος τέκνον,
χαῖρ' ὡς μέγιστα, χαῖρε· καί σε δαίμονες
νόσου μεταστήσειαν, ὡς αὐτὸς θέλεις.
ἡμεῖς δ' ἴωμεν· ὡς ὁπηνίκ' ἂν θεὸς
πλοῦν ἡμὶν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα.
ΦΙ. ἤδη, τέκνον, στέλλεσθε; ΝΕ. καιρὸς γὰρ καλεῖ
πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.
ΦΙ. πρὸς νῦν σε πατρός, πρός τε μητρός, ὦ τέκνον,
πρός τ' εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλές,
ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μόνον,

452. τὰ θεῖ' ἐπαινῶν. *quum volo laudare quæ dii faciunt.* HERMANN.

457. δειλὸς conjicit Brunckius. Sed vulgatum δεινὸς *homo nequam* sive *callidus* est, quod putat Gaisfordius. Idem recte monet τούτους ad ὅπου spectare, quod idem valet ac παρ' οἷς.

'Αντίλοχος αὐτῷ φροῦδος, ὃς παρῆν, γόνος.
ΦΙ. οἴμοι, δύ' αὕτως δείν' ἔλεξας, οἶν ἐγὼ
ἥκιστ' ἂν ἠθέλησ' ὀλωλότοιν κλύειν.
φεῦ φεῦ· τί δῆτα δεῖ σκοπεῖν, ὅθ' οἵδε μὲν
τεθνᾶσ', 'Οδυσσεὺς δ' ἔστιν αὖ κἀνταῦθ' ἵνα
χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρόν;
ΝΕ. σοφὸς παλαιστὴς κεῖνος, ἀλλὰ χαἰ σοφαὶ
γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται θαμά.
ΦΙ. φέρ' εἰπὲ πρὸς θεῶν, ποῦ γὰρ ἦν ἐνταῦθά σοι
Πάτροκλος, ὃς σοι πατρὸς ἦν τὰ φίλτατα;
ΝΕ. χοὖτος τεθνηκὼς ἦν· λόγῳ δέ σ' ἐν βραχεῖ
τοῦτ' ἐκδιδάξω. πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.
ΦΙ. ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε
ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,
γλώσσῃ δὲ δεινοῦ καὶ σοφοῦ, τί νῦν κυρεῖ.
ΝΕ. ποίου γε τούτου πλήν γ' 'Οδυσσέως ἐρεῖς;

425. ὃς παρῆν Musgravius. ὅσπερ ἦν libri inepte. Hermannus vertit: *Nam filius ei, inquit, Antilochus, qui aderat, occidit.* Idem addit: 'Affuisse illum, etsi id sciebat Philoctetes, propterea adjicit, quia major est præsente in funere dolor, quam absentis morte nunciata.' Fateor tamen locum non persanatum videri. Conjeceram ὃς παρῆν πόνοις, quod et Arndtio in mentem venisse video, Quæstt. Soph. p. 33.

426. δύ' αὕτως. *Duo æque tristia narrasti de iis quos omnium minime mortuos vellem* sc. *Ajacem et Antilochum.* αὕτως sic Ant. 85. 715. Œd. T. 931. HERMANN. Cf. ad Œd. T. 931.

428. τί δῆτα δεῖ σκοπεῖν] *quo respicere,* h. e. *cui fidere, oportet, si hæc ita se habent?*

429. αὖ si, ut Buttmanno videtur, *ex altera parte* significaret, deberet statim post 'Οδυσσεὺς positum esse. Refertur ad κἀνταῦθα hoc sensu: *si hi perierunt, Ulysses autem, ut alias, sic rursum hic quoque superstes est, ubi illorum loco eum mortuum dici oportebat.* HERMANN.

431. χαἰ σοφαί. Sapienter et caute præliari dicit Ulixem: et tamen cautum cautorem, ut Plautus ait, capi interdum ait, ut de inimico male ominans. CAMERARIUS. Ita fere Scholiasta.

433. ἐνταῦθα. *hoc tempore.*

434. ὃς σοῦ Hemsterhus. ad Lucian. tom. i. p. 147. Hoc recipiendum puto non quod σοι per se displicet, sed quod idem vix repetiturus videtur poeta, ubi in promtu erat alterum substituere.

435. δέ σε βραχεῖ vulgo. Correxit Erfurdtius ad Aj. 1109.

441. ποίου τε La. Lb. γε correxit Flor. Christian. Vim particulæ γε recte explicat Hermannus, monens verba hoc significare: οὐκ ἄλλου γε τούτου ἢ 'Οδυσσέως

ΦΙ. οὐ τοῦτον εἶπον, ἀλλὰ Θερσίτης τις ἦν,
ὃς οὐκ ἂν εἵλετ' εἰσάπαξ εἰπεῖν, ὅπου
μηδεὶς ἐῴη· τοῦτον οἶσθ' εἰ ζῶν κυρεῖ;
ΝΕ. οὐκ εἶδον αὐτόν, ᾐσθόμην δ' ἔτ' ὄντα νιν.
ΦΙ. ἔμελλ'· ἐπεὶ οὐδέν πω κακόν γ' ἀπώλετο,
ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες,
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ
χαίρουσ' ἀναστρέφοντες ἐξ Ἅιδου, τὰ δὲ
δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί.
ποῦ χρὴ τίθεσθαι ταῦτα, ποῦ δ' αἰνεῖν, ὅταν
τὰ θεῖ' ἐπαινῶν τοὺς θεοὺς εὕρω κακούς;
ΝΕ. ἐγὼ μέν, ὦ γένεθλον Οἰταίου πατρός,
τὸ λοιπὸν ἤδη τηλόθεν τό τ' Ἴλιον
καὶ τοὺς 'Ατρείδας εἰσορῶν φυλάξομαι,
ὅπου θ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει
κἀποφθίνει τὰ χρηστὰ χὠ δεινὸς κρατεῖ,
τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ·
ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι
ἔσται τὸ λοιπόν, ὥστε τέρπεσθαι δόμῳ.
νῦν δ' εἶμι πρὸς ναῦν. καὶ σύ, Ποίαντος τέκνον,
χαῖρ' ὡς μέγιστα, χαῖρε· καί σε δαίμονες
νόσου μεταστήσειαν, ὡς αὐτὸς θέλεις.
ἡμεῖς δ' ἴωμεν· ὡς ὁπηνίκ' ἂν θεὸς
πλοῦν ἡμὶν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα.
ΦΙ. ἤδη, τέκνον, στέλλεσθε; ΝΕ. καιρὸς γὰρ καλεῖ
πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.
ΦΙ. πρὸς νῦν σε πατρός, πρός τε μητρός, ὦ τέκνον,
πρός τ' εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλές,
ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μόνον,

ἐρεῖς. Nam si abfuissent verba πλήν γ' 'Οδυσσέως, γε locum in tali interrogatione habere non potuisset.

452. τὰ θεῖ' ἐπαινῶν. *quum volo laudare quæ dii faciunt.* HERMANN.

457. δειλὸς conjicit Brunckius. Sed vulgatum δεινὸς *homo nequam* sive *callidus* est, quod putat Gaisfordius. Idem recte monet τούτους ad ὅπου spectare, quod idem valet ac παρ' οἷς.

ἔρημον ἐν κακοῖσι τοῖσδ' οἵοις ὁρᾷς
ὅσοισί τ' ἐξήκουσας ἐνναίοντά με·
ἀλλ' ἐν παρέργῳ θοῦ με. δυσχέρεια μέν,
ἔξοιδα, πολλὴ τοῦδε τοῦ φορήματος·
ὅμως δὲ τλῆθι. τοῖσι γενναίοισί τοι
τό τ' αἰσχρὸν ἐχθρὸν καὶ τὸ χρηστὸν εὐκλεές.
σοὶ δ' ἐκλιπόντι τοῦτ' ὄνειδος οὐ καλόν,
δράσαντι δ', ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα.
ἴθ'· ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς.
τόλμησον, ἐμβαλοῦ μ' ὅπῃ θέλεις ἄγων,
εἰς ἀντλίαν, εἰς πρῷραν, εἰς πρύμνην, ὅποι
ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
νεῦσον, πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου, τέκνον,
πείσθητι. προσπιτνῶ σε γόνασι, καίπερ ὢν
ἀκράτωρ ὁ τλήμων, χωλός. ἀλλὰ μή μ' ἀφῇς
ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου.
ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων,
ἢ πρὸς τὰ Χαλκώδοντος Εὐβοίας σταθμά·
κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος
Τραχινίαν τε δεράδα καὶ τὸν εὔροον
Σπερχειὸν ἔσται· πατρί μ' ὡς δείξῃς φίλῳ,
ὃν δὴ παλαί' ἂν ἐξότου δέδοικ' ἐγὼ
μή μοι βεβήκῃ. πολλὰ γὰρ τοῖς ἱγμένοις

473. ἐν παρέργῳ θοῦ με. Dicuntur ἐν παρέργῳ aliquid facere, qui obiter, in transitu, et præter propositum aliquid faciunt. Brunck.

482. πρῶραν vulgo. Accentum correxit Dindorf. Vid. ad Trach. 13. 223. Mox πρύμνην Elmsleius. Cf. Dindorf. Præf. ad Poet. Scen. p. xxvi. et ab illo citatum Lobeck. ad Phrynich. p. 331. Denique ὅποι notandum per attractionem positum. Cf. Porson. ad Hecub. 1062.

485. προσπιτνῶ La.

489. Εὐβοίας σταθμὰ idem quod Εὐβοϊκὰ σταθμά, quare genitivum adsciscit. De Chalcodonte antiquo Eubœæ rege cf. Hom. Il. B. 541. Pausan. ix. 19.

491. δεράδα Toupius. δειράδα vulg.

492. πατρί μ' ὡς δείξῃς φίλῳ. Hæc cum verbis ἔκσωσόν μ' ἄγων v. 488. conjungenda sunt.

493. παλαί' ἂν sc. εἴη. h. e. παλαιὸς ἂν εἴη χρόνος.

494. τοῖς ἱγμένοις. *per eos qui venerunt.* ἱκμένοις vulgo. Correxit Erfurdtius, consentientibus Lc. R. V. Ven.

ἔστελλον αὐτὸν ἱκεσίους πέμπων λιτάς,
αὐτόστολον πέμψαντά μ' ἐκσῶσαι δόμους.
ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων,
ὡς εἰκός, οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρος
ποιούμενοι τὸν οἴκαδ' ἤπειγον στόλον.
νῦν δ', εἰς σὲ γὰρ πομπόν τε καὐτὸν ἄγγελον
ἥκω, σὺ σῶσον, σύ μ' ἐλέησον, εἰσορῶν
ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
κεῖται παθεῖν μὲν εὖ, παθεῖν δὲ θἄτερα.
χρὴ δ' ἐκτὸς ὄντα πημάτων τὰ δείν' ὁρᾶν·
χὤταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ.

ΧΟ. οἴκτειρ', ἄναξ· πολλῶν ἔλεξ- ἀντιστροφή.
εν δυσοίστων πόνων
ἆθλ', ὅσσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων.
εἰ δὲ πικρούς, ἄναξ, ἔχθεις Ἀτρείδας,
ἐγὼ μέν, τὸ κείνων κακὸν τῷδε κέρδος
μετατιθέμενος, ἔνθαπερ ἐπιμέμονεν,
ἐπ' εὐστόλου ταχείας νεὼς
πορεύσαιμ' ἂν ἐς δόμους, τὰν θεῶν
νέμεσιν ἐκφυγών.

ΝΕ. ὅρα σὺ μὴ νῦν μέν τις εὐχερὴς παρῇς,
ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίᾳ,

495. ἔστελλον. Cf. ad v. 60.

496. πέμψαντα. *comitandi,* non ducendi, huic verbo notionem hic inesse monuit Hermannus. Mox δόμους pro vulgata δόμοις verissime reposuit Buttmannus. Nimis argute Hermannus hic δόμοις explicare aggreditur, *ut me suæ domui sospitem restituat.*

499. ποιούμενοι refertur ad οἱ διάκονοι pro quo τὰ τῶν διακόνων dixit Sophocles. Dicturus erat, ἢ τὰ τῶν διακόνων ἐμποδὼν ἐγένετο, cui deinde aliud substituit. Cæterum ἐν σμικρῷ μέρει A. pr. et Suid. s. v. διάκονος. Idem tamen s. v. στόλος habet μέρος. Utrumque eodem fere redit, sed illud pæne prætulerim.

500. καὐτὸν ἄγγελον. h. e. καὶ αὐτάγγελον. Cf. ἀδελφὸς αὐτὸς καὶ πατὴρ Œd. T. 458.

509. ὅσσα] οἷα Porsonus eleganter, sed sine necessitate.

514. τὸ κείνων κακόν. Injuriam Neoptolemo et Philoctetæ illatam recte intelligit Hermannus. *quod ab illis male factum est, in lucrum huic* (Philoctetæ) *convertens.*

517. τὰν ἐκ θεῶν vulgo. ἐκ delevit Dindorfius.

520. πλησθῇς. *tædio affectus fueris.* Mox τῆς νόσου ξυνουσίᾳ

τότ' οὐκ ἔθ' αὐτὸς τοῖς λόγοις τούτοις φανῇς.
ΧΟ. ἥκιστα. τοῦτ' οὐκ ἔσθ' ὅπως ποτ' εἰς ἐμὲ
τοὔνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι.
ΝΕ. ἀλλ' αἰσχρὰ μέντοι σοῦ γέ μ' ἐνδεέστερον
ξένῳ φανῆναι πρὸς τὸ καίριον πονεῖν.
ἀλλ' εἰ δοκεῖ, πλέωμεν, ὁρμάσθω ταχύς·
χἠ ναῦς γὰρ ἄξει κοὐκ ἀπαρνηθήσεται.
μόνον θεοὶ σῴζοιεν ἔκ γε τῆσδε γῆς
ἡμᾶς ὅποι τ' ἐνθένδε βουλοίμεσθα πλεῖν.
ΦΙ. ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ' ἀνήρ,
φίλοι δὲ ναῦται, πῶς ἂν ὑμὶν ἐμφανὴς
ἔργῳ γενοίμην, ὥς μ' ἔθεσθε προσφιλῆ.
ἴωμεν, ὦ παῖ, προσκύσαντε τὴν ἔσω
ἄοικον εἰσοίκησιν, ὥς με καὶ μάθῃς
ἀφ' ὧν διέζων, ὥς τ' ἔφυν εὐκάρδιος.
οἶμαι γὰρ οὐδ' ἂν ὄμμασιν μόνην θέαν
ἄλλον λαβόντα πλὴν ἐμοῦ τλῆναι τάδε·
ἐγὼ δ' ἀνάγκῃ προὔμαθον στέργειν κακά.
ΧΟ. ἐπίσχετον, μάθωμεν. ἄνδρε γὰρ δύο,
ὁ μὲν νεὼς σῆς ναυβάτης, ὁ δ' ἀλλόθρους,
χωρεῖτον, ὧν μαθόντες αὖθις εἴσιτον.

ΕΜΠΟΡΟΣ.

Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον,

valet διὰ τὸ ξυνεῖναί (σοι) τὴν νόσον. Similis fere locutio sed significatione diversa, Thucyd. ii. 51. ἕτερος ἀφ' ἑτέρου θεραπείας ἀναπιμπλάμενοι.

521. οὐκ ἔθ' αὐτός. Cf. ad Œd. T. 458. coll. ejusd. f. v. 557.

525. πρὸς τὸ καίριον. Cf. πρὸς τὸ καρτερὸν Prom. V. 212. πρὸς τὸ λιπαρὲς Œd. Col. 1119. πρὸς τἀνδρεῖον Eurip. Suppl. 885. πρὸς τἀναιδὲς Iph. Aul. 379. Idem est ac πρὸς καιρὸν Phil. 1279. Trach. 59. Aj. 38. Rectissime verba hæc sic ordinat Hermannus: σοῦ γέ μ' ἐνδεέστερον φανῆναι πονεῖν τῷ ξένῳ πρὸς τὸ καίριον. Cum locutione ξένῳ πονεῖν cf. Aj. 1367. τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν; et ibid. 1380. 1415.

528. ἔκ τε corrigit Gernhardius: vulgatam recte, ut arbitror, tuetur Hermannus.

529. βουλοίμεσθα. Cf. ad v. 325.

533. προσκύσαντε̈ς (sic) La. Vulgatam correxit Porson. ad Phœn. v. 1419.

ὃς ἦν νεὼς σῆς σὺν δυοῖν ἄλλοιν φύλαξ,
ἐκέλευσ' ἐμοί σε ποῦ κυρῶν εἴης φράσαι,
ἐπείπερ ἀντέκυρσα, δοξάζων μὲν οὔ,
τύχῃ δέ πως πρὸς ταὐτὸν ὁρμισθεὶς πέδον.
πλέων γὰρ ὡς ναύκληρος οὐ πολλῷ στόλῳ
ἐξ Ἰλίου πρὸς οἶκον ἐς τὴν εὔβοτρυν
Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας ὅτι
σοὶ πάντες εἶεν οἱ νεναυστοληκότες,
ἔδοξέ μοι μὴ σῖγα, πρὶν φράσαιμί σοι,
τὸν πλοῦν ποιεῖσθαι, προστυχόντι τῶν ἴσων.
οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι,
ἃ τοῖσιν Ἀργείοισιν ἀμφὶ σοῦ νέα
βουλεύματ' ἐστί· κοὐ μόνον βουλεύματα,
ἀλλ' ἔργα δρώμεν', οὐκ ἔτ' ἐξαργούμενα.
ΝΕ. ἀλλ' ἡ χάρις μὲν τῆς προμηθίας, ξένε,
εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ·
φράσον δ' ἅπερ γ' ἔλεξας, ὡς μάθω τί μοι
νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις.
ΕΜ. φροῦδοι διώκοντές σε ναυτικῷ στόλῳ
Φοῖνιξ ὁ πρέσβυς οἵ τε Θησέως κόροι.
ΝΕ. ὡς ἐκ βίας μ' ἄξοντες, ἢ λόγοις πάλιν;

550. συννεναυστοληκότες non necessaria videtur Dobræi conjectura, quam receperunt Dindorfius et Wunderus.

551. Recte Brunckius perspexit sensum verborum esse, *Visum mihi est, non tacito vela dare, priusquam te convenissem, consequutus quod æquum est*, i. e. præmio aliquo propter ea quæ nunciassem affectus. Ἴσα enim sunt τὰ δίκαια, quæ sic dicuntur, quia præmium, quod justum sit, par esse debet accepto beneficio. Confirmat hanc interpretationem responsum Neoptolemi v. 557. Illud vero non opus est, ut, quod ipsi placet, scribatur προστυχών τι τῶν ἴσων. Quin ne recte quidem τῶν ἴσων τι peteretur, ubi ἴσα petenda erant. Construendum est προστυχόντι cum ἔδοξέ μοι. Hermann. De re Brunckius comparat Œd. T. 1006. Trach. 190.

554. νέα correxit Auratus. σοῦ 'νεκα libri, quod tuetur Hermannus, citato τίνος δὴ χάριν ἕνεκα ex Plat. Legg. iii. p. 701. D. Ἀπὸ βοῆς ἕνεκα quod dixit Thucyd. viii. 92. tetigit Wyttenbachius Eclog. Histor. p. 414. Sed vereor ut hæc satis sint ad vulgatam firmandam. νέα βουλεύματα idem sunt quod νεώτερον βούλευμα v. 560.

562. Φοῖνιξ recto accentu La. Φοίνιξ vulgo. Idem restituendum in v. 565.

ΕΜ. οὐκ οἶδ᾽. ἀκούσας δ᾽ ἄγγελος πάρειμί σοι.
ΝΕ. ἦ ταῦτα δὴ Φοῖνίξ τε χοἰ ξυνναυβάται
οὕτω καθ᾽ ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;
ΕΜ. ὡς ταῦτ᾽ ἐπίστω δρώμεν᾽, οὐ μέλλοντ᾽ ἔτι.
ΝΕ. πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ᾽ οὐκ αὐτάγγελος
πλεῖν ἦν ἕτοιμος; ἢ φόβος τις εἶργέ νιν;
ΕΜ. κεῖνός γ᾽ ἐπ᾽ ἄλλον ἄνδρ᾽ ὁ Τυδέως τε παῖς
ἔστελλον, ἡνίκ᾽ ἐξανηγόμην ἐγώ.
ΝΕ. πρὸς ποῖον αὖ τόνδ᾽ αὐτὸς οὐδυσσεὺς ἔπλει;
ΕΜ. ἦν δή τις. ἀλλὰ τόνδε μοι πρῶτον φράσον
τίς ἐστίν· ἃν λέγῃς δὲ μὴ φώνει μέγα.
ΝΕ. ὅδ᾽ ἔσθ᾽ ὁ κλεινός σοι Φιλοκτήτης, ξένε.
ΕΜ. μή νύν μ᾽ ἔρῃ τὰ πλείον᾽, ἀλλ᾽ ὅσον τάχος
ἔκπλει σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς.
ΦΙ. τί φησιν, ὦ παῖ; τί με κατὰ σκότον ποτὲ
διεμπολᾷ λόγοισι πρός σ᾽ ὁ ναυβάτης;
ΝΕ. οὐκ οἶδά πω τί φησι· δεῖ δ᾽ αὐτόν λέγειν
εἰς φῶς ὃ λέξει, πρὸς σὲ κἀμὲ τούσδε τε.
ΕΜ. ὦ σπέρμ᾽ Ἀχιλλέως, μή με διαβάλῃς στρατῷ
λέγονθ᾽ ἃ μὴ δεῖ· πόλλ᾽ ἐγὼ κείνων ὕπο
δρῶν ἀντιπάσχω (?) χρηστά γ᾽, οἷ᾽ ἀνὴρ πένης.
ΝΕ. ἐγώ εἰμ᾽ Ἀτρείδαις δυσμενής· οὗτος δέ μοι
φίλος μέγιστος, οὕνεκ᾽ Ἀτρείδας στυγεῖ.
δεῖ δή σ᾽ ἔμοιγ᾽ ἐλθόντα προσφιλῆ λόγον
κρύψαι πρὸς ἡμᾶς μηδέν᾽ ὧν ἀκήκοας.

568. αὐτάγγελος. *ipse ultro operam suam pollicitus.* Brunck.

571. ἔστελλον. *ire parabant.* Hermann.

572. αὖ ex Dobræi conjectura recepi. Vulgo ἄν: sed neque fieri posse puto ut ἂν ἔπλει conjungantur, neque ut ἂν ad ποῖον trahendum sit, quod censet Hermannus.

574. ἃν Brunckius. Libri ἄν.

576. μή νυν idem. Libri μὴ νῦν.

579. διεμπολᾷ. *prodit, decipit*; locutio, ut alia hujusmodi, ex arte mercatoria desumta.

584. χρηστά γ᾽] χρηστά θ᾽ Dobræus, quocum Dindorfius confert Æsch. S. c. T. 338. πολλὰ γάρ, εὖτε πτόλις δαμασθῇ, ἒ ἕ, δυστυχῆ τε πράσσει. Displicet vulgata, nec plane satisfacit χρηστά θ᾽. Fortasse legendum χρῆσθ᾽, ὁποῖ᾽ ἀνὴρ πένης.

587. λόγων conjicit Dindorfius, quod si verum esset, μηδὲν in v. seq. corrigerem, coll. Trach. 682.

ΕΜ. ὅρα τί ποιεῖς, παῖ. ΝΕ. σκοπῶ κἀγὼ πάλαι.
ΕΜ. σὲ θήσομαι τῶνδ᾽ αἴτιον. ΝΕ. ποιοῦ λέγων.
ΕΜ. λέγω. ᾽πὶ τοῦτον ἄνδρε τώδ᾽ ὥπερ κλύεις,
ὁ Τυδέως παῖς ἥ τ᾽ Ὀδυσσέως βία,
διώμοτοι πλέουσιν ἦ μὴν ἢ λόγῳ
πείσαντες ἄξειν, ἢ πρὸς ἰσχύος κράτος.
καὶ ταῦτ᾽ Ἀχαιοὶ πάντες ἤκουον σαφῶς
Ὀδυσσέως λέγοντος, οὗτος γὰρ πλέον
τὸ θάρσος εἶχε θατέρου, δράσειν τάδε.
ΝΕ. τίνος δ᾽ Ἀτρεῖδαι τοῦδ᾽ ἄγαν οὕτω χρόνῳ
τοσῷδ᾽ ἐπεστρέφοντο πράγματος χάριν,
ὅν γ᾽ εἶχον ἤδη χρόνιον ἐκβεβληκότες;
τίς ὁ πόθος αὐτοὺς ἵκετ᾽, ἢ θεῶν βία
καὶ νέμεσις, οἵπερ ἔργ᾽ ἀμύνουσιν κακά;
ΕΜ. ἐγώ σε τοῦτ᾽, ἴσως γὰρ οὐκ ἀκήκοας,
πᾶν ἐκδιδάξω. μάντις ἦν τις εὐγενής,
Πριάμου μὲν υἱός, ὄνομα δ᾽ ὠνομάζετο
Ἕλενος, ὃν οὗτος νυκτὸς ἐξελθὼν μόνος,
ὁ πάντ᾽ ἀκούων αἰσχρὰ καὶ λωβήτ᾽ ἔπη
δόλιος Ὀδυσσεὺς εἷλε· δέσμιον δ᾽ ἄγων
ἔδειξ᾽ Ἀχαιοῖς ἐς μέσον, θήραν καλήν·
ὃς δὴ τά τ᾽ ἄλλ᾽ αὐτοῖσι πάντ᾽ ἐθέσπισεν
καὶ τἀπὶ Τροίᾳ πέργαμ᾽ ὡς οὐ μή ποτε
πέρσοιεν, εἰ μὴ τόνδε πείσαντες λόγῳ
ἄγοιντο νήσου τῆσδ᾽ ἐφ᾽ ἧς ναίει τανῦν.
καὶ τοῦθ᾽ ὅπως ἤκουσ᾽ ὁ Λαέρτου τόκος
τὸν μάντιν εἰπόντ᾽, εὐθέως ὑπέσχετο
τὸν ἄνδρ᾽ Ἀχαιοῖς τόνδε δηλώσειν ἄγων·
οἴοιτο μὲν μάλισθ᾽ ἑκούσιον λαβών,
εἰ μὴ θέλοι δ᾽, ἄκοντα· καὶ τούτων κάρα

590. ποιοῦ sc. με αἴτιον. λέγων. *modo dicas.*

598. τοῦδε cum ἐπεστρέφοντο conjungendum. Philoctetam dicit.

600. ὅν γ᾽ Erfurdtius. ὅν τ᾽ vulgo.

617. οἴοιτο μέν. De optativo cf. Matth. Gr. Gr. 529. 3.

τέμνειν ἐφεῖτο τῷ θέλοντι μὴ τυχών.
ἤκουσας, ὦ παῖ, πάντα· τὸ σπεύδειν δέ σοι
καὐτῷ παραινῶ κεἴ τινος κήδει πέρι.
ΦΙ. οἴμοι τάλας. ἦ κεῖνος, ἡ πᾶσα βλάβη,
ἔμ' εἰς Ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν;
πεισθήσομαι γὰρ ὧδε κἀξ Ἅιδου θανὼν
πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὑκείνου πατήρ.
ΕΜ. οὐκ οἶδ' ἐγὼ ταῦτ'. ἀλλ' ἐγὼ μὲν εἶμ' ἐπὶ
ναῦν, σφῷν δ' ὅπως ἄριστα συμφέροι θεός.
ΦΙ. οὔκουν τάδ', ὦ παῖ, δεινά, τὸν Λαερτίου
ἔμ' ἐλπίσαι ποτ' ἂν λόγοισι μαλθακοῖς
δεῖξαι νεὼς ἄγοντ' ἐν Ἀργείοις μέσοις;
οὔ. θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ
κλύοιμ' ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπουν.
ἀλλ' ἔστ' ἐκείνῳ πάντα λεκτά, πάντα δὲ
τολμητά. καὶ νῦν οἶδ' ὁθούνεχ' ἵξεται.
ἀλλ', ὦ τέκνον, χωρῶμεν, ὡς ἡμᾶς πολὺ
πέλαγος ὁρίζῃ τῆς Ὀδυσσέως νεώς.
ἴωμεν. ἥ τοι καίριος σπουδὴ πόνου
λήξαντος ὕπνον κἀνάπαυλαν ἤγαγεν.
ΝΕ. οὐκοῦν ἐπειδὰν πνεῦμα τοὐκ πρῴρας ἀνῇ,
τότε στελοῦμεν· νῦν γὰρ ἀντιοστατεῖ.
ΦΙ. ἀεὶ καλὸς πλοῦς ἔσθ', ὅταν φεύγῃς κακά.
ΝΕ. οὔκ, ἀλλὰ κἀκείνοισι ταῦτ' ἐναντία.
ΦΙ. οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντιούμενον,

625. Sisyphi, qui *κέρδιστος γένετ' ἀνδρῶν*, vaferrimum commentum, quo post mortem ad superos reditum impetraret, e Pherecyde, quem laudat Homeri interpres ad Il. Z. 153. hic in scholiis traditur. Vetustissimæ fabulæ testis est Theognis v. 523. nostr. ed. BRUNCK. Non magis illuc ibo, quam mortuus in vitam revertar. HERMANN. Vid. Schol.

627. *συμφέροι.* *utilis sit, opituletur.*

630. *νεὼς ἄγοντ'.* *νεὼς* pro *ἐπὶ νεὼς* a Sophocle quidem scribi non potuit: nec probo Wunderi conjecturam *ἄγοντ' ἔπ'*. Rectius *a navi* intelligit Hermannus.

631. *οὗ θᾶσσον* conjicit V. D. apud Welcker. Mus. Rhenan. a. 1833. vol. i. p. 448.

636. *ὁρίζῃ* Brunckius. Vulgatam *ὁρίζει* non satis tuentur quæ afferuntur explicationes.

639. *ἀνῇ* *remiserit.* Ita Piersonus. *ἄηι* La. *ἀγῇ* Ald. Accentum in *πρῴρας* servavit La. Vid. supra v. 482.

ὅταν παρῇ κλέψαι τε χἀρπάσαι βίᾳ.
ΝΕ. ἀλλ' εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβὼν
ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.
ΦΙ. ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ οὐ πολλῶν ἄπο.
ΝΕ. τί τοῦθ' ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι;
ΦΙ. φύλλον τί μοι πάρεστιν, ᾧ μάλιστ' ἀεὶ
κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πάνυ.
ΝΕ. ἀλλ' ἔκφερ' αὐτό. τί γὰρ ἔτ' ἄλλ' ἐρᾷς λαβεῖν;
ΦΙ. εἴ μοί τι τόξων τῶνδ' ἀπημελημένον
παρερρύηκεν, ὡς λίπω μή τῳ λαβεῖν.
ΝΕ. ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξ' ἃ νῦν ἔχεις;
ΦΙ. ταῦτ', οὐ γὰρ ἄλλα γ' ἔσθ', ἃ βαστάζω χεροῖν.
ΝΕ. ἆρ' ἔστιν ὥστε κἀγγύθεν θέαν λαβεῖν,
καὶ βαστάσαι με προσκύσαι θ' ὥσπερ θεόν;
ΦΙ. σοί γ', ὦ τέκνον, καὶ τοῦτο κἄλλο τῶν ἐμῶν
ὁποῖον ἄν σοι ξυμφέρῃ γενήσεται.
ΝΕ. καὶ μὴν ἐρῶ γε· τὸν δ' ἔρωθ' οὕτως ἔχω·
εἴ μοι θέμις, θέλοιμ' ἄν· εἰ δὲ μή, πάρες.
ΦΙ. ὅσιά τε φωνεῖς ἔστι τ', ὦ τέκνον, θέμις,
ὅς γ' ἡλίου τόδ' εἰσορᾶν ἐμοὶ φάος
μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
ὃς πατέρα πρέσβυν, ὃς φίλους, ὃς τῶν ἐμῶν
ἐχθρῶν μ' ἔνερθεν ὄντ' ἀνέστησας πέρα.

645. *χωρῶμεν, ἔνδοθεν λαβών.* De singulari hoc modo cum plurali conjuncto vide Elmsleium ad Med. 552. qui recte monet aliena Erfurdtium ad h. l. attulisse. Sic Æsch. Eum. 141. *εὕδεις; ἀνίστω· κἀπολακτίσασ' ὕπνον, ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ.* Arist. Av. 203. seq. ed. Dind. *λαβόνθ'* conjicit Dobræus.

648. *νεὼς ἔνι.* Dindorfius comparat *εἰσδέχεσθαι* et *ἐγκλείειν* cum genitivo constructa: sed hæc non probant *ὃ νεὼς ἔνι* *quod in navem receptum sit* significare posse. Melius opinor cum Hermanno *λαβεῖν* ex v. 645. repetes: *quid est hoc quod ex navi mea sumi non possit.* Ita Matth. Gr. Gr. 379. obs. 2.

655. *ἄλλ' ἔσθ' ἃ* La. *ἄλλ' ἔσθ' ἀλλ' ἃ* Γ. quæ nescio an vera sit lectio, propter soni similitudinem a librario immutata. Œd. T. 1332. *ἔπαισε δ' αὐτόχειρ νιν οὔτις ἀλλ' ἐγὼ τλάμων.*

656. *ἆρ' ἔστιν ὥστε—λαβεῖν.* Cf. Matth. Gr. Gr. 531. obs. 2.

666. *πέρα.* *supra inimicos, ἐχθρῶν* ut bis dicatur, cum *ἔνερθεν ὄντα* et cum *πέρα*. ELLENDT.

θάρσει. παρέσται ταῦτά σοι καὶ θιγγάνειν
καὶ δόντι δοῦναι κἀξεπεύξασθαι βροτῶν
ἀρετῆς ἕκατι τῶνδ' ἐπιψαῦσαι μόνον.
εὐεργετῶν γὰρ καὐτος αὔτ' ἐκτησάμην.
[οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον.
ὅστις γὰρ εὖ δρᾶν εὖ παθὼν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.]
ΝΕ. χωροῖς ἂν εἴσω. ΦΙ. καὶ σέ γ' εἰσάξω. τὸ γὰρ
νοσοῦν ποθεῖ σε ξυμπαραστάτην λαβεῖν.
ΧΟ. λόγῳ μὲν ἐξήκουσ', ὅπωπα δ' οὐ μάλα, στροφὴ α'.
τὸν πελάταν λέκτρων ποτὲ τῶν Διὸς
† Ἰξίονα κατ' ἄμπυκα δὴ δρομάδα δέσμιον ὡς ἔβαλ'
ὁ παγκρατὴς Κρόνου παῖς·
ἄλλον δ' οὔτιν' ἔγωγ' οἶδα κλύων οὐδ' ἐσιδὼν μοίρᾳ
τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν,
ὃς οὔτ' ἔρξας τιν' οὔτε νοσφίσας,

667. *καὶ θιγγάνειν.* h. e. *ὥστε καὶ θιγγάνειν αὐτῶν.* Prom. V. 54. *καὶ δὴ πρόχειρα ψάλια δέρκεσθαι πάρα.*

668. *καὶ δόντι δοῦναι.* Philoctetes hoc voluit: *Licet tibi hæc arma contrectare, sic tamen ut ea mihi reddas.* Id humanius et amicius hac elocutionis figura expressit: *licet tibi hæc arma contrectare, mihique qui dedi reddere.* SCHAEFER.

671. *οὐκ ἄχθομαι—φίλον.* *haud gravate hoc fero* (sc. si tu hunc arcum contrectaris) *quum viderim te et amicum nactus sim.* Paullo melius procedet oratio si *οὐδ'* cum Wakefieldio correxeris. Sed de toto loco vere judicasse puto Dindorfium: qui eum interpolatum putat, hæc annotans: 'Non quidquam beneficii a Philocteta accepit Neoptolemus, ut *εὖ παθὼν* dici possit. Quod qui scripsit, Herculem in mente habuit, sententiamque ultimi versus *εὐεργετῶν γὰρ καὐτὸς αὔτ' ἐκτησάμην*, amplificare voluit.'

677. *τῶν Διὸς* Porson. ad Eurip. Phœn. 145. *τοῦ* T. Libri veteres articulum omittunt.

678. *Ἰξίονα κατ' ἄμπυκα δὴ δρομάδα δέσμιον ὡς ἔβαλ' ὁ*] *ἔβαλ'* ex Wakefieldii conjectura est: vulgo *ἔλαβ'*. Cætera intacta reliqui: quum emendatio sit incerta, et corrupta esse antistrophica pateat. Sensus tamen satis apertus: *ἄμπυξ δρομὰς* *rota* est, cui alligatus est Ixion. Pindarus Pyth. ii. 41. *πτερόεντα τροχὸν* appellat. Tibullus I. iii. 74. Versantur *celeri* noxia membra *rota.* *δέσμιον* ejecit Dindorfius tanquam glossema: idem etiam *Ἰξίον' ἀν' ἄμπυκα δὴ* in versus initio correxit.

681. *ἐσιδὼν* Wakefieldius. *ἐσίδον* vulgo: sed *ἐσίδων* (sic) La. pr. Cf. ad Ant. 404.

684. *οὔτ' ἔρξας τιν'*] sc. *τι.* In malam partem accipiendum *ἔρδειν.* Verbum *δρᾶν* ita usurpare solitos poetas docuit Wunderlich. Obss. Critt. in Æsch. p. 36.

οὔτε νοσφίσας. *quum nihil per fraudem abstulisset.*

ἀλλ' ἴσος † ἐν ἴσοις ἀνήρ,
† ὤλλυθ' ὧδ' ἀναξίως.
† τόδε θαῦμ' ἔχει με,
πῶς ποτε πῶς ποτ' ἀμφιπλήκτων ῥοθίων μόνος κλύων,
πῶς ἄρα πανδάκρυτον οὕτω βιοτὰν κατέσχεν·
ἵν' αὐτὸς ἦν, πρόσουρον οὐκ ἔχων βάσιν, ἀντιστρ. α'.
οὐδέ τιν' ἐγχώρων κακογείτονα
† παρ' ᾧ στόνον ἀντίτυπον βαρυβρῶτ' ἀποκλαύσειεν
αἱματηρόν·
† οὐδ' ὃς τὰν θερμοτάταν αἱμάδα κηκιομέναν ἑλκέων
ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
κατευνάσειεν, εἴ τις ἐμπέσοι,

685. *ἐν ἴσοις*] *ὢν ἴσοις* Matthiæ. *ἕν γ' ἴσοις* Hermannus. *εἰν* Bothius.

686. *ὤλλυθ' ὧδ' ἀναξίως.* Hæc non respondent antistrophico *εἶρπε γὰρ ἄλλοτ' ἄλλᾳ.* Non male fortasse *ὠλέκεθ'* Wunderus, coll. *ὠλεκόμαν* Trach. 1012. et mox *ἀτίμως* Erfurdtius, qui comparavit Scholiastæ minoris annotationem ad El. 1214. *ἄτιμος· ἀναξία.*

687. *τόδε δ' αὖ θαῦμά μ' ἔχει* Hermannus.

690. *κατέσχεν.* *sustinuit.*

691. Vulgo *ἵν' αὐτὸς ἦν πρόσουρος, κ. τ. λ.* Vertit Brunckius; *ubi ipse sibi erat vicinus*, h. e. ubi neminem alium vicinum habebat. Sed quis ita locutus est unquam? Bothius in ed. pr. correxit, *ἵν' αὐτὸς ἦν, πρόσουρον οὐκ ἔχων βάσιν*, quod recepi, propterea tamen dubius quod vereor ut *αὐτὸς* ita dictum Tragicorum usum satis sapiat. *πρόσουρος* sc. *vicinus*, Ionico ex usu dictum videtur. Cum locutione *πρόσουρον οὐκ ἔχων βάσιν* comparari potest *μηδὲ σύντροφον ὄμμ' ἔχων* supra v. 171.

692. *ἔγχωρον* Dobræus, quod aptius videtur, coll. v. 221. Vid. tamen Hermann. not. ad v. 1.

692. Hoc loco nihil video nisi verba *βαρυβρῶτα* et *αἱματηρὸν* cum *στόνον ἀντίτυπον* conjungi non posse. Excidit forte vocabulum aliquod quod morbum sive cruciatum Philoctetæ denotaret: quo etiam referendum est *κακογείτονα*, quo *malum semper comes*, sive *vicinum* indicatur. Verba autem *στόνον ἀντίτυπον* ad gemitus rupibus repercussos spectant, cf. v. 1460. et post *ἀποκλαύσειεν* tanquam accusativi cognati inseruntur.

695. *οὐδ' ὃς τάν*] ita vulgo. *οὐδέ γ' ὃς τὰν* Brunckius: *οὐδ'* ejecit Hermannus, unde durior efficitur constructio. Malim *τὰν* delere.

696. *αἱμάδα.* *sanguinis profluvium.*

697. *ἐνθήρου ποδός.* Recte Buttmannus *ἄγριον* *efferatum* significari putat, ut Æschylus *ἔνθηρον τρίχα* dixit Ag. 562. Fœdum enim pedis sanie delibuti adspectum intelligi poeta voluit. HERMANN.

699. *κατευνάσειεν.* Antepenultima producitur: est enim ab *εὐνάω*, non ab *εὐνάζω.* Mox *ἐμπέσοι* ad *αἱμάδα* per intervalla temporis accedentem multo satius quam ad *φύλλα* referri. Deinde *ἑλὼν* correxi in versu sequenti. Hæc si displiceant, *εἴ τιν' ἐμπέσοι* cum Brunckio corrigendum erit: sed durissimam tamen habebis constructionem.

φορβάδος ἐκ γαίας ἑλών·
εἷρπε γὰρ ἄλλοτ' ἄλλᾳ,
τότ' ἂν εἰλυόμενος,
παῖς ἄτερ ὡς φίλας τιθήνας, ὅθεν εὐμάρει' ὑπάρ-
χοι πόρου, ἁνίκ' ἐξανείη δακέθυμος ἄτα.
οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον, οὐκ ἄλλων στροφὴ β'.
αἴρων τῶν νεμόμεσθ' ἀνέρες ἀλφησταί,
πλὴν ἐξ ὠκυβόλων εἴ ποτε τόξων
πτανοῖς ἰοῖς ἀνύσειε γαστρὶ φορβάν.
ὦ μελέα ψυχά,
ὃς μηδ' οἰνοχύτου πώματος ἥσθη δεκέτει χρόνῳ,
λεύσσων δ' εἴπου γνοίη στατὸν εἰς ὕδωρ,
ἀεὶ προσενώμα.
νῦν δ' ἀνδρῶν ἀγαθῶν παιδὸς ὑπαντήσας ἀντ. β'.
εὐδαίμων ἀνύσει καὶ μέγας ἐκ κείνων·
ὅς νιν ποντοπόρῳ δούρατι, πλήθει

Nunc ordo erit: οὐδ' ὃς κατευνάσειεν αἱμάδα—εἴ τις ἐμπέσοι—ἠπίοισι φύλλοις—ἑλὼν (αὐτὰ) ἐκ φορβάδος γαίας.

700. ἔκ τε γᾶς ἑλεῖν vulgo. Vid. v. præc. γαίας pro τε γᾶς correxit Dindorfius.

701. ἕρπει vulgo. Correxit Bothius. Notandum autem ἂν in proximo versu cum εἷρπε construendum esse: de quo usu cf. supra v. 290.

705. πόρου Wakefieldius. Vulgo πόρον. Conjungenda ὅθεν πόρου εὐμάρεια ὑπάρχοι, *ubi via facilis ad incedendum esset*, sc. morbo laboranti.

ἐξανείη Hermannus. ἐξανίῃ vulgo. De La. silet Elmsleius.

709. ἀνέρες ἀλφησταί. Ex usu Homerico dictum. Cf. Blomf. Gloss. ad Sept. c. Th. v. 768.

711. πτανοῖς ἰοῖς ἀνύσειε Erfurdtius. Præiverat Brunckius, ἰοῖς πτανοῖς ἀνύσειε conjiciendo. Olim πτανῶν πτανοῖς ἀνύσειε.

716. εἴπου Brunckius. ὅπου vulgo. Difficultatem aliquam habere videntur verba στατὸν ὕδωρ. Nam aquam fontanam Philoctetæ præsto fuisse discimus ex vv. 21. 1461. Hoc tamen fortasse non premendum. Bene observat Dindorfius hic non stagnanti aquæ aquam fontanam, sed aquæ vinum opponi.

717. ἀεὶ [αἰεὶ Turn.] προσενώμα. *labris admovebat.* Ita interpretari malim, quam cum Scholiasta: ἑαυτὸν ἐκίνει. ἀντὶ τοῦ ἐπορεύετο.

720. ἀνύσει. *ævum transiget.* Sub. τὸν βίον. Non video quomodo explicari possit ἀνύσει ὥστε εὐδαίμων γενέσθαι, quod placuit nonnullis. ἐκ κείνων *post illa* sc. quæ passus est. ἐκείνων Ald. Vid. Both. ad Æsch. Eum. v. 172. ed. nostr.

721. πλήθει πολλῶν μηνῶν. Idem quod supra v. 598. χρόνῳ τοσῷδε. post tot menses, quos in solitudine vixit. BUTTMANN.

πολλῶν μηνῶν, πατρίαν ἄγει πρὸς αὐλὰν
Μηλιάδων νυμφᾶν,
Σπερχειοῦ τε παρ' ὄχθας, ἵν' ὁ χάλκασπις ἀνὴρ θεοῖς
πλάθει πᾶσιν, θείῳ πυρὶ παμφαής,
Οἴτας ὑπὲρ ὄχθων.

ΝΕ. ἕρπ' εἰ θέλεις. τί δή ποθ' ὧδ' ἐξ οὐδενὸς
λόγου σιωπᾷς κἀπόπληκτος ὧδ' ἔχει;
ΦΙ. ἆ ἆ ἆ ἆ.
ΝΕ. τί ἔστιν; ΦΙ. οὐδὲν δεινόν. ἀλλ' ἴθ', ὦ τέκνον.
ΝΕ. μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου;
ΦΙ. οὐ δῆτ' ἔγωγ', ἀλλ' ἄρτι κουφίζειν δοκῶ.
ἰὼ θεοί.
ΝΕ. τί τοὺς θεοὺς οὕτως ἀναστένων καλεῖς;
ΦΙ. σωτῆρας αὐτοὺς ἠπίους θ' ἡμῖν μολεῖν.
ἆ ἆ ἆ ἆ.
ΝΕ. τί ποτε πέπονθας; οὐκ ἐρεῖς, ἀλλ' ὧδ' ἔσει
σιγηλός; ἐν κακῷ δέ τῳ φαίνει κυρῶν.
ΦΙ. ἀπόλωλα, τέκνον, κοὐ δυνήσομαι κακὸν
κρύψαι παρ' ὑμῖν, ἀτταταῖ· διέρχεται
διέρχεται. δύστηνος, ὦ τάλας ἐγώ.

724. πατρίαν Wunderus. πατρῴαν vulgo. Idem confert Œd. T. 1394. τὰ πάτρια λόγῳ παλαιὰ δώματα. Hujus fabulæ 398. τὰ πάτρια τεύχεα. ibid. 1213. ὦ πόλις, ὦ πόλις πατρία. Ant. 806. ὦ γᾶς πατρίας πολῖται, recte monens πάτριος hoc loco non tam *paternum* quam *patrium* significare.

726. παρ' ὄχθας conjecit Dindorfius. παρ' ὄχθαις libri.

728. πλάθει. Præsens pro præterito, ut monuit Buttmannus. Mox bene notat Dindorfius, honorem augeri quod Hercules dicitur inter deos versari *omnes*.

729. Rogum Herculis a Philoctete succensum narrat Diodorus iv. 38. Contra Pœantem, Philoctetæ fratrem, hoc fecisse tradit Apollodorus ii. 7. 7. Citavit Hermannus.

731. κἀπόπληκτος. Ita La. R. B. V. κἀποπλήκτως edd. ante Brunckium.

737. ἰὼ θεοί. | ΝΕ. τί τοὺς θεοὺς οὕτως ἀναστένων καλεῖς; sic vulgo legitur. Sed cum οὕτως om. La. R. Γ. recte hæc uno versu scribenda esse judicasse videtur Dindorfius, ἰὼ θεοὶ in ὦ θεοί mutato. Præiverat autem V. D. in Diario classico vol. i. p. 337. qui conjecit ὦ θεοί. τί τοὺς θεοὺς ὧδ' ἀναστένων καλεῖς; Cf. Iph. T. 780. a Dindorfio laudatum.

743. ἀτταταί Turn. Veteres ἀτταταῖ et similia περισπωμένως scripsisse monet Hermannus ex Herodiani libello περὶ μονήρους λέξεως p. 27. 13.

ἀπόλωλα, τέκνον· βρύκομαι, τέκνον· παπαῖ,
ἀπαππαπαῖ, παπαππαπαππαπαππαπαῖ.
πρὸς θεῶν, πρόχειρον εἴ τί σοι, τέκνον, πάρα
ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα·
ἀπάμησον ὡς τάχιστα· μὴ φείσῃ βίου.
ἴθ', ὦ παῖ.
ΝΕ. τί δ' ἔστιν οὕτω νεοχμὸν ἐξαίφνης, ὅτου
τοσήνδ' ἰυγὴν καὶ στόνον σαυτοῦ ποιεῖς;
ΦΙ. οἶσθ', ὦ τέκνον. ΝΕ. τί δ' ἔστιν; ΦΙ. οἶσθ',
ὦ παῖ. ΝΕ. τί σοί;
οὐκ οἶδα. ΦΙ. πῶς οὐκ οἶσθα; παππαπαππαπαῖ.
ΝΕ. δεινόν γε τοὐπίσαγμα τοῦ νοσήματος.
ΦΙ. δεινὸν γὰρ οὐδὲ ῥητόν· ἀλλ' οἴκτειρέ με.
ΝΕ. τί δῆτα δράσω; ΦΙ. μή με ταρβήσας προδῷς.
ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνοις ἴσως
ὡς ἐξεπλήσθη. ΝΕ. ἰὼ ἰὼ δύστηνε σύ,
δύστηνε δῆτα διὰ πόνων πάντων φανείς.

746. Hæc ex Hermanni sententia constituta sunt: cujus notam vide.

754. *οὐκ οἶδα* recte Neoptolemo continuat Dindorfius: quæ male Philoctetæ ascribi perspexit Hermannus. Mox Hermannus *πῶς οὐκ οἶσθα* quæ vulgo Neoptolemo dantur, cum exclamatione sequenti Philoctetæ tribuit. In versus fine *παππαπαππαπαῖ* recte dedit Brunckius, nisi quod oxytonon fecit.

758. *πλάνοις ἴσως* libri, nisi quod *πλάνης* Γ. Harl. Impeditissimus hic locus, quem olim emendare conatus sum *πλανῶσ' ἴσως* scribendo. Sensus videtur esse: *venit enim morbus errabundus post temporis intervallum, fortasse postquam vires ad plenum collegit.* Nescio an insolentiorem verbo *ἐξεπλήσθη*, quod vulgo *postquam erroribus satiatus est* vertunt, significationem assignaverim. Sed certe vulgata explicatio tolerari nequit. *ἥκει πλάνοις* h. e. *venit errabundus*, defendi posse videtur. Cf. Œd. T. 67. Nimis argute, opinor, Arndtius Quæstt. Soph. p. 36. ad medicas rationes confugit, legendo *ὡς ἐξεπλήσθη φλέψ*, quam vocem in Tricliniano *φεῦ* loco prioris *ἰὼ* in v. 759. posito latere putat. Idem recte monet hæc ad levandum Neoptolemi timorem dicta esse: nam si nonnisi temporum intervallis redire solebat morbus, vix metuendum erat ne rediret intra spatium illud per quod illius ministerium implorabat Philoctetes. Idem denique bene contra Wunderum *ἥκει* non *adest* sed *adesse solet* h. l. significare monuit, coll. Plat. Symp. p. 188. A. *ἐπειδὰν μὲν πρὸς ἄλληλα τοῦ κοσμίου τύχῃ ἔρωτος ὃ νῦν δὴ ἔλεγον .... ἥκει φέροντα εὐετηρίαν καὶ ὑγίειαν.* Xen. Œcon. xxi. 3. *ὅταν πελαγίζωσι .... οἱ μὲν ἱδροῦντες .... ἐκβαίνουσιν, οἱ δὲ ἀνιδρωτὶ ἥκουσι.*

760. *διὰ πόνων πάντων.* h. e. *cujus labores omnium aliorum labores superant.* Cf. Herod. i. 25. *θέης ἄξιον διὰ πάντων τῶν ἀναθημάτων.* Non me latet hanc præpositionis significationem apud Atticos scriptores insolitam esse: ita tamen hoc loco usurpata videtur.

βούλει λάβωμαι δῆτα καὶ θίγω τί σου;
ΦΙ. μὴ δῆτα τοῦτό γ'· ἀλλά μοι τὰ τόξ' ἑλὼν
τάδ', ὥσπερ ᾔτου μ' ἀρτίως, ἕως ἀνῇ
τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρόν,
σῶζ' αὐτὰ καὶ φύλασσε. λαμβάνει γὰρ οὖν
ὕπνος μ', ὅταν περ τὸ κακὸν ἐξίῃ τόδε·
κοὐκ ἔστι λῆξαι πρότερον· ἀλλ' ἐᾶν χρεὼν
ἕκηλον εὕδειν. ἢν δὲ τῷδε τῷ χρόνῳ
μόλωσ' ἐκεῖνοι, πρὸς θεῶν, ἐφίεμαι
ἑκόντα μήτ' ἄκοντα, μηδέ τῳ τέχνῃ
κείνοις μεθεῖναι ταῦτα, μὴ σαυτόν θ' ἅμα
κἄμ', ὄντα σαυτοῦ πρόστροπον, κτείνας γένῃ.
ΝΕ. θάρσει προνοίας οὕνεκ'. οὐ δοθήσεται
πλὴν σοί τε κἀμοί· ξὺν τύχῃ δὲ πρόσφερε.
ΦΙ. ἰδοὺ δέχου, παῖ· τὸν φθόνον δὲ πρόσκυσον,
μή σοι γενέσθαι πολύπον' αὐτά, μηδ' ὅπως
ἐμοί τε καὶ τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ.
ΝΕ. ὦ θεοί, γένοιτο ταῦτα νῷν· γένοιτο δὲ
πλοῦς οὔριός τε κεὐσταλὴς ὅποι ποτὲ
θεὸς δικαιοῖ χὠ στόλος πορσύνεται.
ΦΙ. (?) ἀλλὰ δέδοικ', ὦ παῖ, μή μ' ἀτελὴς εὐχή·
στάζει γὰρ αὖ μοι φοίνιον τόδ' ἐκ βυθοῦ
κηκῖον αἷμα, καί τι προσδοκῶ νέον.

765. *πῆμα τῆς νόσου.* Cf. Aj. 363. Æsch. Ag. 850. a Porsono correctum, *πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου.*

771. h. e. *μήτε ἑκόντα, μήτε ἄκοντα.* Mox *μήτέ* La. *μήτε* R. Γ.

773. *κτείνας γένῃ.* Cf. ad Œd. T. 957.

776. *τὸν φθόνον δὲ πρόσκυσον.* Cf. Lex. nostr. Æschyl. s. v. *φθόνος.*

782. *ἀλλὰ δέδοικ', ὦ παῖ, μή μ' ἀτελὴς εὐχή.* Ita La. Lb. R. Ald. Toupii conjecturam, Cur. Nov. in Suid. p. 105. in textu exhibuerunt Brunckius et Gaisfordius, sc. *ἀλλ' οὖν δέδοικα μὴ ἀτελὴς εὐχῇ, τέκνον.* Ita etiam T. nisi quod *μή μ' ἀτελὴς* habet. Sed hæc mera est interpolatio. Dochmiacum senariis interjectum putat Dindorfius, qui etiam *μ'* pro *μοι* elisa diphthongo esse statuit. Vid. ad Aj. 191. Veterum librorum lectionem, quamvis aliqua fortasse ex parte corruptam, reliqui.

παπαῖ, φεῦ.
παπαῖ μάλ', ὦ πούς, οἷά μ' ἐργάσει κακά.
προσέρπει,
προσέρχεται τόδ' ἐγγύς. οἴμοι μοι τάλας.
ἔχετε τὸ πρᾶγμα· μὴ φύγητε μηδαμῇ.
ἀτταταῖ.
ὦ ξένε Κεφαλλήν, εἴθε σου διαμπερὲς
στέρνων ἔχοιτ' ἄλγησις ἥδε. φεῦ, παπαῖ.
παπαῖ μάλ' αὖθις. ὦ διπλοῖ στρατηλάται,
Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;
ὤμοι μοι.
ὦ θάνατε θάνατε, πῶς ἀεὶ καλούμενος
οὕτω κατ' ἦμαρ οὐ δύνᾳ μολεῖν ποτε;
ὦ τέκνον, ὦ γενναῖον, ἀλλὰ συλλαβὼν
τῷ Λημνίῳ τῷδ' ἀνακαλουμένῳ πυρὶ
ἔμπρησον, ὦ γενναῖε· κἀγώ τοι ποτὲ
τὸν τοῦ Διὸς παῖδ' ἀντὶ τῶνδε τῶν ὅπλων,
ἃ νῦν σὺ σῴζεις, τοῦτ' ἐπηξίωσα δρᾶν.
τί φής, παῖ;
τί φής; τί σιγᾷς; ποῦ ποτ' ὤν, τέκνον, κυρεῖς;
ΝΕ. ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακά.
ΦΙ. ἀλλ', ὦ τέκνον, καὶ θάρσος ἴσχ', ὡς ἥδε μοι
ὀξεῖα φοιτᾷ καὶ ταχεῖ' ἀπέρχεται.
ἀλλ' ἀντιάζω, μή με καταλίπῃς μόνον.
ΝΕ. θάρσει, μενοῦμεν. ΦΙ. ἦ μενεῖς; ΝΕ. σαφῶς
φρόνει.
ΦΙ. οὐ μήν σ' ἔνορκόν γ' ἀξιῶ θέσθαι, τέκνον.

789. ἔχετε τὸ πρᾶγμα. *res quomodo se habeat videtis.* Fateor tamen nonnihil mihi arridere quod ex interpretibus quidam legisse videntur sc. ἔχεται τὸ πρᾶγμα. h. e. *tenax adhæret morbus.*

798. δύνᾳ ex Porsoni sententia ad Hec. v. 253. tanquam magis Atticum receptum est. Olim δύνῃ.

800. ἀνακαλουμένῳ, *multum invocato*, ut recte vertit Hermannus post Erfurdtium. Montem autem Lemni ignivomum Mosychlum his verbis indicari monuit Buttmannus.

ΝΕ. ὡς οὐ θέμις γ' ἐμοὔστι σοῦ μολεῖν ἄτερ.
ΦΙ. ἔμβαλλε χειρὸς πίστιν. ΝΕ. ἐμβάλλω μενεῖν.
ΦΙ. ἐκεῖσε νῦν μ', ἐκεῖσε ΝΕ. ποῖ λέγεις; ΦΙ. ἄνω
ΝΕ. τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύκλον;
ΦΙ. μέθες μέθες με. ΝΕ. ποῖ μεθῶ; ΦΙ. μέθες ποτέ.
ΝΕ. οὔ φημ' ἐάσειν. ΦΙ. ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς.
ΝΕ. καὶ δὴ μεθίημ', εἴ τι δὴ πλέον φρονεῖς.
ΦΙ. ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω.
τὸ γὰρ κακὸν τόδ' οὐκ ἔτ' ὀρθοῦσθαί μ' ἐᾷ.
ΝΕ. τὸν ἄνδρ' ἔοικεν ὕπνος οὐ μακροῦ χρόνου
ἕξειν. κάρα γὰρ ὑπτιάζεται τόδε.
ἱδρώς δέ τοί νιν πᾶν καταστάζει δέμας,
μέλαινά τ' ἄκρου τις παρέρρωγεν ποδὸς
αἱμορραγὴς φλέψ. ἀλλ' ἐάσωμεν, φίλοι,
ἕκηλον αὐτόν, ὡς ἂν εἰς ὕπνον πέσῃ.
ΧΟ. Ὕπν' ὀδύνας ἀδαής, Ὕπνε δ' ἀλγέων, *στροφή.*
εὐαὴς ἡμῖν ἔλθοις,
εὐαίων εὐαίων, ὦναξ·
ὄμμασι δ' ἀντίσχοις
τάνδ' αἴγλαν, ἃ τέταται τανῦν.

812. ἐμοὔστι Hermannus. ἐμοί 'στι vulgo.

814. Hæc mentis non compos dicit Philoctetes.

818. Ita Hermannus. καὶ δὴ μεθίημι. τί δὴ πλέον φρονεῖς La. Lb.

819. ὅπως ἔχω. *ut nunc sum*, i. e. statim, illico. HERMANN.

823. ἱδρὼς δέ τοι ex Dindorfii conjectura scripsi. Vulgo ἱδρῶς γέ τοι quod post præcedentia non satis recte infertur.

828. εὐαὴς] εὐαὲς olim conjecit Hermannus, ut vocativus eodem modo usurpetur quo in γενοῦ πολυμνῆστορ ἔφαπτορ Ἰοῦς Æsch. Suppl. 535. ὄλβιε κῶρε γένοιο Theocr. xvii. 66. ubi vid. Kiesslingii notam. Hoc admitti posset: sed vereor ut secunda in εὐαὴς recte corripiatur. Producitur in Hesiod. Op. et D. 597. et quod legitur ibid. 592. ἀκραέος trisyllabum est. Nec placet εὐαδὲς quod demum restituere vult Dindorfius. Cf. autem v. 844.

830. ἀντίσχοις. *prætentam teneas.* MUSGRAV. Ita librorum scripturam ἀντέχοις correxit Brunckius. Mirum autem interpretes αἴγλαν *caliginem oculis Philoctetæ offusam* explicuisse. Immo quis non videt lucem illam, seu falsam potius lucis imaginem, indicari, quæ consopitos in somniis habet, et facit ut dum lumine sibi perfusi videntur, re vera tamen in tenebris sint, nec eorum quæ circum se geruntur, aspiciant quidquam?

ἴθι ἴθι μοι παιών.
ὦ τέκνον, ὅρα ποῦ στάσει,
ποῖ δὲ βάσει, πῶς δέ μοι τἀντεῦθεν
φροντίδος. ὁρᾷς ἤδη.
πρὸς τί μενοῦμεν πράσσειν;
καιρός τοι πάντων γνώμαν ἴσχων
πολύ τι, πολὺ παρὰ πόδα κρατὸς ἄρνυται.
ΝΕ. ἀλλ᾿ ὅδε μὲν κλύει οὐδέν, ἐγὼ δ᾿ ὁρῶ οὕνεκα θήραν
τήνδ᾿ ἁλίως ἔχομεν τόξων, δίχα τοῦδε πλέοντες.
τοῦδε γὰρ ὁ στέφανος, τοῦτον θεὸς εἶπε κομίζειν.
κομπεῖν δ᾿ ἔστ᾿ ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.
ΧΟ. ἀλλά, τέκνον, τάδε μὲν θεὸς ὄψεται· ἀντιστροφή.
ὧν δ᾿ ἂν κἀμείβῃ μ᾿ αὖθις,
βαιάν μοι, βαιάν, ὦ τέκνον,
πέμπε λόγων φάμαν·
ὡς πάντων ἐν νόσῳ εὐδρακὴς
ὕπνος ἄϋπνος λεύσσειν.

832. ἴθι, ἴθι μοι παιών] ἴθ᾿ ἴθι μοι παιήων Dindorfius: hiatus evitandi caussa. Cf. Trach. 222.

834. πῶς δέ μοι τἀντεῦθεν φροντίδος. sc. ἔσται σοι. *et quomodo mihi quæ jam restant curanda tibi suscipias.* πῶς φροντίδος jungenda esse nemo non videt.

835. ὁρᾷς ἤδη dicit Chorus, Philoctetam monstrans: *vides jam, hunc somno sopitum jacere.*

836. μένομεν Erfurdtius, quod illi recipere debebunt qui ὃν in versu antistrophico legere malint. HERMANN. Sensum recte dedit Hermannus: *cujusnam rei caussa manebimus, ut eam faciamus?*

837. καιρός τοι κ. τ. λ.] *opportunitas enim, quæ in omnibus rebus optime consulit* (πάντων γνώμαν ἴσχων), *egregiam eamque celerem victoriam adipiscitur.* De locutione πάντων γνώμαν ἴσχων cf. Aj. v. 163. τούτων γνώμας προδιδάσκειν.

838. Vulgo πολὺ παρὰ πόδα κρατὸς ἄρνυται] πολύ τι addidit Hermannus. Aliter ἐνιδεῖν in v. 854. delendum erit. παρὰ πόδα, *statim, e vestigio*, significat.

842. ἀτελῆ σὺν ψεύδεσιν. *imperfectum successum, et hunc porro mendaciis partum.* MUSGR.

844. ὧν δ᾿ ἂν κἀμείβῃ. Ita Hermannus. Vulgo ἀμείβῃ quod strophico non congruit. Nec male se habet hoc loco καὶ particula: quæ sic explicanda erit; ὧν ἂν ἀμείβῃ, εἴ τι καὶ ἀμείβει. Sic Prom. V. 342. μάτην γάρ, οὐδὲν ὠφελῶν ἐμοὶ πονήσεις, εἴ τι καὶ πονεῖν θέλεις, et plurimis aliis in locis.

846. φήμαν libri veteres. φάμαν Turnebus, et sic edidit Brunckius.

847. πάντων ab εὐδρακὴς regitur, cui deinde λεύσσειν ex abundanti subjicitur.

ἀλλ᾿ ὅτι δύνᾳ μάκιστον
κεῖνο λάθρα, κεῖνό μοι, * * *
ἐξιδοῦ, ὅ τι πράξεις.
οἶσθα γὰρ ὧν αὐδῶμαι,
εἰ ταύταν τούτων γνώμαν ἴσχεις,
μάλα τοι ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη.
οὖρός τοι, τέκνον, οὖρος· ἐπῳδός.
ἀνὴρ δ᾿ ἀνόμματος,
οὐδ᾿ ἔχων ἀρωγάν,
ἐκτέταται νύχιος,
ἀλεὴς ὕπνος ἐσθλός,
οὐ χερός, οὐ ποδός, οὔ τινος ἄρχων,
ἀλλ᾿ ὥς τίς σ᾿ Ἀΐδᾳ παρακείμενος
ὁρᾷ. βλέπ᾿ εἰ καίρια φθέγγει·
τὸ δ᾿ ἁλώσιμον ἐμᾷ φροντίδι, παῖ,

849. δύναιο libri. Correxit Elmsleius ad Œd. T. 696.

850. κεῖνό μοι, κεῖνο λάθρα vulgo. κεῖνο λάθρα κεῖνό μοι Hermannus, lacuna in versus fine notata.

852. οἶσθα γὰρ ὧν αὐδῶμαι] ὧν (ον) La. ὧν R. Harl. Hoc rescribendum videtur, restituto in proximo versu τούτων, quod et ipse conjeceram et Dindorfio in mentem venisse video. Constructionem recte explicuit Dindorfius: ‘γὰρ sententiæ secundariæ additum, quia in principio collocata est. Legitimus enim verborum ordo hic est, εἰ γὰρ ταύταν τούτῳ [τούτων] (οἶσθα ὃν [ὧν] αὐδῶμαι) γνώμαν ἴσχεις.’ Verte: *quod si hanc de his rebus* (*scis bene quas dico*) *sententiam habes* (sc. ut non statim abeas, sed maneas dum somnus eum reliquerit) *mala profecto inextricabilia sapientibus in eo videre licet.* Pluribus Neoptolemum monere non vult Chorus, ne a somno experrectus audiat Philoctetes. Dicit ergo: οἶσθα γὰρ ὧν αὐδῶμαι.

855. Magna in hoc epodo de metris et scriptura dubitatio: nec restitui posse nisi melioribus ex codicum copiis videtur.

859. ἀλεὴς ὕπνος ἐσθλός. Dicere videtur: *somnus ei tepidus* (h. e. qualis gratissimus accidere solet) *adest, qui consiliis nostris adjumento esse possit* sc. non experrecturum putat Philoctetam, somni dulcedine delibutum. ἀλεὴς δ᾿ Hermannus.

861. ὥς τίς σ᾿] σ᾿ addidit Hermannus. *Ut aliquis in Orco jacens te videt*, h. e. non videt.

862. Libri ὁρᾷ. βλέπει. καίρια φθέγγει. Hinc effinxit Hermannus: βλέπ᾿ εἰ καίρια φθέγγει hoc sensu: *vide num tempestiva dicas*: quum scilicet dicis manere te velle opportunissima abeundi commoditate oblata.

863. τὸ δ᾿ ἁλώσιμον κ. τ. λ.] τὸ est articulus. *Quod ego deliberatione assequi possum, illud est, laborem metu vacuum esse optimum.* Id si plene diceretur, sic erat dicendum: τὸ δὲ ἁλώσιμον ἐμᾷ φροντίδι τόδε ἐστίν. πόνος ὁ μὴ φοβῶν

πόνος ὁ μὴ φοβῶν κράτιστος.
ΝΕ. σιγᾶν κελεύω, μηδ' ἀφεστάναι φρενῶν.
κινεῖ γὰρ ἁνὴρ ὄμμα κἀνάγει κάρα.
ΦΙ. ὦ φέγγος ὕπνου διάδοχον, τό τ' ἐλπίδων
ἄπιστον οἰκούρημα τῶνδε τῶν ξένων.
οὐ γάρ ποτ', ὦ παῖ, τοῦτ' ἂν ἐξηύχησ' ἐγὼ
τλῆναί σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα
μεῖναι παρόντα καὶ ξυνωφελοῦντά μοι.
οὔκουν Ἀτρεῖδαι τοῦτ' ἔτλησαν εὐφόρως
οὕτως ἐνεγκεῖν, ἀγαθοὶ στρατηλάται.
ἀλλ' εὐγενὴς γὰρ ἡ φύσις κἀξ εὐγενῶν,
ὦ τέκνον, ἡ σή, πάντα ταῦτ' ἐν εὐχερεῖ
ἔθου, βοῆς τε καὶ δυσοσμίας γέμων.
καὶ νῦν ἐπειδὴ τοῦδε τοῦ κακοῦ δοκεῖ
λήθη τις εἶναι κἀνάπαυλα δή, τέκνον,
σύ μ' αὐτὸς ἆρον, σύ με κατάστησον, τέκνον,
ἵν', ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ ποτέ,
ὁρμώμεθ' ἐς ναῦν μηδ' ἐπίσχωμεν τὸ πλεῖν.
ΝΕ. ἀλλ' ἥδομαι μέν σ' εἰσιδὼν παρ' ἐλπίδα
ἀνώδυνον βλέποντα κἀμπνέοντ' ἔτι·
ὡς οὐκ ἔτ' ὄντος γὰρ τὰ συμβόλαιά σοι
πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
νῦν δ' αἶρε σαυτόν· εἰ δέ σοι μᾶλλον φίλον,
οἴσουσί σ' οἵδε· τοῦ πόνου γὰρ οὐκ ὄκνος,
ἐπείπερ οὕτω σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν.
ΦΙ. αἰνῶ τάδ', ὦ παῖ, καί μ' ἔπαιρ', ὥσπερ νοεῖς·
τούτους δ' ἔασον, μὴ βαρυνθῶσιν κακῇ
ὀσμῇ πρὸ τοῦ δέοντος· οὑπὶ νηὶ γὰρ
ἅλις πόνος τούτοισι συνναίειν ἐμοί.

ἐστὶ κράτιστος. Hermann. Ait autem Chorus videndum esse, ne somno experrectus Philoctetes abeundi consilium turbet: rem sibi ergo ita gerendam esse, ut eorum quæ parantur, nullam cognitionem habeat.

867. ἐλπίδων ἄπιστον. i. e. ὑπὸ τῆς ἐμῆς ἐλπίδος ἀπιστηθέν. Hermann.

875. ἐν εὐχερεῖ ἔθου. *pro nihilo habuisti.*

884. τὰ συμβόλαιά σοι. *Signa quæ tibi inerant: signa quæ dabas.* Brunck. σοι La. B. T. V. Alii σου.

ΝΕ. ἔσται τάδ'· ἀλλ' ἵστω τε καὐτὸς ἀντέχου.
ΦΙ. θάρσει. τό τοι σύνηθες ὀρθώσει μ' ἔθος.
ΝΕ. παπαῖ· τί δῆτ' ἂν δρῷμ' ἐγὼ τοὐνθένδε γε;
ΦΙ. τί δ' ἔστιν, ὦ παῖ; ποῖ ποτ' ἐξέβης λόγῳ;
ΝΕ. οὐκ οἶδ' ὅποι χρὴ τἄπορον τρέπειν ἔπος.
ΦΙ. ἀπορεῖς δὲ τοῦ σύ; μὴ λέγ', ὦ τέκνον, τάδε.
ΝΕ. ἀλλ' ἐνθάδ' ἤδη τοῦδε τοῦ πάθους κυρῶ.
ΦΙ. οὐ δή σε δυσχέρεια τοῦ νοσήματος
ἔπεισεν ὥστε μή μ' ἄγειν ναύτην ἔτι;
ΝΕ. ἅπαντα δυσχέρεια, τὴν αὑτοῦ φύσιν
ὅταν λιπών τις δρᾷ τὰ μὴ προσεικότα.
ΦΙ. ἀλλ' οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε
δρᾷς οὐδὲ φωνεῖς, ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.
ΝΕ. αἰσχρὸς φανοῦμαι· τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. οὔκουν ἐν οἷς γε δρᾷς· ἐν οἷς δ' αὐδᾷς ὀκνῶ.
ΝΕ. ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακός,
κρύπτων θ' ἃ μὴ δεῖ καὶ λέγων αἴσχιστ' ἐπῶν;
ΦΙ. ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν,
προδούς μ' ἔοικε κἀκλιπὼν τὸν πλοῦν στελεῖν.
ΝΕ. λιπὼν μὲν οὐκ ἔγωγε, λυπηρῶς δὲ μὴ
πέμπω σε μᾶλλον, τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. τί ποτε λέγεις, ὦ τέκνον; ὡς οὐ μανθάνω.
ΝΕ. οὐδέν σε κρύψω. δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν
πρὸς τοὺς Ἀχαιοὺς καὶ τὸν Ἀτρειδῶν στόλον.
ΦΙ. οἴμοι, τί εἶπας; ΝΕ. μὴ στέναζε, πρὶν μάθῃς.
ΦΙ. ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;
ΝΕ. σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ
ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.
ΦΙ. καὶ ταῦτ' ἀληθῆ δρᾶν νοεῖς; ΝΕ. πολλὴ κρατεῖ

895. τί δῆτ' ἂν δρῷμ' Schaeferus. τί δῆτα δρῷμ' vulgo. Vid. ad Œd. Col. 1172.

899. *Eo deductus sum ut ne fari quidem possim.*

913. πέμπω. *deducam.* Sic La. πέμπων Γ. Ven. Ald. quod per se bonum est, si στέλλω subaudias.

917. τί μ' εἶπας Herm. sicut in Trach. 1203. Sed non video quare hic displiceat hiatus satis, ut videtur, Tragicorum usu comprobatus.

τούτων ἀνάγκη· καὶ σὺ μὴ θυμοῦ κλύων.
ΦΙ. ἀπόλωλα τλήμων, προδέδομαι. τί μ', ὦ ξένε,
δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξα μοι.
ΝΕ. ἀλλ' οὐχ οἷόν τε· τῶν γὰρ ἐν τέλει κλύειν
τό τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποιεῖ.
ΦΙ. ὦ πῦρ σὺ καὶ πᾶν δεῖμα καὶ πανουργίας
δεινῆς τέχνημ' ἔχθιστον, οἷά μ' εἰργάσω,
οἷ' ἠπάτηκας· οὐδ' ἐπαισχύνει μ' ὁρῶν
τὸν προστρόπαιον, τὸν ἱκέτην, ὦ σχέτλιε;
ἀπεστέρηκας τὸν βίον τὰ τόξ' ἑλών.
ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω, τέκνον.
πρὸς θεῶν πατρῴων, τὸν βίον μή μου ἀφέλῃς.
ὤμοι τάλας. ἀλλ' οὐδὲ προσφωνεῖ μ' ἔτι,
ἀλλ' ὡς μεθήσων μήποθ', ὧδ' ὁρᾷ πάλιν.
ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι
θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι,
ὑμῖν τάδ', οὐ γὰρ ἄλλον οἶδ' ὅτῳ λέγω,
ἀνακλάομαι παροῦσι τοῖς εἰωθόσιν,
οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὑξ Ἀχιλλέως·
ὀμόσας ἀπάξειν οἴκαδ', ἐς Τροίαν μ' ἄγει·
προσθείς τε χεῖρα δεξιάν, τὰ τόξα μου
ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλέους ἔχει,
καὶ τοῖσιν Ἀργείοισι φήνασθαι θέλει.
ὡς ἄνδρ' ἑλὼν ἰσχυρὸν ἐκ βίας μ' ἄγει,
κοὐκ οἶδ' ἐναίρων νεκρόν, ἢ καπνοῦ σκιάν,

922. *τούτων ἀνάγκη.* Cf. *τῶνδε τόλμαν* Prom. V. 16. *τῶνδε θάρσος* Choeph. 91. Ad. *κρατεῖ* sub. *μου.*

927. *πᾶν δεῖμα.* *qui totus es terror.* Hermann. Mox *τέχνημα* recte cum *παιδουργία* Œd. T. 1248. *ἄλημα* Aj. 389. aliisque id genus comparat Brunckius.

933. *μή μου ἀφέλῃς*] *μή μου 'φέλῃς* vulgo: sed crasin patiuntur *μου ἀφέλῃς*, quæ *μἀφέλῃς* pronuncianda sunt. *μή μ' ἀφέλῃς* præbent La. Lb. Lc. Γ. T. *με μὴ ἀφέλῃς* Elmsl. ad Med. 56.

935. *ὁρᾷ πάλιν.* *avertit vultum.* Brunckius.

939. *ἀνακλάομαι.* Vulgo *ἀνακλαίομαι.*

943. *ἱερὰ*] h. e. *ἱερὰ ὄντα.* *quum sint Herculi sacra.* Hermann.

946. *ἐναίρων νεκρόν.* Proverbialis locutio. Vid. Ant. 1029. *μηδ' ὀλωλότα κέντει.* Brunck.

καπνοῦ σκιάν. Cf. Ant. 1170.

εἴδωλον ἄλλως. οὐ γὰρ ἂν σθένοντά γε
εἷλέν μ'· ἐπεὶ οὐδ' ἂν ὧδ' ἔχοντ', εἰ μὴ δόλῳ.
νῦν δ' ἠπάτημαι δύσμορος. τί χρή με δρᾶν;
ἀλλ' ἀπόδος. ἀλλὰ νῦν ἔτ' ἐν σαυτῷ γενοῦ.
τί φής; σιωπᾷς. οὐδέν εἰμ' ὁ δύσμορος.
ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν
εἴσειμι πρὸς σὲ ψιλός, οὐκ ἔχων τροφήν·
ἀλλ' αὐανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος,
οὐ πτηνὸν ὄρνιν, οὐδὲ θῆρ' ὀρειβάτην
τόξοις ἐναίρων τοισίδ', ἀλλ' αὐτὸς τάλας
θανὼν παρέξω δαῖθ' ὑφ' ὧν ἐφερβόμην,
καί μ' οὓς ἐθήρων πρόσθε θηράσουσι νῦν·
φόνον φόνου δὲ ῥύσιον τίσω τάλας
πρὸς τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακόν.
ὄλοιο μή πω, πρὶν μάθοιμ' εἰ καὶ πάλιν
γνώμην μετοίσεις· εἰ δὲ μή, θάνοις κακῶς.
ΧΟ. τί δρῶμεν; ἐν σοὶ καὶ τὸ πλεῖν ἡμᾶς, ἄναξ,
ἤδη 'στὶ καὶ τοῖς τοῦδε προσχωρεῖν λόγοις.
ΝΕ. ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις
τοῦδ' ἀνδρὸς οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.
ΦΙ. ἐλέησον, ὦ παῖ, πρὸς θεῶν, καὶ μὴ παρῇς
σαυτοῦ βροτοῖς ὄνειδος, ἐκκλέψας ἐμέ.
ΝΕ. οἴμοι, τί δράσω; μή ποτ' ὤφελον λιπεῖν
τὴν Σκῦρον· οὕτω τοῖς παροῦσιν ἄχθομαι.
ΦΙ. οὐκ εἶ κακὸς σύ· πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
ἔοικας ἥκειν αἰσχρά. νῦν δ' (?) ἄλλοισι δοὺς
οἷς εἰκός, ἔκπλει, τἀμά μοι μεθεὶς ὅπλα.
ΝΕ. τί δρῶμεν, ἄνδρες; ΟΔ. ὦ κάκιστ' ἀνδρῶν, τί
δρᾷς;

950. *ἐν σαυτῷ γενοῦ.* *ad prudentiam redi.*

953. *ἔσειμι* Suid. s. v. *αὖθις*, et edd. vett. s. v. *ψιλός.*

960. *οὐδὲν εἰδέναι κακόν.* Cf. Ant. 301.

961. *ὄλοιο.* Cf. ad Trach. 383. *πρὶν μάθοιμ'.* Cf. ad v. 325.

972. *ἄλλοισι δούς.* *aliis cedens.* *ἄλλοις σε δοὺς* Wakefieldius, quocum Wund. comp. v. 84. *δός μοι σεαυτόν.*

974. *τί δρᾷς;* subjunctivus est: nam Neoptolemi verba excipit Ulysses.

οὐκ εἶ μεθεὶς τὰ τόξα ταῦτ᾽ ἐμοὶ πάλιν;
ΦΙ. οἴμοι, τίς ἀνήρ; ἆρ᾽ Ὀδυσσέως κλύω;
ΟΔ. Ὀδυσσέως, σάφ᾽ ἴσθ᾽, ἐμοῦ γ᾽, ὃν εἰσορᾷς.
ΦΙ. οἴμοι· πέπραμαι κἀπόλωλ᾽. ὅδ᾽ ἦν ἄρα
ὁ ξυλλαβών με κἀπονοσφίσας ὅπλων.
ΟΔ. ἐγώ, σάφ᾽ ἴσθ᾽, οὐκ ἄλλος· ὁμολογῶ τάδε.
ΦΙ. ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα. ΟΔ. τοῦτο μέν,
οὐδ᾽ ἢν θέλῃ, δράσει ποτ᾽· ἀλλὰ καὶ σὲ δεῖ
στείχειν ἅμ᾽ αὐτοῖς, ἢ βίᾳ στελοῦσί σε.
ΦΙ. ἔμ᾽, ὦ κακῶν κάκιστε καὶ τολμήστατε,
οἵδ᾽ ἐκ βίας ἄξουσιν; ΟΔ. ἢν μὴ ᾽ρπῃς ἑκών.
ΦΙ. ὦ Λημνία χθὼν καὶ τὸ παγκρατὲς σέλας
Ἡφαιστότευκτον, ταῦτα δῆτ᾽ ἀνασχετά,
εἴ μ᾽ οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ;
ΟΔ. Ζεὺς ἔσθ᾽, ἵν᾽ εἰδῇς, Ζεύς, ὁ τῆσδε γῆς κρατῶν,
Ζεύς, ᾧ δέδοκται ταῦθ᾽· ὑπηρετῶ δ᾽ ἐγώ.
ΦΙ. ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν·
θεοὺς προτείνων τοὺς θεοὺς ψευδεῖς τίθῃς.
ΟΔ. οὔκ, ἀλλ᾽ ἀληθεῖς. ἡ δ᾽ ὁδὸς πορευτέα.
ΦΙ. οὔ φημ᾽ ἔγωγε. ΟΔ. φημί. πειστέον τάδε.
ΦΙ. οἴμοι τάλας. ἡμᾶς μὲν ὡς δούλους σαφῶς
πατὴρ ἄρ᾽ ἐξέφυσεν οὐδ᾽ ἐλευθέρους.
ΟΔ. οὔκ, ἀλλ᾽ ὁμοίους τοῖς ἀρίστοισιν, μεθ᾽ ὧν
Τροίαν σ᾽ ἑλεῖν δεῖ καὶ κατασκάψαι βίᾳ.
ΦΙ. οὐδέποτέ γ᾽· οὐδ᾽ ἢν χρῇ με πᾶν παθεῖν κακόν,
ἕως ἂν ᾖ μοι γῆς τόδ᾽ αἰπεινὸν βάθρον.
ΟΔ. τί δ᾽ ἐργασείεις; ΦΙ. κρᾶτ᾽ ἐμὸν τόδ᾽ αὐτίκα

975. Ordo est: οὐκ εἶ πάλιν, μεθεὶς τὰ τόξα ταῦτα ἐμοί; Brunckius.

984. τολμήστατε. De contractione vid. Buttm. Gramm. vol. i. p. 267.

985. μὴ ῞ρπῃς vulgo. Correxit Dindorfius.

988. ἐκ τῶν σῶν. tuis ex sedibus. gl. τόπων. Suspicor legendum ἑδρῶν pro ἐκ τῶν.

992. τίθῃς Porsonus ad Phœn. 5. qu. vid. etiam ad Orest. 141. τιθεὶς La. Lb. τιθεῖς Brunckius cum B.

999. χρῇ Brunckius. χρὴ vulgo.

1000. γῆς τόδ᾽ αἰπεινὸν βάθρον. Saxum dicit insulæ Lemni.

πέτρᾳ πέτρας ἄνωθεν αἱμάξω πεσών.
ΟΔ. ξυλλάβετέ γ᾽ αὐτόν· μὴ ᾽πὶ τῷδ᾽ ἔστω τάδε.
ΦΙ. ὦ χεῖρες, οἷα πάσχετ᾽ ἐν χρείᾳ φίλης
νευρᾶς, ὑπ᾽ ἀνδρὸς τοῦδε συνθηρώμεναι.
ὦ μηδὲν ὑγιὲς μηδ᾽ ἐλεύθερον φρονῶν,
οἷός μ᾽ ὑπῆλθες, ὥς μ᾽ ἐθηράσω, λαβὼν
πρόβλημα σαυτοῦ παῖδα τόνδ᾽ ἀγνῶτ᾽ ἐμοί,
ἀνάξιον μὲν σοῦ, κατάξιον δ᾽ ἐμοῦ,
ὃς οὐδὲν ᾔδη πλὴν τὸ προσταχθὲν ποιεῖν.
δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων
οἷς τ᾽ αὐτὸς ἐξήμαρτεν οἷς τ᾽ ἐγὼ ᾽παθον.
ἀλλ᾽ ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ᾽ ἀεὶ
ψυχή νιν ἀφυῆ τ᾽ ὄντα κοὐ θέλονθ᾽ ὅμως
εὖ προὐδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.
καὶ νῦν ἔμ᾽, ὦ δύστηνε, συνδήσας νοεῖς
ἄγειν ἀπ᾽ ἀκτῆς τῆσδ᾽, ἐν ᾗ με προὐβάλου
ἄφιλον ἔρημον ἄπολιν ἐν ζῶσιν νεκρόν.
φεῦ.
ὄλοιο· καί σοι πολλάκις τόδ᾽ εὐξάμην.
ἀλλ᾽ οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι,
σὺ μὲν γέγηθας ζῶν, ἐγὼ δ᾽ ἀλγύνομαι
τοῦτ᾽ αὔθ᾽, ὅτι ζῶ σὺν κακοῖς πολλοῖς τάλας,
γελώμενος πρὸς σοῦ τε καὶ τῶν Ἀτρέως
δισσῶν στρατηγῶν, οἷς σὺ ταῦθ᾽ ὑπηρετεῖς.
καίτοι σὺ μὲν κλοπῇ τε κἀνάγκῃ ζυγεὶς
ἔπλεις ἅμ᾽ αὐτοῖς, ἐμὲ δὲ τὸν πανάθλιον
ἑκόντα πλεύσανθ᾽ ἑπτὰ ναυσὶ ναυβάτην

1007. οἵως Porsonus. Non opus.

1019. ηὐξάμην La. Vid. ad Ant. 1336.

1021. ἀλγύνομαι τοῦτ᾽. Cf. 906. τοῦτ᾽ ἀνιῶμαι πάλαι. Vid. ad Œd. T. 785.

1023. τῶν Ἀτρέως δισσῶν στρατηγῶν similiter dictum ut supra v. 943. τοῦ Ζηνὸς Ἡρακλέους. Neque enim recte post Ἀτρέως distinxeris. Hermann. διπλῶν habent La. Γ. B. V. Turn. Vere fortasse.

1025. κλοπὴ fallacia a Palamede inventa intelligitur. Herm. Schol. προσποιούμενον γὰρ αὐτὸν μαίνεσθαι Παλαμήδης ἐξήλεγξεν. Vid. Ovid. Met. xiii. 34. seqq. Cic. de Off. iii. 26.

ἄτιμον ἔβαλον, ὡς σὺ φῄς, κεῖνοι δὲ σέ.
καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγεσθε; τοῦ χάριν;
ὃς οὐδέν εἰμι καὶ τέθνηχ' ὑμῖν πάλαι.
πῶς, ὦ θεοῖς ἔχθιστε, νῦν οὐκ εἰμί σοι
χωλός, δυσώδης; πῶς θεοῖς (?) εὔξεσθ', ἐμοῦ
πλεύσαντος, αἴθειν ἱερά; πῶς σπένδειν ἔτι;
αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
κακῶς ὄλοισθ'. ὀλεῖσθε δ' ἠδικηκότες
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
ἔξοιδα δ' ὡς μέλει γ'· ἐπεὶ οὔποτ' ἂν στόλον
ἐπλεύσατ' ἂν τόνδ' οὕνεκ' ἀνδρὸς ἀθλίου,
εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς ἐμοῦ.
ἀλλ', ὦ πατρῴα γῆ θεοί τ' ἐπόψιοι,
τίσασθε, τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτὲ
ξύμπαντας αὐτούς, εἴ τι κἄμ' οἰκτείρετε.
ὡς ζῶ μὲν οἰκτρῶς. εἰ δ' ἴδοιμ' ὀλωλότας
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.

ΧΟ. βαρύς τε καὶ βαρεῖαν ὁ ξένος φάτιν
τήνδ' εἶπ', Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν κακοῖς.

ΟΔ. πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη,
εἴ μοι παρείκοι· νῦν δ' ἑνὸς κρατῶ λόγου.
οὗ γὰρ τοιούτων δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
χὤπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,

1028. σὺ μέν, φησίν, ἐκείνους αἰτιᾷ, ἐκεῖνοι δὲ σέ. Schol.

1032. Quod vulgo legitur εὔξεσθ' non aliter quam *gloriabimini* cum Vauvillersio interpretari licet. Sed hoc vix bene se habet. ἔξεστ' ἐμοῦ corrigit Piersonus: quod inauspicato eum conjecisse putat Brunckius, quum ipse longe inauspicatius ἔξεσθ' conjecerit. Buttmannus ἐξέσθ' ὁμοῦ, h. e. ἐξέσται, proposuit elisione non ferenda. Frustra difficultatem movet Hermannus, qui aoristi participium prohibere dicit quominus αἴθειν ἱερὰ de sacris in itinere faciendis intelligatur. Immo πλεύσαντος est: *si una profectus fuero*. Cæterum ἔξεσθ' ὁμοῦ fere cum Dindorfio verum puto.

1035. ὀλεῖσθε δ' Brunckius. Vulgo ὄλοισθε δ'.

1039. θεῖον κέντρον ἐμοῦ. *divinitus immissum mei desiderium*. HERM. Cf. Æsch. Pers. 989. ἴυγγά μοι δῆτ' ἀγαθῶν ἑτάρων ὑπομιμνήσκεις.

1044. τῆς νόσου πεφευγέναι. Ad similitudinem formatum Homerici illius Od. A. 18. οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων. WUNDER.

1048. εἴ μοι παρείκοι. *si occasio sineret*.

οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
νικᾶν γε μέντοι πανταχοῦ χρῄζων ἔφυν,
πλὴν εἰς σέ· νῦν δὲ σοί γ' ἑκὼν ἐκστήσομαι.
ἄφετε γὰρ αὐτόν, μηδὲ προσψαύσητ' ἔτι.
ἐᾶτε μίμνειν. οὐδέ σου προσχρῄζομεν,
τά γ' ὅπλ' ἔχοντες ταῦτ'· ἐπεὶ πάρεστι μὲν
Τεῦκρος παρ' ἡμῖν, τήνδ' ἐπιστήμην ἔχων,
ἐγώ θ', ὃς οἶμαι σοῦ κάκιον οὐδὲν ἂν
τούτων κρατύνειν, μηδ' ἐπιθύνειν χερί.
τί δῆτα σοῦ δεῖ; χαῖρε τὴν Λῆμνον πατῶν.
ἡμεῖς δ' ἴωμεν. καὶ τάχ' ἂν τὸ σὸν γέρας
τιμὴν ἐμοὶ νείμειεν, ἥν σ' ἐχρῆν ἔχειν.

ΦΙ. οἴμοι· τί δράσω δύσμορος, σὺ τοῖς ἐμοῖς
ὅπλοισι κοσμηθεὶς ἐν Ἀργείοις φανεῖ;

ΟΔ. μή μ' ἀντιφώνει μηδέν, ὡς στείχοντα δή.

ΦΙ. ὦ σπέρμ' Ἀχιλλέως, οὐδὲ σοῦ φωνῆς ἔτι
γενήσομαι προσφθεγκτός, ἀλλ' οὕτως ἄπει;

ΟΔ. χώρει σύ· μὴ πρόσλευσσε, γενναῖός περ ὤν,
ἡμῶν ὅπως μὴ τὴν τύχην διαφθερεῖς.

ΦΙ. ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος, ὦ ξένοι,
λειφθήσομαι δὴ κοὐκ ἐποικτερεῖτέ με;

ΧΟ. ὅδ' ἐστὶν ἡμῶν ναυκράτωρ ὁ παῖς. ὅσ' ἂν
οὗτος λέγῃ σοι, ταῦτά σοι χἠμεῖς φαμέν.

ΝΕ. ἀκούσομαι μὲν ὡς ἔφυν οἴκτου πλέως
πρὸς τοῦδ'· ὅμως δὲ μείνατ', εἰ τούτῳ δοκεῖ,
χρόνον τοσοῦτον, εἰς ὅσον τά τ' ἐκ νεὼς

1058. οὐδὲν — μηδ'] οὐδὲν arctissime cum κάκιον conjungendum. Aliter μηδὲν dicendum fuisset. Structura est, ὃς οἶμαι κρατύνειν ἂν τούτων οὐδὲν κάκιον σοῦ, μηδ' ἐπιθύνειν (κάκιον οὐδὲν ἂν) χερί.

1067. σοῦ φωνῆς προσφθεγκτός. Duplex genitivus. Comparari potest Παλλάδος εὐγμάτων προσήγορος Ant. 1185. quanquam hoc active, prius passive accipiendum est.

1071. λειφθήσομαι δὴ Wakefieldius. λειφθήσομ' ἤδη libri omnes, elisione certe nondum tam certis exemplis confirmata ut eam sine gravi caussa Attico scriptori obtrudendam opiner. Cf. tamen Lex. nostr. Æschyl. s. v. κόμπος.

1076. τὰ ἐκ νεὼς στείλωσι] στέλλειν τὰ ἐκ νεὼς est parare ea, quæ e navi in terram asportata nunc rursum ei imponenda sunt. MATTHIÆ.

στείλωσι ναῦται καὶ θεοῖς εὐξώμεθα.
χοὖτος τάχ' ἂν φρόνησιν ἐν τούτῳ λάβοι
λῴω τιν' ἡμῖν. νὼ μὲν οὖν ὁρμώμεθον,
ὑμεῖς δ', ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς.
ΦΙ. ὦ κοίλας πέτρας γύαλον στροφὴ α΄.
θερμὸν καὶ παγετῶδες, ὥς σ'
οὐκ ἔμελλον ἄρ', ὦ τάλας,
λείψειν οὐδέποτ', ἀλλά μοι
καὶ θνήσκοντι συνοίσει.
ὤμοι μοί μοι.
ὦ πληρέστατον αὔλιον
λύπας τᾶς ἀπ' ἐμοῦ τάλαν,
τίπτ' αὖ μοι τὸ κατ' ἦμαρ
ἔσται; τοῦ ποτε τεύξομαι
σιτονόμου μέλεος πόθεν ἐλπίδος;
† ἴθ' αἰθέρος ἄνω

1080. ὁρμᾶσθαι. Infinitivus vice imperativi.

1082. θερμὸν καί. Sic v. l. ap. Turn. Libri θερμόν τε καί. De sensu cf. v. 17—19.

1085. συνοίσει] συμφέρεσθαι dicitur qui cum aliquo versatur et consortio ejus utitur. e. g. Herod. iv. 114. οὐκ ἂν ὦν δυναίμεθα ἐκείνῃσι συμφέρεσθαι. Antrum tanquam sodalem alloquitur. Errant qui θνήσκοντι h. l. pro θανόντι accipiunt. Nec opus Elmsleii conjectura συνείσει.

1089. τίπτ' cum Bothio pro τί ποτ' scribendum, coll. Æsch. Ag. 975. τίπτε μοι τόδ' ἐμπέδως. τὸ κατ' ἦμαρ, *victus quotidianus*.

1091. σιτονόμου ἐλπίδος interrogandi nota post μέλεος sublata recte conjunxit Bothius. Duplex est interrogatio τοῦ et πόθεν. Cf. Trach. 421. supra v. 56. σιτονόμος ἐλπὶς autem est *spes victus sibi alicunde parandi*.

1092. ἴθ' αἰθέρος ἄνω — ἕλωσί μ'. Recepi Hermanni emendationem ἴθ'. donec melius quid inventum fuerit. Vulgatur εἴθ'—ἕλωσι. Omnino hic locus ex iis est, de quibus facilius quid non scribere potuerit, quam quid scripserit poeta, dicas. Nec uno incommodo laborat. Primum εἴθε cum subjunctivo conjunctum prorsus solœcum est: nec quæ in contrariam partem paucissima afferuntur exempla, sc. Eur. Suppl. 1026. Hel. 262. ea sunt quibus certo fidere possis. Deinde hæreo in genitivo αἰθέρος cum ἄνω conjuncto: quod insolitum videtur. Accedit quod dochmiacus h. l. minime cum dochmiaco antistrophico congruit: quod tali in loco non nihili faciendum est. Denique quid est πτωκάδες? de cujus vocis scriptura miras discrepantias apud Scholiastam videre est: sc. πτωμάδες, πτωκάδες, πτωχάδες, ποωτάδες, δρομάδες. πλωάδες Brunckius coll. Apoll. Argon. ii. 1054. πλωτάδες Gedikius. Jam πτωκάδας Harpyias

πτωκάδες ὀξυτόνου διὰ πνεύματος
ἕλωσί μ'. οὐκ ἔτ' ἴσχω.
ΧΟ. † σύ τοι σύ τοι κατηξίωσας,
ὦ βαρύποτμ', οὐκ ἄλλοθεν
ἔχει τύχᾳ τᾷδ' ἀπὸ μείζονος,
εὖτέ γε παρὸν φρονῆσαι
τοῦ λῴονος δαίμονος εἷλου τὸ κάκιον ἐλεῖν. †
ΦΙ. ὦ τλάμων τλάμων ἄρ' ἐγὼ ἀντιστροφὴ α΄.
καὶ μόχθῳ λωβατός, ὃς ἤ-
δη μετ' οὐδενὸς ὕστερον
ἀνδρῶν εἰσοπίσω τάλας
ναίων ἐνθάδ' ὀλοῦμαι,
αἰαῖ αἰαῖ,
οὐ φορβὰν ἔτι προσφέρων,
οὐ πτανῶν ἀπ' ἐμῶν ὅπλων
κραταιαῖς μετὰ χερσὶν
ἴσχων· ἀλλά μοι ἄσκοπα

esse volunt: sed tale vocabulum in Harpyias desuper in prædam irruentes minime cadere satis apparet. Nec tamen Hermannum, qui hoc commentum jure ridet, verum vidisse puto. Nam neque avibus ejusmodi qui Philoctetam per auras abripere possent, convenit πτωκάδες epitheton, quod vix aliud quam timidum et ideo fugax animal indicare potest. His perpensis quanta hic locus obscuritate laboret, vel tironibus apparebit: quorum in gratiam Hermanni interpretationem apponam: *age, per altum ætherem fugaces stridentibus auris aves me capiant: non amplius prohibeo.*

1094. Vulgo οὐ γὰρ ἔτ' ἰσχύω. ἴσχω correxit Heathius. γὰρ delevit Hermannus. ἔτι delendum suspicatur Dindorfius.

1095. κατηξίωσας. *ita voluisti.*

1095—1097. Vulgatam exhibui, sicut in La. et edd. vett. legitur, nisi quod βαρύποτμε præbent v. 1096. et τῷδ' Ald. τάδ' Γ. in v. 1097. Hermannus correxit: ὦ βαρύποτμε, κοὐκ ἄλλοθεν, | ἀλλ' ἐνέχει τύχᾳ ὧδ' ἀπὸ μείζονος, | εὖτέ γε κ. τ. λ. Idem mox αἰνεῖν pro vitioso ἑλεῖν. Dindorfius: ὦ βαρύποτμ', οὐκ | ἄλλοθεν ἁ τύχα ἅδ' ἀπὸ μείζονος, | εὖτέ γε κ. τ. λ. et mox πλέονος quod bis scriptum in Scholiis pro λῴονος, et denique ἀντὶ pro ἑλεῖν.

1100. τοῦ λῴονος. Hoc si genuinum est, diiambus erit pro choriambo.

1103. De metro hujus versus et 1147. cf. Herm. Elem. Doctr. Met. lib. iii. cap. ii. 12.

1107. αἰαῖ αἰαῖ Hermannus. αἴ αἴ αἴ αἴ Ald. αἶ αἶ αἶ αἶ Turn. et recentiores.

1110. κραταιαῖς μετὰ χερσὶν ἴσχων. sc. φορβάν. *arcu paratum in manibus habens victum.*

1111. ἀλλά μοι ἄσκοπα ὑπέδυ

κρυπτά τ' ἔπη δολερᾶς ὑπέδυ φρενός·
ἰδοίμαν δέ νιν,
τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
ἐμὰς λαχόντ' ἀνίας.

ΧΟ. †πότμος σε δαιμόνων τάδ',
οὐδὲ σέ γε δόλος ἔσχ'
ὑπὸ χειρὸς ἐμᾶς. στυγερὰν
ἔχε δύσποτμον
ἀρὰν ἀρὰν ἐπ' ἄλλοις.†
καὶ γὰρ ἐμοὶ τοῦτο μέλει, μὴ φιλότητ' ἀπώσῃ.

ΦΙ. οἴμοι μοι, καί που πολιᾶς *στροφὴ β'.* 1123
πόντου θινὸς ἐφήμενος,
γελᾷ μου, χερὶ πάλλων
τὰν ἐμὰν μελέου τροφάν,
τὰν οὐδείς ποτ' ἐβάστασεν.
ὦ τόξον φίλον, ὦ φίλων
χειρῶν ἐκβεβιασμένον,
ἦ που ἐλεινὸν ὁρᾷς, φρένας εἴ τινας
ἔχεις, τὸν Ἡράκλειον
* * * ὧδέ σοι

De dativo vid. Matth. Gr. Gr. 402. c. Comparavit Wunderus Herod. vi. 138. *καί σφισι βουλευομένοισι δεινόν τι ἐσέδυνε.*

1116. *πότμος, πότμος σε δαιμόνων | τάδ'* probabiliter Erfurdtius. Veterem scripturam exhibui.

1117. *οὐδὲ σέ γε.* Pronomen epico more repetitum. Hoc rarius apud Tragicos esse monuit Wunderus, coll. Œd. T. 1102. qu. v. et locum nostro simillimum Homer. Od. Θ. 488. *Δημόδοχ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων· ἢ σέ γε Μοῦσ' ἐδίδαξε, Διὸς παῖς, ἢ σέ γ' Ἀπόλλων.*

1120. *ἀράν, ἀράν.* Alterum *ἀρὰν* ejiciendum censet Dindorfius, ut *δύσποτμον* verbis *εὖτέ γε* respondeat v. 1099.

1123. Notandum *πολιᾶς πόντου θινός*, quod dici debebat, *πολιοῦ πόντου θινός*, ut apud Homerum, *θῖν' ἐφ' ἁλὸς πολιῆς.* Ita solent Tragici epitheta nominibus non suis applicare, dummodo notiones quibus opus est, in tota complexione verborum adsint. Hermann. Cf. notam nostram ad Æsch. Eum. 283.

1125. *γελᾷ μου.* De constructione simplicis *γελᾶν* cum genitivo vid. Dindorfium ad Stephani Thes. vol. ii. p. 551. d.

1130. *ἐλεινὸν* Brunckius. Libri *ἐλεεινόν.*

1132. * * * *ὧδέ σοι.* Vulgo *ἄθλιον*, quod habent La. A. (cum v. l. *ἆθλον*) Harl. *ἆθλον* Γ. B. Ald. *ἄεθλον* Tricl. Nihil horum verum

οὐκ ἔτι χρησόμενον τὸ μεθύστερον,
* ἀλλ' ἐν μεταλλαγᾷ
πολυμηχάνου ἀνδρὸς ἐρέσσει,
ὁρῶν μὲν αἰσχρὰς ἀπάτας,
στυγνόν τε φῶτ' ἐχθοδοπόν,
μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλονθ', ὅσ' ἐφ' ἡμ-
ῖν κάκ' ἐμήσατ' * *

ΧΟ. ἀνδρός τοι τὸ μὲν εὖ δίκαιον εἰπεῖν·
εἰπόντος δὲ μὴ φθονερὰν
ἐξῶσαι γλώσσας ὀδύναν.
κεῖνος δ' εἷς ἀπὸ πολλῶν
ταχθεὶς τῶνδ' ἐφημοσύνᾳ

esse potest. Verbum excidisse, quod socium Herculis ministrumve significaret, recte vidit Dindorfius, cujus supplendi caussa *ἄθλιον* interpolavit librarius. Schol. *τὸν τοῦ Ἡρακλέους διάδοχον* interpretatur: unde non improbabiliter *ξύννομον* nuper conjecit Dindorfius.

1185. * *ἀλλ' ἐν μεταλλαγᾷ.* Deest syllaba. *ἔτ'* repetendum censet Dindorfius collato Pind. Nem. ix. 111. *οὐκέτ' ἔστι πόρσω θνατὸν ἔτι σκοπιᾶς ἄλλας ἐφάψασθαι ποδοῖν.* *ἄλλου δ' ἐν* legit Hermannus: qui vertit: *versaris in possessione alius quem mecum commutasti domini.* *ἐρέσσει* autem dicitur metaphora satis nota.

1136. *αἰσχρὰς ἀπάτας — κάκ' ἐμήσατ'.* Hæc omnia de Ulyssis artibus intelligenda.

1138. *μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλονθ'.* *oriri facientem*, h. e. efficientem. *μυρία κακὰ* dicit mala quæ sibi arcu privato imminere sentit Philoctetes: *ἀπ' αἰσχρῶν* *artes et dolos* spectat quibus, ut arcum auferret, usus est Ulysses.

1139. Post *κάκ'* sequitur vulgo *Ὀδυσσεύς*, quod interpretibus deberi monuit Hermannus. Idem *ἄλγη* vel simile quid supplendum censet. Rectius fortasse *οὐδεὶς* excidisse putat Arndtius.

1140. *ἀνδρός τοι—ὀδύναν.* Locum difficiliorem recte fere explicuisse credo Hermannum: *Viri est, quod utile est, justum dicere: ob eum qui dicit autem non cum invidia et maledictis promere dolorem suum.* Hoc hominis naturæ consentaneum esse dicit: ut quod utile sit, id justum esse dicat. Utile autem erat Ulyssi ut Philoctetes ad Trojam abduceretur. Porro, si quis hæc ita esse dixerit, non ideo in sæva et maledica convicia alterum erumpere oportere. Per *γλώσσας ὀδύναν* *sæva et injuriosa dicta* intelligenda. *ἐξῶσαι* autem proprie *de lingua exserenda* dicitur. Non junxerim autem *ἀνδρὸς ἐξῶσαι*, ut ad hoc verbum *ἀνδρός τοι* repetantur, sed *ἐξῶσαι* imperandi sensu accipiendum puto. sc. *Viri quidem est, ut quod utile sit, id justum esse dicat: tu vero ne in sæva et invidiosa dicta, si quis id ita esse dixerit, prorumpas.*

1143. *κεῖνος* ad Ulyssem referri sensus certissime declarat. Admisi in v. 1144. quod Thudicum conjecit *τῶνδ'*, quod ad *πολλῶν* referendum. Vulgo *τοῦδ'*.

κοινὰν ἤνυσεν ἐς φίλους ἀρωγάν.
ΦΙ. ὦ πταναὶ θῆραι χαροπῶν τ' ἀντιστροφὴ β'.
ἔθνη θηρῶν, οὓς ὅδ' ἔχει
χῶρος οὐρεσιβώτας,
φυγᾷ μ' οὐκ ἔτ' ἀπ' αὐλίων
πελᾶτ'· οὐ γὰρ ἔχω χεροῖν
τὰν πρόσθεν βελέων ἀλκάν,
ὦ δύστανος ἐγὼ τανῦν,
ἀλλ' ἀνέδην (ὁ δὲ χῶρος ἐρύκεται
οὐκ ἔτι φοβητὸς ὑμῖν,)
ἕρπετε, νῦν καλὸν
ἀντίφονον κορέσαι στόμα πρὸς χάριν
ἐμᾶς σαρκὸς αἰόλας.
ἀπὸ γὰρ βίον αὐτίκα λείψω.
πόθεν γὰρ ἔσται βιοτά;
τίς ὧδ' ἐν αὔραις τρέφεται,
μηκέτι μηδενὸς κρατύνων ὅσα πέμ-
πει βιόδωρος αἶα;
ΧΟ. πρὸς θεῶν, εἴ τι σέβει ξένον, πέλασσον

1146. *θῆραι.* Schol. *ἄγραι.* *venationem* apud Liv. xxxv. 49. comparat Wunderus.

1149. *φυγᾷ μ' —πελᾶτε.* *timide mihi appropinquabitis.* *πελᾶτε* futurum est et cum accusativo construitur sicut in Œd. Col. 1060. Cf. Eurip. Andr. 1166. *καὶ μὴν ὅδ' ἄναξ ἤδη φοράδην Δελφίδος ἐκ γῆς δῶμα πελάζει.* Rhes. 13. *τίνες ἐκ νυκτῶν τὰς ἡμέτερας κοίτας πλάθουσ' ἐνέπειν χρή.*

1153. *ἀνέδην* longe melius cum *ἕρπετε* quam cum *ἐρύκεται* jungas. Significat *libere, impune.* Vid. Hermann. ad Viger. 230. Quod mox dedit Porsonus *ὅδε χωλὸς ἐρύκεται* minime placet: recte tamen factum opinor quod hæc verba *ὅδε —ὑμῖν* parenthetice sumsit. Hoc autem melius procedet si disjunctim scripseris *ὁ δὲ χῶρος.* Sensus autem erit: *locus autem non amplius vobis arcetur* h. e. (vos ab eo arcemini) *ut vobis formidandus sit.*

1155. Junge *ἕρπετε πρὸς χάριν ἐμᾶς σαρκὸς αἰόλας.* Brunckius comparat Ant. 30. *οἰωνοῖς γλυκὺν θησαυρὸν εἰσορμῶσι πρὸς χάριν βορᾶς.*

νῦν καλόν. *tempus est.* Cf. El. 384. *νῦν γὰρ ἐν καλῷ φρονεῖν.*

1157. *αἰόλας.* *Carnem ex morbi virulentia maculis interstinctam* recte intelligit Mudgius.

1163. Vertit Camerarius: *si quis respectus est tibi hospitis, quæso benevolentia complectere bene tibi volentes.* *εὐνοίᾳ πάσᾳ* cum *πελάταν* construendum: *qui ad te bene volens accessit.* *πέλασσον* nonnulli *ad te admitte, appropinquare sine,* vertunt. Potius verterim cum Wundero: *accede ad eum,* sc. Neoptolemum, qui reditum paraturus discesserat.

εὐνοίᾳ πάσᾳ πελάταν·
ἀλλὰ γνῶθ', εὖ γνῶθ' ὅτι σοὶ
κῆρα τάνδ' ἀποφεύγειν.
οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς δ'
ἔχειν μυρίον ἄχθος, ᾧ ξυνοικεῖ.
ΦΙ. πάλιν πάλιν παλαιὸν ἄλ-
γημ' ὑπέμνασας, ω
λῷστε τῶν πρὶν ἐντόπων.
τί μ' ὤλεσας; τί μ' εἴργασαι;
ΧΟ. τί τοῦτ' ἔλεξας;
ΦΙ. εἰ σὺ τὰν ἐμοὶ στυγερὰν
Τρῳάδα γᾶν μ' ἤλπισας ἄξειν.
ΧΟ. τόδε γὰρ νοῶ κράτιστον.
ΦΙ. ἀπό νύν με λείπετ' ἤδη.
ΧΟ. φίλα μοι, φίλα ταῦτα παρήγ-
γειλας, ἑκόντι τε πράσσειν.
ἴωμεν ἴωμεν
ναὸς ἵν' ἡμῖν τέτακται.
ΦΙ. μή, πρὸς ἀραίου Διός, ἔλθῃς, ἱκετεύω. ΧΟ. μετρίαζε.
ΦΙ. ὦ ξένοι,
μείνατε, πρὸς θεῶν. ΧΟ. τί θροεῖς;
ΦΙ. αἰαῖ αἰαῖ δαίμων δαίμων.
ἀπόλωλ' ὁ τάλας·

1165. Nexus videtur: Iste quidem bene tibi vult: tuum vero (non alius) est, ut morbum hunc effugias.

1167. Sensus est: *hic morbus miserabilis est ad alendum eum, et nescius sustinere infinita mala, quæ cum eo conjuncta sunt.* Id est: major est hic morbus, quam ut qui eo affectus sit, tanta mala perferre possit. Hermann.

1171. *τῶν πρὶν ἐντόπων.* *qui prius huc ad me venerunt.* Recte Schol.

1175. *γᾶν* La. Γ. B. V. Turn. *γαῖαν* vulgo.

1180. Pendet genitivus ab *ἵνα*: *qua in parte navis sua cuique statio est.*

1183. *ἔλθῃς.* *abeas.* Similiter supra v. 48. Ant. 99.

1184. *αἰαῖ αἰαῖ* Hermannus. Cf. supra ad v. 1107.

ὦ ποὺς πούς, τί σ᾽ ἔτ᾽ ἐν βίῳ
τεύξω τῷ μετόπιν τάλας;
ὦ ξένοι, ἔλθετ᾽ ἐπήλυδες αὖθις.
ΧΟ. τί ῥέξοντες ἀλλοκότῳ
γνώμᾳ τῶν πάρος, ὧν προὔφαινες;
ΦΙ. οὔτοι νεμεσητόν,
ἀλύοντα χειμερίῳ
λύπᾳ καὶ παρὰ νοῦν θροεῖν.
ΧΟ. βᾶθί νυν, ὦ τάλαν, ὥς σε κελεύομεν.
ΦΙ. οὐδέποτ᾽ οὐδέποτ᾽, ἴσθι τόδ᾽ ἔμπεδον,
οὐδ᾽ εἰ πυρφόρος ἀστεροπητὴς
βροντᾶς αὐγαῖς μ᾽ εἶσι φλογίζων.
ἐρρέτω Ἴλιον, οἵ θ᾽ ὑπ᾽ ἐκείνῳ
πάντες ὅσοι τόδ᾽ ἔτλασαν ἐμοῦ ποδὸς ἄρθρον ἀπῶσαι.
ἀλλ᾽, ὦ ξένοι, ἕν γέ μοι εὖχος ὀρέξατε.
ΧΟ. ποῖον ἐρεῖς τόδ᾽ ἔπος; ΦΙ. ξίφος, εἴ ποθεν,
ἢ γένυν, ἢ βελέων τι, προπέμψατε.
ΧΟ. ὡς τίνα δὴ ῥέξῃς παλάμαν ποτέ;
ΦΙ. κρᾶτ᾽ ἀπὸ πάντα καὶ ἄρθρα τέμω χερί·
φονᾷ φονᾷ νόος ἤδη.
ΧΟ. τί ποτε; ΦΙ. πατέρα ματεύων.
ΧΟ. ποῖ γᾶς; ΦΙ. ἐς Ἅιδου.
οὐ γάρ [ἐστ᾽] ἐν φάει γ᾽ ἔτι.

1188. τί σε τεύξω; *quid de te faciam?*

1190. ἐπήλυδες αὖθις. *Revertentes.* Jam enim abibant. HERMANN.

1191. τί ῥέξοντες — προὔφαινες] ἀλλοκότῳ γνώμᾳ ad Philoctetem referendum. *Quid facturi, quod non prius te nos facere velle indicasti*: h. e. ergone consilium mutasti, nec nos rursus a te discedere, sicut prius, jubebis? ἀλλόκοτον nihil nisi *diversum* esse monuit Lobeck. ad Aj. v. 127.

1199. βροντᾶς αὐγαῖς] βρονταῖς αὐταῖς libri. Correctum ex Scholiasta.

1204. εἴ ποθεν. *alicunde.* Vid. ad Aj. 179. 886.

1206. τίνα δὴ] δὴ addidit Hermannus.

1208. τέμω. Pendet a præcedente ὡς. DINDORF.

1209. νόσος codd. quidam. νόος La.

1210. ματεύων. Refertur ad τέμω.

1211. εἰς La. V. Turn.

1212. οὐ γάρ ἐστ᾽ ἐν φάει γ᾽ ἔτι] ἐστ᾽ delendum censet Hermannus. οὐ γὰρ ἐν φάει corrigit Dindorfius.

ὦ πόλις ὦ πόλις πατρία,
πῶς ἂν εἰσίδοιμί σ᾽ ἄθλιός † γ᾽ ἀνήρ,
† ὅς γε σὰν λιπὼν ἱερὰν λιβάδ᾽,
ἐχθροῖς ἔβαν Δαναοῖς
ἀρωγός· ἔτ᾽ οὐδέν εἰμι.
ΧΟ. ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ
στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα στείχοντα τόν τ᾽ Ἀχιλλέως
γόνον πρὸς ἡμᾶς δεῦρ᾽ ἰόντ᾽ ἐλεύσσομεν.
ΟΔ. οὐκ ἂν φράσειας ἥντιν᾽ αὖ παλίντροπος
κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς;
ΝΕ. λύσων ὅσ᾽ ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.
ΟΔ. δεινόν γε φωνεῖς· ἡ δ᾽ ἁμαρτία τίς ἦν;
ΝΕ. ἣν σοὶ πιθόμενος τῷ τε σύμπαντι στρατῷ
ΟΔ. ἔπραξας ἔργον ποῖον ὧν οὔ σοι πρέπον;
ΝΕ. ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών.
ΟΔ. τὸν ποῖον; ὤμοι· μῶν τι βουλεύει νέον;
ΝΕ. νέον μὲν οὐδέν, τῷ δὲ Ποίαντος τόκῳ
ΟΔ. τί χρῆμα δράσεις; ὥς μ᾽ ὑπῆλθέ τις φόβος.
ΝΕ. παρ᾽ οὗπερ ἔλαβον τάδε τὰ τόξ᾽, αὖθις πάλιν
ΟΔ. ὦ Ζεῦ, τί λέξεις; οὔ τί που δοῦναι νοεῖς;
ΝΕ. αἰσχρῶς γὰρ αὐτὰ κοὐ δίκῃ λαβὼν ἔχω.
ΟΔ. πρὸς θεῶν, πότερα δὴ κερτομῶν λέγεις τάδε;
ΝΕ. εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν.
ΟΔ. τί φῄς, Ἀχιλλέως παῖ; τίν᾽ εἴρηκας λόγον;
ΝΕ. δὶς ταὐτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ᾽ ἔπη;

1213. Alterum πόλις recte fortasse ejiciendum putat Dindorfius.

1214. πῶς ἂν εἰσίδοιμί σ᾽ ἄθλιός γ᾽ ἀνήρ] γ᾽ vitiosum videtur: Dindorfius πῶς ἂν εἰσίδοιμ᾽ ἄθλιός σ᾽ ἀνήρ;

1216. ἱερὰν λιβάδ᾽. Sperchium dici monuit Hermannus. Metrum non integrum videtur.

1218. ὁμοῦ cum genitivo constructum, quia ad sensum ἐγγὺς vel πέλας valet. Novator sane si quis alius in his rebus Sophocles: apud quem non pauca hujusmodi videre est. ἐγγὺς habet Γ.

1224. λύσων. *solvens.* i. e. irritum reddens peccatum. HERM.

1228. ἑλών. sc. ἥμαρτον. Pendet ab ἦν v. 1226.

1238. ταὐτὰ Brunck. ταῦτα libri.

ΟΔ. ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην.
ΝΕ. εὖ νῦν ἐπίστω, πάντ' ἀκήκοας λόγον.
ΟΔ. ἔστιν τιν ἔστιν ὅς σε κωλύσει τὸ δρᾶν.
ΝΕ. τί φῄς; τίς ἔσται μ' οὑπικωλύσων τάδε;
ΟΔ. ξύμπας Ἀχαιῶν λαός, ἐν δὲ τοῖσδ' ἐγώ.
ΝΕ. σοφὸς πεφυκὼς οὐδὲν ἐξαυδᾷς σοφόν.
ΟΔ. σὺ δ' οὔτε φωνεῖς οὔτε δρασείεις σοφά.
ΝΕ. ἀλλ' εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.
ΟΔ. καὶ πῶς δίκαιον, ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς,
πάλιν μεθεῖναι ταῦτα; ΝΕ. τὴν ἁμαρτίαν
αἰσχρὰν ἁμαρτὼν ἀναλαβεῖν πειράσομαι.
ΟΔ. στρατὸν δ' Ἀχαιῶν οὐ φοβεῖ, πράσσων τάδε;
ΝΕ. ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον.
* * * * *
ΝΕ. ἀλλ' οὐδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν.
ΟΔ. οὔ τἄρα Τρωσίν, ἀλλὰ σοὶ μαχούμεθα.
ΝΕ. ἔστω τὸ μέλλον. ΟΔ. χεῖρα δεξιὰν ὁρᾷς
κώπης ἐπιψαύουσαν; ΝΕ. ἀλλὰ κἀμέ τοι
ταυτὸν τόδ' ὄψει δρῶντα κοὐ μέλλοντ' ἔτι.
ΟΔ. καίτοι σ' ἐάσω· τῷ δὲ σύμπαντι στρατῷ
λέξω τάδ' ἐλθών, ὅς σε τιμωρήσεται.
ΝΕ. ἐσωφρόνησας· κἂν τὰ λοίφ' οὕτω φρονῇς,
ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα.
σὺ δ', ὦ Ποίαντος παῖ, Φιλοκτήτην λέγω,

1251. *τὸν σὸν φόβον. metum quem dicis.* Cf. ad El. 1110.

1252. Turbatum esse aliquid hoc loco facile est suspicari: nam post v. 1251. vix recte inferuntur *ἀλλ' οὐδέ τοι σῇ χερὶ κ. τ. λ.* Hermannus v. 1252. Ulyssi assignat, mox v. 1253. Neoptolemo, deinde *ἔστω τὸ μέλλον* Ulyssi, *χεῖρα — ἐπιψαύουσαν* Neoptolemo, *ἀλλὰ — τιμωρήσεται* Ulyssi. Hoc olim mihi arriserat, maxime propter particulas *καίτοι* in v. 1257. quæ sunt, ut monet Hermannus, sese a capto consilio revocantis, nec tam bene interjectis alius verbis dici videntur. Sed re perpensa verba *ἀλλ' οὐδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν* personæ Ulyssi convenire vix posse puto: quare eam quam olim Hermannus proposuit viam inire malim, ut quædam ante v. 1252. excidisse putem, in quibus Neoptolemum iste minis incesserit. Ulyssem autem *καίτοι σ' ἐάσω*, quasi nondum oratione sua abrupta, dixisse puta.

1260. *ἐκτὸς κλαυμάτων ἔχοις πόδα.* Cf. Blomf. Gl. ad Pr. V. 271.

ἔξελθ', ἀμείψας τάσδε πετρήρεις στέγας.
ΦΙ. τίς αὖ παρ' ἄντροις θόρυβος ἵσταται βοῆς;
τί μ' ἐκκαλεῖσθε; τοῦ κεχρημένοι, ξένοι;
ὤμοι· κακὸν τὸ χρῆμα. μῶν τί μοι μέγα
πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν;
ΝΕ. θάρσει· λόγους δ' ἄκουσον οὓς ἥκω φέρων.
ΦΙ. δέδοικ' ἔγωγε. καὶ τὰ πρὶν γὰρ ἐκ λόγων
καλῶν κακῶς ἔπραξα, σοῖς πεισθεὶς λόγοις.
ΝΕ. οὔκουν ἔνεστι καὶ μεταγνῶναι πάλιν;
ΦΙ. τοιοῦτος ἦσθα τοῖς λόγοισι χὤτε μου
τὰ τόξ' ἔκλεπτες, πιστός, ἀτηρὸς λάθρα.
ΝΕ. ἀλλ' οὔ τι μὴ νῦν· βούλομαι δέ σου κλύειν,
πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
ἢ πλεῖν μεθ' ἡμῶν. ΦΙ. παῦε, μὴ λέξῃς πέρα.
μάτην γὰρ ἂν εἴπῃς γε πάντ' εἰρήσεται.
ΝΕ. οὕτω δέδοκται; ΦΙ. καὶ πέρα γ' ἴσθ' ἢ λέγω.
ΝΕ. ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις
ἐμοῖσιν· εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
κυρῶ, πέπαυμαι. ΦΙ. πάντα γὰρ φράσεις μάτην.
οὐ γάρ ποτ' εὔνουν τὴν ἐμὴν κτήσει φρένα,
ὅστις γ' ἐμοῦ δόλοισι τὸν βίον λαβὼν
ἀπεστέρηκας, κᾆτα νουθετεῖς ἐμὲ
ἐλθών, ἀρίστου πατρὸς ἔχθιστος γεγώς.
ὄλοισθ', Ἀτρεῖδαι μὲν μάλιστ', ἔπειτα δὲ
ὁ Λαρτίου παῖς, καὶ σύ. ΝΕ. μὴ 'πεύξῃ πέρα·
δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.
ΦΙ. πῶς εἶπας; ἆρ' οὐ δεύτερον δολούμεθα;
ΝΕ. ἀπώμοσ' ἁγνοῦ Ζηνὸς ὕψιστον σέβας.

1284. *ἔχθιστος* libri omnes, quod cur mutandum sit non video. *αἴσχιστος* conjecit Piersonus, probante Porsono ad Phœn. 594.

1288. *ἆρ' οὐ* Porsonus, Præf. ad Eur. Hec. p. xii. qui vel *ἆρ' οὐ* vel *ἆρα* h. l. legendum censet, quorum illud cum ipso Porsono prætuli. *οὐκ ἆρα* La. *οὐκ ἄρα* reliqui.

1289. *ἁγνὸν Ζηνὸς ὑψίστου σέβας* Wakef. et ita citat Pors. ad Med. 750. Sed fac *ἁγνὸν σέβας* sæpius dixisse Tragicos: quidni et *ὕψιστον σέβας* dicere potuerint? Et *ἁγνὸς* audit

ΦΙ. ὦ φίλτατ' εἰπών, εἰ λέγεις ἐτήτυμα.
ΝΕ. τοὔργον παρέσται φανερόν. ἀλλὰ δεξιὰν
πρότεινε χεῖρα, καὶ κράτει τῶν σῶν ὅπλων.
ΟΔ. ἐγὼ δ' ἀπαυδῶ γ', ὡς θεοὶ ξυνίστορες,
ὑπέρ τ' Ἀτρειδῶν τοῦ τε σύμπαντος στρατοῦ.
ΦΙ. τέκνον, τίνος φώνημα, μῶν Ὀδυσσέως
ἐπῃσθόμην ; ΟΔ. σάφ' ἴσθι· καὶ πέλας γ' ὁρᾷς,
ὃς σ' ἐς τὰ Τροίας πεδί' ἀποστελῶ βίᾳ,
ἐάν τ' Ἀχιλλέως παῖς ἐάν τε μὴ θέλῃ.
ΦΙ. ἀλλ' οὔ τι χαίρων, ἢν τόδ' ὀρθωθῇ βέλος.
ΝΕ. ἆ, μηδαμῶς, μὴ πρὸς θεῶν, μεθῇς βέλος.
ΦΙ. μέθες με, πρὸς θεῶν, χεῖρα, φίλτατον τέκνον.
ΝΕ. οὐκ ἂν μεθείην. ΦΙ. φεῦ. τί μ' ἄνδρα πολέμιον
ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς ;
ΝΕ. ἀλλ' οὔτ' ἐμοὶ τοῦτ' ἐστὶν οὔτε σοὶ καλόν.
ΦΙ. ἀλλ' οὖν τοσοῦτόν γ' ἴσθι, τοὺς πρώτους στρατοῦ,
τοὺς τῶν Ἀχαιῶν ψευδοκήρυκας, κακοὺς
ὄντας πρὸς αἰχμήν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.
ΝΕ. εἶεν. τὰ μὲν δὴ τόξ' ἔχεις, κοὐκ ἔσθ' ὅτου
ὀργὴν ἔχοις ἂν οὐδὲ μέμψιν εἰς ἐμέ.
ΦΙ. ξύμφημι. τὴν φύσιν δ' ἔδειξας, ὦ τέκνον,
ἐξ ἧς ἔβλαστες· οὐχὶ Σισύφου πατρός,
ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώντων θ' ὅτ' ἦν
ἤκου' ἄριστα, νῦν δὲ τῶν τεθνηκότων.
ΝΕ. ἥσθην πατέρα τὸν ἀμὸν εὐλογοῦντά σε

Jupiter in Æsch. Suppl. 654. ab Hermanno laudato.

1295. Interrogandi notam vulgo post φώνημα positam sustulit Dindorfius.

1300. ἆ Turn. ἂ ᾶ La. ἂ ἂ Ald.

1304. τοῦτ' ἐστὶν οὔτε σοὶ καλόν. Vulgo καλὸν τοῦτ' ἐστὶν οὔτε σοὶ metro ruente. Correxit Wakefieldius.

1306. ψευδοκήρυκας. *adulterinos et mendaces oratores.* Hoc nomine contumeliose donat Ulyssem Philoctetes. WAKEFIELD.

1311. ἐξ ἧς ἔβλαστες. Cf. ad El. 440. Œd. T. 717.

1314. πατέρα τὸν ἀμὸν Triclinius. πατέρα τε τὸν ἐμὸν vulgo, sed τε om. La. Lb. Lc. B. V. Γ. Ven. Similiter in codicibus nonnullis erratum esse in El. 279. 588. 1496. monet Dindorfius. De constructione cf. ad Aj. 136.

αὐτόν τέ μ'· ὧν δέ σου τυχεῖν ἐφίεμαι
ἄκουσον. ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν·
ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις,
ὥσπερ σύ, τούτοις οὔτε συγγνώμην ἔχειν
δίκαιόν ἐστιν οὔτ' ἐποικτείρειν τινά.
σὺ δ' ἠγρίωσαι, κοὔτε σύμβουλον δέχει,
ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων,
στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος.
ὅμως δὲ λέξω· Ζῆνα δ' ὅρκιον καλῶ·
καὶ ταῦτ' ἐπίστω, καὶ γράφου φρενῶν ἔσω.
σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης,
Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυφῆ
σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις·
καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ' ἐντυχεῖν
νόσου βαρείας, ὡς ἂν αὐτὸς ἥλιος
ταύτῃ μὲν αἴρῃ, τῇδε δ' αὖ δύνῃ πάλιν,
πρὶν ἂν τὰ Τροίας πεδί' ἑκὼν αὐτὸς μόλῃς,
καὶ τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιδῶν
νόσου μαλαχθῇς τῆσδε, καὶ τὰ πέργαμα
ξὺν τοῖσδε τόξοις ξύν τ' ἐμοὶ πέρσας φανῇς.

1325. γράφου φρενῶν ἔσω. Cf. Eum. 275. δελτογράφῳ δὲ πάντ' ὀπωπᾷ φρενί. P. V. 789. ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν.

1327. Χρύσης. Vid. ad v. 194.

ἀκαλυφῆ. Ita dixit, quoniam non templum ibi, sed ara tantum sub dio erat. BUTTMANN.

1329. ἐντυχεῖν. Non opus Porsoni conjectura ἂν τυχεῖν, neque enim in tali constructione necessario sequitur ἄν. ἐντυχεῖν autem res ipsa, quæ contigit, dicitur. Hermannus citat Pers. 706. ἀνθρώπεια δ' ἄν τοι πήματ' ἐντύχοι βροτοῖς.

1330. ὡς ἄν. *quamdiu.* Cf. Aj. 1117. ὥσπερ ἂν ζῶ Œd. Col. 1361. Mox αὐτὸς Doederlinus. αὐτὸς libri. οὗτος Brunckius; quod minus bonum videtur.

1333. ἐντυχὼν Ἀσκληπιδῶν] ἐντυχὼν cum genitivo construxit tanquam verbum simplex τυχών. Eodem modo συντυχεῖν v. 320. Œd. Col. 1482. DINDORF. De forma Ἀσκληπιδῶν quam præbent La. Lb. A. Ald. Hermannus citat Etym. M. p. 210. 11. οἱ δὲ ποιηταὶ πολλάκις ἀποβάλλουσι τὸ α, οἷον Ἐριχθονιάδης Ἐριχθονίδης, Τελαμωνιάδης Τελαμωνίδης.

1334. μαλαχθῇς. Genitivum posuit πρὸς τὸ σημαινόμενον: nam μαλαχθῇς idem fere est quod ἀπαλλαχθῇς. DINDORF. μαλαχθῇς sc. *levatus sis morbo.*

τὰ πέργαμα. Cf. supra v. 347.

ὡς δ' οἶδα ταῦτα τῇδ' ἔχοντ' ἐγὼ φράσω.
ἀνὴρ γὰρ ἡμῖν ἐστιν ἐκ Τροίας ἁλούς,
Ἕλενος ἀριστόμαντις, ὃς λέγει σαφῶς
ὡς δεῖ γενέσθαι ταῦτα· καὶ πρὸς τοῖσδ' ἔτι,
ὡς ἔστ' ἀνάγκη τοῦ παρεστῶτος θέρους
Τροίαν ἁλῶναι πᾶσαν· ἢ δίδωσ' ἑκὼν
κτείνειν ἑαυτόν, ἢν τάδε ψευσθῇ λέγων.
ταῦτ' οὖν ἐπεὶ κάτοισθα, συγχώρει θέλων.
καλὴ γὰρ ἡ 'πίκτησις, Ἑλλήνων ἕνα
κριθέντ' ἄριστον, τοῦτο μὲν παιωνίας
εἰς χεῖρας ἐλθεῖν, εἶτα τὴν πολύστονον
Τροίαν ἑλόντα κλέος ὑπέρτατον λαβεῖν.
ΦΙ. ὦ στυγνὸς αἰών, τί με, τί δῆτ' ἔχεις ἄνω
βλέποντα κοὐκ ἀφῆκας εἰς Ἅιδου μολεῖν;
οἴμοι, τί δράσω; πῶς ἀπιστήσω λόγοις
τοῖς τοῦδ', ὃς εὔνους ὢν ἐμοὶ παρῄνεσεν;
ἀλλ' εἰκάθω δῆτ'; εἶτα πῶς ὁ δύσμορος
εἰς φῶς τάδ' ἔρξας εἶμι; τῷ προσήγορος;
πῶς, ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοῦ κύκλοι,
ταῦτ' ἐξανασχήσεσθε, τοῖσιν Ἀτρέως
ἐμὲ ξυνόντα παισίν, οἵ μ' ἀπώλεσαν;
πῶς τῷ πανώλει παιδὶ τῷ Λαερτίου;
οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει,
ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι
δοκῶ προλεύσσειν. οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γένηται, τἄλλα παιδεύει κακά.

1345. *τοῦτο μὲν—εἶτα.* Cf. Œd. T. 603. 605. Ant. 165. 167.

1354. *πάντα ἀμφ' ἐμοῦ.* *omnia in me commissa.* Hermann. *κύκλους* dicit oculos suos. Mox *τοῖσιν—ἀπώλεσαν* ad explicandum *ταῦτα* adjecta esse monuit Dindorfius.

1357. *τοῦ Λαερτίου* Brunckius. *τῷ* codd. recte. Meminerint tirones Porsoni verba ad Phœn. 145. a Schaefero citata: Articulum raro propriis nominibus præfigunt Tragici, nisi propter emphasin quandam, aut initio sententiæ, ubi particula inseritur, ut Phœn. 512. *ταῖς γὰρ ἂν Θήβαις τόδε γένοιτ' ὄνειδος.*

1361. *τἄλλα παιδεύει κακά.* *cætera quoque ita instituit ut fiant mala.* Hermann. *κακοὺς* pro *κακὰ* corrigendum putat Dobræus.

καὶ σοῦ δ' ἔγωγε θαυμάσας ἔχω τόδε.
χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν,
ἡμᾶς τ' ἀπείργειν, οἵ γέ σου καθύβρισαν 1364
πατρὸς γέρας συλῶντες. [οἳ τὸν ἄθλιον
Αἴανθ' ὅπλων σοῦ πατρὸς ὕστερον δίκῃ
Ὀδυσσέως ἔκριναν.] εἶτα τοῖσδε σὺ
εἶ ξυμμαχήσων, κἄμ' ἀναγκάζεις τάδε;
μὴ δῆτα, τέκνον· ἀλλ' ἅ μοι ξυνώμοσας,
πέμψον πρὸς οἴκους· καὐτὸς ἐν Σκύρῳ μένων
ἔα κακῶς αὐτοὺς ἀπόλλυσθαι κακούς.
χοὔτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσει χάριν,
διπλῆν δὲ πατρός· κοὐ κακοὺς ἐπωφελῶν
δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι.
ΝΕ. λέγεις μὲν εἰκότ', ἀλλ' ὅμως σε βούλομαι
θεοῖς τε πιστεύσαντα τοῖς τ' ἐμοῖς λόγοις
φίλου μετ' ἀνδρὸς τοῦδε τῆσδ' ἐκπλεῖν χθονός.
ΦΙ. ἦ πρὸς τὰ Τροίας πεδία καὶ τὸν Ἀτρέως
ἔχθιστον υἱὸν τῷδε δυστήνῳ ποδί;
ΝΕ. πρὸς τοὺς μὲν οὖν σε τήνδε τ' ἔμπυον βάσιν

1362. *παῖ, σοῦ δ'* Porson. ad Orest. 614. cujus regulæ de particulis *καὶ—δὲ* apud Tragicos non conjungendis jam contradixerunt alii. Vid. ad Eumen. 65.

1363. *ἐς*] *εἰς* Γ.

1364. *οἵ γε* Brunckius. *quum illi.* Libri *οἵ τε.*

1365—1367. *οἳ τὸν ἄθλιον—ἔκριναν.* Quæ uncinis seclusi verba delenda jussit Brunckius, quem secuti sunt Schaeferus, Buttmannus, Jacobus: et hodie Wunderus et Dindorfius, quorum ille olim in Advers. p. 20. vulgatam defenderat. Restituerunt Erfurdtius et Hermannus. Brunckius: 'Nihil omnino eorum, quæ ad Trojam gesta fuerunt, Philoctetes ante illum diem inaudiverat: litem Ulyssis cum Ajace de Achillis armis prorsus ignorabat: quin ipsi supra v. 412. dixerat Neoptolemus Ajacem ante Achillem fato functum fuisse. Præterea color ipse assuti centonis mangonem prodit.' Stylus certe minus Sophocleus, unde potissimum adductus sum ut hæc verba pro spuriis secluderem: nam negligentiæ quidem vel *ἀσυστασίας* istiusmodi exempla minime desunt, et excusationem quandam habere possunt. *ὅπλων δίκη* autem litem de Achillis armis significat.

1366. *καί μ'* libri. Correxit Brunckius.

1369. De collocatione verborum *κακῶς κακοὺς* vel *κακοὺς κακῶς* vid. Elmsl. ad Med. 787. Hermann.

1370. Duplicem gratiam dicit et reductum Philoctetam et derelictos Atridas. Buttmann.

παύσοντας ἄλγους κἀποσώσοντας νόσου.
ΦΙ. ὦ δεινὸν αἶνον αἰνέσας, τί φῄς ποτε;
ΝΕ. ἃ σοί τε κἀμοὶ † κάλ' ὁρῶ τελούμενα.
ΦΙ. καὶ ταῦτα λέξας οὐ καταισχύνει θεούς;
ΝΕ. πῶς γάρ τις αἰσχύνοιτ' ἂν ὠφελούμενος;
ΦΙ. λέγεις δ' Ἀτρείδαις ὄφελος, ἢ 'π' ἐμοὶ τάδε;
ΝΕ. σοί που φίλος γ' ὤν, χὼ λόγος τοιόσδε μου.
ΦΙ. πῶς, ὅς γε τοῖς ἐχθροῖσί μ' ἐκδοῦναι θέλεις;
ΝΕ. ὦ τᾶν, διδάσκου μὴ θρασύνεσθαι κακοῖς.
ΦΙ. ὀλεῖς με, γιγνώσκω σε, τοῖσδε τοῖς λόγοις.
ΝΕ. οὔκουν ἔγωγε· φημὶ δ' οὔ σε μανθάνειν.
ΦΙ. ἐγὼ οὐκ Ἀτρείδας ἐκβαλόντας οἶδά με;
ΝΕ. ἀλλ' ἐκβαλόντες εἰ πάλιν σώσουσ' ὅρα.
ΦΙ. οὐδέποθ' ἑκόντα γ' ὥστε τὴν Τροίαν ἰδεῖν.
ΝΕ. τί δῆτ' ἂν ἡμεῖς δρῷμεν, εἰ σέ γ' ἐν λόγοις
πείσειν δυνησόμεσθα μηδὲν ὧν λέγω;
ὡς ῥᾷστ' ἐμοὶ μὲν τῶν λόγων λῆξαι, σὲ δὲ
ζῆν ὥσπερ ἤδη ζῇς ἄνευ σωτηρίας.
ΦΙ. ἔα με πάσχειν ταῦθ' ἅπερ παθεῖν με δεῖ·
ἃ δ' ᾔνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,
πέμπειν πρὸς οἴκους, ταῦτά μοι πρᾶξον, τέκνον,
καὶ μὴ βράδυνε μηδ' ἐπιμνησθῇς ἔτι
Τροίας. ἅλις γάρ μοι τεθρήνηται λόγοις.
ΝΕ. εἰ δοκεῖ, στείχωμεν. ΦΙ. ὦ γενναῖον εἰρηκὼς ἔπος.

1379. κἀποσώσοντας. Heathius. Libri κἀποσῴζοντας.

1380. αἶνον *verbum* primitiva significatione dictum. Etym. MS. ap. Valck. ad Ammon. ab Ellendtio citatum, αἶνος καὶ μῦθος, ὁ λόγος ποιητικῶς.

1381. κάλ' ὁρῶ libri veteres plerique. καλῶς La. Γ. Ven. unde λῷσθ' Dindorfius. καλὸν ὁρᾶν dubitanter ipse conjeci.

1384. ἐπὶ ad Ἀτρείδαις etiam referri monuit Buttmannus. Sensus est: *illa autem quæ utilia dicis, num ad Atridas an ad me spectant?*

1390. ἐγὼ οὐκ Ἀτρείδας] Ita Wunderus et Dindorfius ex La. ubi ἔγωγ' οὐ κατρείδας. ἐγώ γ' οὐκ Ἀτρείδας Γ. Vulgo ἔγωγ' Ἀτρείδας.

1393. τί δῆτ' ἂν ἡμεῖς δρῷμεν. Cf. supra v. 895.

1394. πείσειν δυνησόμεσθα. De futuro vid. ad Œd. T. 272.

1395. ὡς. *quare.*

1401. λόγοις] γόοις v. l. in La. Γ. T.

1402. εἰ δοκεῖ delevit Porsonus cæsura violata offensus. Vid. Præf. ad Hec. p. xlvii.

ΝΕ. ἀντέρειδε νῦν βάσιν σήν. ΦΙ. εἰς ὅσον γ' ἐγὼ σθένω.
ΝΕ. αἰτίαν δὲ πῶς Ἀχαιῶν φεύξομαι; ΦΙ. μὴ φροντίσῃς.
ΝΕ. τί γάρ, ἐὰν πορθῶσι χώραν τὴν ἐμήν; ΦΙ. ἐγὼ
παρὼν
ΝΕ. τίνα προσωφέλησιν ἔρξεις; ΦΙ. βέλεσι τοῖς
Ἡρακλέους
ΝΕ. πῶς λέγεις; ΦΙ. εἴρξω πελάζειν [σῆς πάτρας.
ΝΕ. ἀλλ' * * *
εἰ * δρᾷς ταῦθ' ὥσπερ αὐδᾷς,] στεῖχε προσκύσας
χθόνα.

ΗΡΑΚΛΗΣ.

μήπω γε, πρὶν ἂν τῶν ἡμετέρων
ἀΐῃς μύθων, παῖ Ποίαντος·
φάσκειν δ' αὐδὴν τὴν Ἡρακλέους
ἀκοῇ τε κλύειν λεύσσειν τ' ὄψιν.
τὴν σὴν δ' ἥκω χάριν οὐρανίας
ἕδρας προλιπών,
τὰ Διός τε φράσων βουλεύματά σοι,
κατερητύσων θ' ὁδὸν ἣν στέλλει·
σὺ δ' ἐμῶν μύθων ἐπάκουσον.
καὶ πρῶτα μέν σοι τὰς ἐμὰς λέξω τύχας,
ὅσους πονήσας καὶ διεξελθὼν πόνους
ἀθάνατον ἀρετὴν ἔσχον, ὡς πάρεσθ' ὁρᾶν.
καὶ σοί, σάφ' ἴσθι, τοῦτ' ὀφείλεται παθεῖν,
ἐκ τῶν πόνων τῶνδ' εὐκλεᾶ θέσθαι βίον.

1406. Ἡρακλέους tacite Brunckius. Libri Ἡρακλείοις.

1407. Versus sic in codd. scripti, nisi quod δρᾷς τάδ' ὡς Ven. Particulam γε post εἰ inseruit Turnebus. Correxit Porsonus ἀλλ' εἰ δοκεῖ (εἰ δοκεῖ huc ex v. 1402. retracto), ταῦτα δρᾶν ὅπωσπερ αὐδᾷς. Alii aliter. Dindorfius ex uno versu confectos putat, qui fuit, πῶς λέγεις; εἴρξω πελάζειν. στεῖχε προσκύσας χθόνα. Hoc fortasse verum est.

1410. φάσκειν. Cf. Œd. T. 462. El. 9.

1420. ἀρετὴν ἔσχον. h. e. *excellentiæ laudem.* Martinus confert Pind. Ol. vii. 163. ἄνδρα τε πὺξ ἀρέταν εὑρόντα.

1422. ἐκ τῶν πόνων. *post hos labores.* Cf. Ant. 150. ἐκ πολέμων τῶν νῦν θέσθε λησμοσύναν.

ἐλθὼν δὲ σὺν τῷδ' ἀνδρὶ πρὸς τὸ Τρωϊκὸν
πόλισμα πρῶτον μὲν νόσου παύσει λυγρᾶς,
ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος,
Πάριν μέν, ὃς τῶνδ' αἴτιος κακῶν ἔφυ,
τόξοισι τοῖς ἐμοῖσι νοσφίσεις βίου,
πέρσεις τε Τροίαν, σκῦλά τ' εἰς μέλαθρα σὰ
πέμψεις, ἀριστεῖ' ἐκλαβὼν στρατεύματος,
Ποίαντι πατρὶ πρὸς πάτρας Οἴτης πλάκα.
ἃ δ' ἂν λάβῃς σὺ σκῦλα τοῦδε τοῦ στρατοῦ,
τόξων ἐμῶν μνημεῖα πρὸς πυρὰν ἐμὴν
κόμιζε. καὶ σοὶ ταῦτ', Ἀχιλλέως τέκνον,
παρῄνεσ'· οὔτε γὰρ σὺ τοῦδ' ἄτερ σθένεις
ἑλεῖν τὸ Τροίας πεδίον οὔθ' οὗτος σέθεν.
ἀλλ' ὡς λέοντε συννόμω φυλάσσετον
οὗτος σὲ καὶ σὺ τόνδ'· ἐγὼ δ' Ἀσκληπιὸν
παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.
τὸ δεύτερον γὰρ τοῖς ἐμοῖς αὐτὴν χρεὼν
τόξοις ἁλῶναι. τοῦτο δ' ἐννοεῖσθ', ὅταν
πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς θεούς.
ὡς τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ
Ζεύς. ἡ γὰρ εὐσέβεια συνθνῄσκει βροτοῖς,

1427. *νοσφίσεις* La. Ven. *νοσφιεῖς* vulgo. Cf. ad Œd. T. v. 538.

1437. Jacobus in Quæstt. Soph. p. 313. h. l. interpolatum esse putat, quia mendacii arguitur Helenus, quo auctore supra v. 1333. ab Æsculapii filiis sanatum iri Philoctetam retulerit Neoptolemus. Recte ad hæc respondet Buttmannus, illa non sic a Neoptolemo relata esse, ut si Helenus diserte Æsculapii filios nominasset, sed quum ille sanatum iri a medico Philoctetam dixisset, Neoptolemum id de claris illis qui in exercitu erant medicis esse interpretatum: Herculem autem nunc, quo certius illi de restituenda valetudine persuadeat, ipsum ab se Æsculapium missum iri significare, divina enim arte opus esse ad expugnandum virus hydræ Lernææ. HERMANN.

1440. *ἐννοεῖθ'* in forma activa alibi sæpius a Sophocle usurpata præfert Elmsleius.

1443. *ἡ γὰρ εὐσέβεια συνθνῄσκει βροτοῖς*. Sic vulgo, quod *simul ad orcum descendit, morientes comitatur*, eleganter sane interpretatus est Tyrwhittus, vereor tamen ne elegantius quam verius. Hoc si mecum censeas, *οὐ γὰρ ηὐσέβεια* cum Dawesio legendum erit. Proximus versus Dindorfio interpolatus videtur.

κἂν ζῶσι κἂν θάνωσιν, οὐκ ἀπόλλυται.
ΦΙ. ὦ φθέγμα ποθεινὸν ἐμοὶ πέμψας,
χρόνιός τε φανείς,
οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις.
ΝΕ. κἀγὼ γνώμην ταύτῃ τίθεμαι.
ΗΡ. μή νυν χρόνιοι μέλλετε πράσσειν.
καιρὸς καὶ πλοῦς
ὅδ' ἐπείγει γὰρ κατὰ πρύμναν.
ΦΙ. φέρε νυν στείχων χώραν καλέσω.
χαῖρ', ὦ μέλαθρον ξύμφρουρον ἐμοί,
Νύμφαι τ' ἔνυδροι λειμωνιάδες,
καὶ κτύπος ἄρσην πόντου προβολῆς,
οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθη
κρᾶτ' ἐνδόμυχον πληγαῖσι νότου,
πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας
Ἑρμαῖον ὄρος παρέπεμψεν ἐμοὶ
στόνον ἀντίτυπον χειμαζομένῳ.
νῦν δ', ὦ κρῆναι Λύκιόν τε ποτόν,

1448. Vulgo *γνώμη ταύτῃ τίθεμαι*. Recte *γνώμην* post alios correxisse videtur Dindorfius.

1449. *πράσσειν* codd. et edd. ante Brunck.

1450. *καιρὸς καὶ πλοῦς*. Cf. 466. *καιρὸς γὰρ καλεῖ πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.*

1451. *κατὰ πρύμναν*. Thucyd. ii. 97. *αὕτη περίπλους ἐστὶν ἡ γῆ τὰ ξυντομώτατα, ἢν ἀεὶ κατὰ πρύμναν ἱστῆται τὸ πνεῦμα, νηὶ στρογγύλῃ τεσσάρων ἡμερῶν καὶ ἴσων νυκτῶν.* Virg. Æn. iii. 130. *Prosequitur surgens a puppi ventus euntes.*

1451. De particula *γὰρ* longius ab initio sententiæ remota dixit Hermannus contra Buttmannum in nota ad h. l. coll. Schaef. Mel. Crit. p. 76. Post *ὅδ'* interpungunt nonnulli.

1455. *ἄρσην*. *gravisonus*. Cf. Eustath. Il. A. p. 10. 22. Mox *προβολῆς* Hermannus. Vulgo *προβλῆς*, unde *προβλῆς θ'* Musgravius, quod minus aptum, nam sic *οὗ* eo referendum potius quam ad *μέλαθρον* videri posset. Hermannus citat Q. Smyrn. i. 377. *ὡς δ' ὅτ' ἐπὶ προβολῆσι πολυκλύστοιο θαλάσσης*. *οὗ* autem ad remotius *μέλαθρον* refertur. Cf. Trach. 998.

1456. *ἐτέγχθην* Heathius, quod probari potest. Mox *πληγῇσι* libri.

1459. *Ἑρμαῖον*. Mons Lemni ita appellatus. Montes autem omnes hoc nomine vocari posse notavit Schol. *ὅτι νόμιος ὁ θεὸς καὶ ὄρειος*. De accentu quem tacite ex vulgato *Ἕρμαιον* correxit Brunckius testem advocat Dindorfius Schol. ad Iliad. N. 791.

1461. *Λύκιον* Brunckius. Vulgo *γλύκιον*. *γ̈λύκιον* (sic) La. Schol. *ἡ οὕτω καλουμένη κρήνη ἐν Λήμνῳ Λυκίου Ἀπόλλωνος.*

λείπομεν ὑμᾶς, λείπομεν ἤδη,
δόξης οὔ ποτε τῆσδ' ἐπιβάντες.
χαῖρ', ὦ Λήμνου πέδον ἀμφίαλον,
καί μ' εὐπλοίᾳ πέμψον ἀμέμπτως,
ἔνθ' ἡ μεγάλη Μοῖρα κομίζει,
γνώμη τε φίλων, χὠ πανδαμάτωρ
δαίμων, ὃς ταῦτ' ἐπέκρανεν.

ΧΟ. χωρῶμεν δὴ πάντες ἀολλεῖς,
Νύμφαις ἁλίαισιν ἐπευξάμενοι
νόστου σωτῆρας ἱκέσθαι.

1463. *δόξης—ἐπιβάντες.* Wakefieldius contulit *τάων δώδεκα πᾶσαι ἀναιδείης ἐπέβησαν* Odyss. X. 424. cui similis Iliad. Θ. 285. *τὸν καὶ τηλόθ' ἐόντα ἐϋκλείης ἐπίβησον.* Œd. Col. 188. *εὐσεβίας ἐπιβαίνοντες.* Eustath. ad Il. Γ. p. 774. 3. *δόξης δ' οὔποτε τῆσδ' ἐπιβάντες, ἀντὶ τοῦ οὔποτε τοῦτο δοξάσαντες.*

1468. *δαίμων.* Jovem recte intelligit Buttmannus. Minus bene Herculem nonnulli.

1469. *χωρῶμεν δὴ*] *δὴ* correxit Hermannus. *ἤδη* La. Γ. B. Harl. *νυν* T. cum gl. *δή.*

1470. *Νύμφας σωτῆρας*] *σωτῆρας* masculinum ad Nymphas refertur. Æsch. S. c. Th. 224. *εὐπραξία σωτήρ.* Œd. T. 80. *σωτὴρ τύχῃ.* Ant. 1074. *λωβητῆρες 'Ερινύες.* Brunck.

ΗΛΕΚΤΡΑ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΑΙΔΑΓΩΓΟΣ.
ΟΡΕΣΤΗΣ.
ΗΛΕΚΤΡΑ.
ΧΟΡΟΣ.
ΧΡΥΣΟΘΕΜΙΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΑΙΓΙΣΘΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ὑπόκειται ὧδε· τροφεὺς δεικνὺς Ὀρέστῃ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε * τῷ τροφεῖ, δείσασα μὴ καὶ αὐτὸν κτείνωσιν. ὁ δὲ ὑπεξέθετο αὐτὸν εἰς Φωκίδα πρὸς τὸν Στρόφιον· νῦν δὲ μετὰ εἴκοσιν ἔτη ἐπανιὼν σὺν αὐτῷ πρὸς τὸ Ἄργος δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

* ἔδωκε conjecit Schaeferus.

ΗΛΕΚΤΡΑ.

ΠΑΙΔΑΓΩΓΟΣ.

Ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι
παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.
τὸ γὰρ παλαιὸν Ἄργος οὑπόθεις τόδε,
τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης·
αὕτη δ', Ὀρέστα, τοῦ λυκοκτόνου θεοῦ
ἀγορὰ Λύκειος· οὑξ ἀριστερᾶς δ' ὅδε
Ἥρας ὁ κλεινὸς ναός· οἷ δ' ἱκάνομεν,
φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν,
πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε,
ὅθεν σε πατρὸς ἐκ φόνων ἐγώ ποτε
πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβὼν
ἤνεγκα κἀξέσωσα κἀξεθρεψάμην
τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.
νῦν οὖν, Ὀρέστα καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον·
ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίου σέλας
ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ,

4. Ἄργος. Urbem designat, non regionem. Ita Schol.

7. Λύκειος h. l. manifestum est ad λυκοκτόνον referri, quo sub nomine ob lupos occisos colebatur Phœbus. Alias vocis origines vid. in Blomf. Gloss. Sept. c. Th. 133.

9. φάσκειν. Cf. Œd. T. 462. De antepenultima in πολυχρύσους producta cf. ad ejusdem fabulæ v. 640.

14. τοσόνδ' ἐς ἥβης. Cf. ad Œd. T. 177.

18. κινεῖ—σαφῆ. i. e. κινεῖ ὥστε σαφῆ γίγνεσθαι. Hermann.

μελαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη.
πρὶν οὖν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
ξυνάπτετον λόγοισιν· ὡς ἐνταῦθ' ἵνα
οὐκ ἔστ' ἔτ' ὀκνεῖν καιρός, ἀλλ' ἔργων ἀκμή.

ΟΡΕΣΤΗΣ.

ὦ φίλτατ' ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
σημεῖα φαίνεις ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
ὥσπερ γὰρ ἵππος εὐγενής, κἂν ᾖ γέρων,
ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
ἀλλ' ὀρθὸν οὖς ἵστησιν, ὡσαύτως δὲ σὺ
ἡμᾶς τ' ὀτρύνεις καὐτὸς ἐν πρώτοις ἕπει.
τοιγὰρ τὰ μὲν δόξαντα δηλώσω· σὺ δὲ
ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδούς,
εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
ἐγὼ γὰρ ἡνίχ' ἱκόμην τὸ Πυθικὸν
μαντεῖον, ὡς μάθοιμ' ὅτῳ τρόπῳ πατρὸς
δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος ὧν πεύσει τάχα·
ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ
δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγάς.

19. ἄστρων εὐφρόνη dicitur pro εὐφρόνη ἀστερόεσσα. Vid. Bernhardy, Synt. Gr. III. 45.

21. ξυναπτέον E. quod etiam conjecit Toupius. Nil mutandum docuit Hermannus: Pyladen enim, licet nihil loquatur, tamen ita adesse, ut qui loquuturus esse, si opus sit, videatur. Mox, ὡς ἐνταῦθ' ἵνα οὐκ ἔστ' ἔτ' ὀκνεῖν καιρὸς ex ejusdem conjectura restitui, præeunte Hotchkisio apud Gaisford. ad Hephæst. p. 218. qui οὐκ ἔστιν ὀκνεῖν legendum censuit. Vulgo legitur ὡς ἐνταῦθ' ἐμὲν ἵν' οὐκ ἔτ' ὀκνεῖν κ.τ.λ. ἐμέν Sophocli obtrudendum esse vix erit qui defendat. ὡς ἐνταῦθ' ἵνα valet *quippe ubi*. Non repugnem si quis explicet sicut νῦν ὅτε et similia. Cf. Hermann. ad Aj. 789. (ed. Herm.) Constructio autem librarios fefellit, qui cum ἐσμὲν supplendum putarent, id demum textui intulerunt. Vitium olim libros insedisse videtur: nam ἐμὲν habent La. Lb. suprascr. σ.

27. ὡσαυτὼς δέ. Notandum δὲ in apodosi, post parenthesin illatum.

33. πατρὶ La. pr. Sed junge πατρὸς δίκας: *pœnas ob occisum patrem*.

34. ἀροίμην futurum optativi est. Vid. ad Œd. T. 72.

36. αὐτόν. *ipsum.* i. e. non per alios. HERMANN.

ὅτ' οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
σὺ μὲν μολών, ὅταν σε καιρὸς εἰσάγῃ,
δόμων ἔσω τῶνδ', ἴσθι πᾶν τὸ δρώμενον,
ὅπως ἂν εἰδὼς ἡμὶν ἀγγείλῃς σαφῆ.
οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.
λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
Φωκεύς, παρ' ἀνδρὸς Φανοτέως ἥκων. ὁ γὰρ
μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
ἄγγελλε δ' ὅρκον προστιθεὶς ὁθούνεκα
τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,
ἄθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων
δίφρων κυλισθείς· ὧδ' ὁ μῦθος ἑστάτω.
ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς

43. οὐδ' ὑποπτεύσουσιν. Aoristi et futuri similiter conjunctorum exemplum attulit Dindorfius Œd. Col. 450. 452. ἀλλ' οὔ τι μὴ λάχωσι τοῦδε συμμάχου, οὔτε σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ ὄνησις ἥξει. Mox in explicando ἠνθισμένον laborant interpretes: sed nihil aliud innuere videtur poeta quam vestem et ornatum quo instructus pædagogus tanquam hospes Phocensis in ædes ingressurus erat.

45. παρ' ἀνδρὸς Φανοτέως. *a viro quopiam, nomine Phanoteo.* Sic Hom. Il. E. 649. ἀνέρος ἀφραδίησιν, ἀγανοῦ Λαομέδοντος. Cf. Λ. 737. Π. 716. HERMANN. Prudenter nomine utitur non Strophii, sed Phanotei, qui exosus fratrem Crisum ejusque progeniem, Strophium et Pyladem, amicissimus est Clytæmnestræ atque Ægistho. Itaque non metuendum est Oresti, ne nuncius qui ab Phanoteo missum se esse simulet, doli alicujus suspicionem Clytæmnestræ moveat aut Ægistho. Bene hoc animadvertit O. Muellerus in Diar. Gotting. a. 1831. fol. 101. p. 1004. DINDORF. De accentu in ὅ cf. ad Æsch. Eum. v. 7. Ita scriptum in Lips. a. b. Eust. p. 405. 45.

46. τυγχάνει. Vid. ad Aj. v. 9. et cf. infra v. 313.

47. ἄγγελλε δ' ὅρκον προστιθείς. Vulgatam ὅρκῳ inter alios tuetur Wunderlich. Obss. Critt. in Æsch. p. 84. Verum sive construas ἄγγελλε (σὺν) ὅρκῳ προστιθεὶς (αὐτόν), sive ὅρκῳ προστιθείς, (τὰ ἀγγελλόμενα) quod Schaefero placet, durissima videtur loquendi ratio. Ergo Reiskii conjecturam ὅρκον recepi.

48. ἀναγκαίας τύχης. *morte violenta.* In Aj. 485. ἀναγκαία τύχη captivitatem significat.

49. ἄθλοισι Πυθικοῖσιν. Anachronismum notavit Scholiasta, nam Pythica Olymp. XLVIII. demum instituta sunt.

52. Fluctuat lectio inter λοιβαῖσι πρῶτον, λοιβαῖσί τε πρῶτον (ita La. sed τε suprascr. a m. s.), λοιβαῖς τε πρῶτον, et λοιβαῖς τὸ πρῶτον, quorum postremum in optimis Suidæ codd. s. v. χλιδὴ reperitur.

στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν,
τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον,
ὅπως λόγῳ κλέπτοντες ἡδεῖαν φάτιν
φέροιμεν αὐτοῖς τοὐμὸν ὡς ἔρρει δέμας
φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον.
τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν
ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος;
δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
λόγῳ μάτην θνήσκοντας· εἶθ', ὅταν δόμους
ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον.
ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
δεδορκότ' ἐχθροῖς ἄστρον ὣς λάμψειν ἔτι.
ἀλλ', ὦ πατρῴα γῆ θεοί τ' ἐγχώριοι,
δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς.
σύ τ', ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος·
καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
ἀλλ' ἀρχέπλουτον καὶ καταστάτην δόμων.
εἴρηκα μέν νυν ταῦτα· σοὶ δ' ἤδη, γέρον,

54. ἠρμένοι χεροῖν. h. e. ἠρμένον ἔχοντες. Cf. Horat. Sat. I. vi. 74. Ep. I. i. 56. *lævo suspensi loculos tabulamque lacerto.* Vid. etiam Blomf. Gloss. ad Pers. 878. Prom. V. 736.

55. οἶσθά μοι La. pr. Γ. et sic T. cum v. l. που. που si verum est, ad οἶσθα, non ad κεκρυμμένον referendum esse bene docuit Monkius. Sed μοι verius puto: nam nulla erat caussa dubitandi quin hoc Pædagogo satis cognitum esset.

57. φέροιμεν La. et plerique, quod recte ad κεκρυμμένον refert Monkius. Hoc si non placet, necessario φέρωμεν cum Γ. legendum erit.

61 Hoc dicit, quia mortuum se nunciari aliquid per se male ominati habebat.

63. μάτην. *falso.* θνήσκοντας *mortuos* significat, sicut in Œd. T. 118. θνήσκουσι γάρ, πλὴν εἷς τις. Infra v. 113. αἳ τοὺς ἀδίκους θνήσκοντας ὁρᾶτε. Æsch. Choeph. 328. ὀτοτύζεται δ' ὁ θνήσκων. Thucyd. ii. 52. ἀλλὰ καὶ νεκροὶ ἐπ' ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο.

66. δεδορκότ'. *vivum.*

72. ἀλλ' ἀρχέπλουτον] δέξασθε e v. 68. repetendum. Cf. infra 435. Monuit Gaisfordius, citato Elmsl. ad Bacch. 859.

73. μέν νυν Brunckius. Hermannus μέν νῦν retinet. Illud autem h. l. aptius videtur.

τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος.
νὼ δ' ἔξιμεν· καιρὸς γάρ, ὅσπερ ἀνδράσιν
μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης.

ΗΛΕΚΤΡΑ.

ἰώ μοί μοι δύστηνος.
ΠΑ. καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
ὑποστενούσης ἔνδον αἰσθέσθαι, τέκνον.
ΟΡ. ἆρ' ἐστὶν ἡ δύστηνος Ἠλέκτρα; θέλεις
μείνωμεν αὐτοῦ κἀνακούσωμεν γόων;
ΠΑ. ἥκιστα. μηδὲν πρόσθεν ἢ τὰ Λοξίου
πειρώμεθ' ἔρδειν κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
πατρὸς χέοντες λουτρά· ταῦτα γὰρ φέρει
νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων.
ΗΛ. ὦ φάος ἁγνὸν
καὶ γῆς ἰσόμοιρ' ἀήρ, ὥς μοι
πολλὰς μὲν θρήνων ᾠδάς,
πολλὰς δ' ἀντήρεις ᾔσθου

77. δύστηνος delere vult Dindorfius.

78. θυρῶν. *a foribus.* Ita Hermannus: quod comparari potest cum ὄχου Œd. T. 808. si vera ibi lectio, δόμων infra v. 324. αἰθερίας νεφέλας Œd. Col. 1082. Nec tamen spernendam dixerim Scholiastæ explicationem, sc. ut θυρῶν ab ἔνδον in versu proximo regatur.

83. ἔρδειν Brunckius. ἕρδειν libri pravo accentu.

84. λουτρά. *libamina.* Cf. infra v. 434.

85. φέρει νίκην τ' ἐφ' ἡμῖν. Recte monuit Wunderus non eadem esse φέρειν τί τινι et φέρειν τι ἐπί τινι, sed hoc potius significare, *ferre aliquid, ut sit penes aliquem*, h. e. tradere aliquid in alicujus potestatem. Comparare poterat Hom. Il. A. 509. τόφρα δ' ἐπὶ Τρώεσσι τίθει κράτος. Eumen. v. 347. γιγνομέναισι λάχη τάδ' ἐφ' ἁμῖν ἐκράνθη, quæ per tmesin vulgo explicari solent.

87. γῆς ἰσόμοιρ' ἀήρ. Nihil videtur aliud dici, quam æther, parem cum terra ambitum habens. Vide similia apud Valck. Diatr. Eurip. p. 46. sq. HERMANN. Cæterum ἰσόμοιρ' Porsonus. Vulgo ἰσόμοιρος, prima syllaba in ἀὴρ contra Atticorum usum correpta.

89. ἀντήρεις idem est quod ἀνταῖος v. 196. De terminatione ηρης conferri potest Brunckius ad h. l. et quem ille citat Valck. ad Phœn. v. 90.

ᾔσθου. *sentire soles.* Ita si vertas, recte se habebit quod post infertur ὁπόταν ὑπολειφθῇ.

στέρνων πλαγὰς αἱμασσομένων,
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
τὰ δὲ παννυχίδων ἤδη στυγεραὶ
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
φοίνιος Ἄρης οὐκ ἐξένισεν,
μήτηρ δ' ἡμὴ χὠ κοινολεχὴς
Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι,
σχίζουσι κάρα φονίῳ πελέκει.
κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης
ἢ 'μοῦ φέρεται, σοῦ, πάτερ, οὕτως
αἰκῶς οἰκτρῶς τε θανόντος.
ἀλλ' οὐ μὲν δὴ
λήξω θρήνων στυγερῶν τε γόων,
ἔς τ' ἂν λεύσσω παμφεγγεῖς
ῥιπάς, λεύσσω δὲ τόδ' ἦμαρ,
μὴ οὐ τεκνολέτειρ' ὥς τις ἀηδὼν
ἐπὶ κωκυτῷ τῶνδε πατρῴων
πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.
ὦ δῶμ' Ἀΐδου καὶ Περσεφόνης,
ὦ χθόνι' Ἑρμῆ καὶ πότνι' Ἀρά,
σεμναί τε θεῶν παῖδες Ἐρινύες,
αἳ τοὺς ἀδίκως θνήσκοντας ὁρᾶθ',
† * τοὺς εὐνὰς ὑποκλεπτομένους,

92. τὰ δὲ παννυχίδων ἤδη. Particulam ἤδη junge cum τὰ παννυχίδων, ita ut non mane tantum, sed jam noctu se lugere Electra dicat. WUNDERUS.

96. ἐξένισεν. Alludit ad cædem Agamemnonis inter convivium patratam. Cf. Hom. Odyss. Δ. 534. sqq. Λ. 405. sqq. ERFURDT. Suidas: οὐκ ἐξένισε. τουτέστιν, οὐκ ἀπέκτεινε. ξένια γὰρ Ἄρεως τραύματα καὶ φόνοι.

98. ὅπως δρῦν ὑλοτόμοι. Exemplum a cæsa quercu repetitum indicat fortem virum magno impetu obtruncatum. Hom. Il. N. 389. ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν. ERFURDT.

102. αἰκῶς] ἀδίκως libri. ἀεικῶς Suid. et v. l. ap. Schol. ἀϊκῶς hinc Brunckius, et Hermannus αἰκῶς.

105. ἔστ' ἂν λεύσσω παμφεγγεῖς ἄστρων libri. λεύσσω ejecit Hermannus. ἄστρων rectius, ut opinor, delevit Dobræus.

114. τοὺς εὐνὰς ὑποκλεπτομένους. Vertendum potius cum Hermanno *quibus furtim ereptus est torus*, quam ὑποκλεπτομένους active accipiendum. Mancus est una syllaba versus et vix dubium quin cum Porsono ejiciendus. 'Neque enim,' inquit, 'verum est Erinnyas adulteriis et ejusmodi leviculis puniendis immorari, quippe quæ cædium et incestuum ulciscendorum satagerent.' Et h. v. et 113. delendum censet Dindorfius. Forte scriptum in v. 114. αἳ τοὺς εὐνάς, quod olim conjecit Monkius.

120. Anglice vertit Porsonus apud Monkium Mus. Crit. Cant. vol. i. p. 68. *For I am no longer able by myself to draw up the weight of grief which is in the opposite scale.*

123. τάκεις οἰμωγὰν dictum sicut τέγγειν δάκρυα et similia de quibus vid. ad Trach. 848. Aj. 376.

124. τὸν πάλαι. Accusativus regitur ab οἰμώζειν, cujus notio inest verbis τάκεις οἰμωγάν. Mox ἀθεώτατα Erfurdtius. Libri ἀθεωτάτας.

129. πατέρων post γενναίων vulgo scriptum deleverunt Hermannus et Monkius.

131. Notandum ι in ξυνίημι corripi ut in versu dactylico, ubi poeta epicum usum videtur secutus.

132. οὐδ'. *neque tamen.*

133. στοναχεῖν] στενάχειν corrigere voluit Elmsl. ad Œd. T. 185.

ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
φόνον ἡμετέρου,
καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν.
μούνη γὰρ ἄγειν οὐκ ἔτι σωκῶ
λύπης ἀντίρροπον ἄχθος.

ΧΟΡΟΣ.

ὦ παῖ, παῖ δυστανοτάτας — στροφὴ α'.
Ἠλέκτρα ματρός, τίν' ἀεὶ
τάκεις ὧδ' ἀκόρεστον οἰμωγὰν
τὸν πάλαι ἐκ δολερᾶς ἀθεώτατα
ματρὸς ἁλόντ' ἀπάταις Ἀγαμέμνονα,
κακᾷ τε χειρὶ πρόδοτον; ὡς ὁ τάδε πορὼν
ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾶν.

ΗΛ. ὦ γενέθλα γενναίων,
ἥκετ' ἐμῶν καμάτων παραμύθιον.
οἶδά τε καὶ ξυνίημι τάδ', οὔ τί με
φυγγάνει, οὐδ' ἐθέλω προλιπεῖν τόδε,
μὴ οὐ τὸν ἐμὸν στοναχεῖν πατέρ' ἄθλιον.
ἀλλ' ὦ παντοίας φιλότητος ἀμειβόμεναι χάριν,
ἐᾶτέ μ' ὧδ' ἀλύειν,

αἰαῖ, ἱκνοῦμαι.
ΧΟ. ἀλλ' οὔτοι τόν γ' ἐξ Ἀΐδα — *ἀντιστροφὴ α'.*
παγκοίνου λίμνας πατέρ' ἀν-
στάσεις οὔτε γόοισιν οὔτ' ἄνταις.
ἀλλ' ἀπὸ τῶν μετρίων ἐπ' ἀμήχανον
ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι,
ἐν οἷς ἀνάλυσίς ἐστιν οὐδεμία κακῶν.
τί μοι τῶν δυσφόρων ἐφίει;
ΗΛ. νήπιος ὃς τῶν οἰκτρῶς
οἰχομένων γονέων ἐπιλάθεται.
ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρεν φρένας,
ἃ Ἴτυν, αἰὲν Ἴτυν ὀλοφύρεται,
ὄρνις ἀτυζομένα, Διὸς ἄγγελος.
ἰὼ παντλάμων Νιόβα, σὲ δ' ἔγωγε νέμω θεόν,
ἅτ' ἐν τάφῳ πετραίῳ,
αἰαῖ, δακρύεις.

137. *τόν γ' ἐξ Ἀΐδα—ἀνστήσεις.* Dictum usu notissimo pro *οὐκ ἀνστήσεις ἐξ Ἀΐδα λίμνης τὸν ἐν Ἀΐδα λίμνῃ ὄντα.* Æsch. Choeph. 507. *τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνον.* Hujus constructionis exempla apud auctores pæne innumerabilia reperiuntur.

139. *γόοισιν* Tricl. Reliqui *γόοις.* Mox *ἄνταις* correxit Hermannus, ex Hesychii glossa, *ἄντῃσι* (cod. *ἀντήσει*), *λιτανείαις, ἀντήσεσι.* Vulgo *οὔτε λιταῖς.* *οὔτε λιταῖσιν* La.

140. Quum dicere deberet *ἔρχει*, pro illo verbo alia significantiora substituit *ἀεὶ στενάχουσα διόλλυσαι.* Hermann.

147. *ἐμέ γ' ἄραρεν φρένας.* Comparant Homer. Odyss. E. 95. *ἤραρε θυμὸν ἐδωδῇ.* In duplici accusativo nemo hærere poterit: notandum autem *ἄραρεν* aoristum esse, non perfectum medium quod semper penultimam producit. *ἄρεσεν* dubitanter conjicit Monkius.

148. *Ἴτυν, αἰὲν Ἴτυν.* Alterum *Ἴτυν* ultimam producit. Dindorfius confert Arist. Av. 212. *πολύδακρυν Ἴτυν | ἐλελιζομένη.* Herc. F. v. 5. *Σπαρτῶν στάχυς ἔβλαστεν.* El. 1214. *βοὰν δ' ἔλασκε τάνδε πρὸς γένυν ἐμάν.* Meleagr. Fr. ap. Macrob. 5. 18. *γενὺν ἔπαλλ' Ἀγκαῖος.*

149. *Διὸς ἄγγελος.* Ex Homerico sermone. Sic Iliad. B. 94. *Ὄσσα, Διὸς ἄγγελος*, et Somnium B. 26. Veris nunciam lusciniam ab Homero et Sapphone dici Scholiastes annotavit. Eoque etiam hic respicitur, nulla tamen veris mentione facta, quia notum est omnibus, quo tempore canat luscinia. Hermann.

150. *σὲ δ' ἔγωγε.* Vid. Porson. ad Eur. Orest. v. 614.

νέμω θεόν. *beatissimam prædico.*

151. *ἅτ'.* Recte monet Wunderus *ἅτε δακρύεις* significare *quæ lacrimes*: *ἃ δακρύεις, quæ lacrimas.*

152. *αἰαῖ δακρύεις*] *αἰεὶ* Brunckius ex cod. Recte *αἰαῖ* defendit Hermannus, tum ex librorum auctoritate, tum quod in stropha eodem loco istæ voculæ sunt. Idem bene monet *αἰαῖ* non ad Niobæ sed ad Electræ sortem referendum esse, quod viderat Triclinius: *τοῦτο οὐκ ἔστι πρὸς τὴν Νιόβην, ἀλλὰ διὰ μέσου ἡ Ἠλέκτρα τίθησιν.*

ΧΟ. οὔτοι σοὶ μούνᾳ, τέκνον, — *στροφὴ β'.*
ἄχος ἐφάνη βροτῶν,
πρὸς ὅ τι σὺ τῶν ἔνδον εἶ περισσά,
οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξύναιμος,
οἵα Χρυσόθεμις ζώει καὶ Ἰφιάνασσα,
κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ
ὄλβιος, ὃν ἁ κλεινὰ
γᾶ ποτε Μυκηναίων
δέξεται εὐπατρίδαν, Διὸς εὔφρονι
βήματι μολόντα τάνδε γᾶν Ὀρέσταν.
ΗΛ. ὅν γ' ἐγὼ ἀκάματα προσμένουσ', ἄτεκνος,
τάλαιν' ἀνύμφευτος αἰὲν οἰχνῶ.
δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον

155. *τῶν ἔνδον εἶ περισσά.* *calamitate illos superas.*

157. *οἵα* pauci codd. Plerique *οἷα.*

Χρυσόθεμις καὶ Ἰφιάνασσα. Bene monet Dindorfius, Sophoclem h. l. eam fabulam sequi quæ quatuor filias Agamemnoni assignabat. Nam de Iphigeniæ cæde exponit infra v. 530. Ergo Sophocli alia est Iphigenia, alia Iphianassa; quæ Lucretio eædem sunt lib. i. 86. Tres memorantur ab Homero Iliad. I. 145. *Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα*, ubi notatum in Schol. minoribus Laodicen Tragicis esse Electram, Iphianassam autem eandem cum Iphigenia. Ita ab Eurip. Orest. 22. memorantur tres filiæ *Χρυσόθεμις, Ἰφιγένειά τ' Ἠλέκτρα τ'*, qui tamen ipse duas tantum fecit in Iphigenia Taurica.

159. *κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ*] *κρυπτὰν ἥβαν* dicit Orestis apud Strophium in exsilio delitescentis. *ἀχέων* participium est. Minus bene pro genitivo accipit Hermannus: *semota a doloribus in juventa felix.* Hoc autem repugnare iis quæ de Oreste v. 602. sc. *τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον*, dicuntur, apte monuit Wunderus.

160. *ὄλβιος.* Hæc vulgo Electræ tribuebantur. Correxit Tyrwhittus. *ὄλβιος* autem ad sequentia referendum, *felix aliquando futurus*: sicut in Homer. Od. Λ. 449. a Nevio laudato. *παῖς δέ οἱ ἦν ἐπὶ μαζῷ, νήπιος, ὅς που νῦν γε μετ' ἀνδρῶν ἵζει ἀριθμῷ, ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθών, καὶ κεῖνος πατέρα προσπτύξεται.*

163. *βήματι.* Schol. *πομπῇ.* Recte monet Nevius: Ut transitiva sunt *βήσω, ἔβησα.*

164. *ὅν γ' ἐγὼ* Hermannus. *ὃν ἔγωγ'* libri. Iambus in dactylum solutus, correpta longa syllaba ante *ἀκάματα.* Dindorfius confert Œd. T. 167. *ὦ πόποι, ἀνάριθμα γὰρ φέρω.*

165. *οἰχνῶ*] *περιέρχομαι* Suidas. *mæsta oberro.*

166. *τὸν ἀνήνυτον οἶτον.* Cf. ad Œd. T. 634.

οἶτον ἔχουσα κακῶν· ὁ δὲ λάθεται
ὧν τ' ἔπαθ' ὧν τ' ἐδάη. τί γὰρ οὐκ ἐμοὶ
ἔρχεται ἀγγελίας ἀπατώμενον;
ἀεὶ μὲν γὰρ ποθεῖ,
ποθῶν δ' οὐκ ἀξιοῖ φανῆναι.
ΧΟ. θάρσει μοι, θάρσει, τέκνον. *ἀντιστροφὴ β'.*
ἔτι μέγας οὐρανῷ
Ζεύς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει·
ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα
μήθ' οἷς ἐχθαίρεις ὑπεράχθεο μήτ' ἐπιλάθου.
χρόνος γὰρ εὐμαρὴς θεός.
οὔτε γὰρ ὁ τὰν Κρῖσαν
βούνομον ἔχων ἀκτὰν
παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος
οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.
ΗΛ. ἀλλ' ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη
βίοτος ἀνέλπιστος, οὐδ' ἔτ' ἀρκῶ·
ἅτις ἄνευ τοκέων κατατάκομαι,
ἇς φίλος οὔτις ἀνὴρ ὑπερίσταται,
ἀλλ' ἁπερεί τις ἔποικος ἀναξία
οἰκονομῶ θαλάμους πατρός, ὧδε μὲν
ἀεικεῖ σὺν στολᾷ,
κεναῖς δ' ἀμφίσταμαι τραπέζαις.

169. ὧν τ' ἔπαθ'. Schol. ὧν ἔπαθεν παρ' ἐμοῦ εὐεργεσιῶν. διέσωσε γὰρ αὐτόν.

τί γὰρ—ἀπατώμενον. *semper enim mitto nuncios, quorum nullus non frustra ad me redit.*

171. αἰεὶ libri et edd. ante Brunckium.

174. ἔτι et mox οὐρανῷ omisso ἐν correxit Heathius. Vulgo ἔστι μέγας ἐν οὐρανῷ. Dindorfius comparavit οἰκεῖν τ' οὐρανῷ, apud Pind. Nem. x. 109.

180. Κρῖσαν] Κρῖσᾳ Musgravius sine caussa. βούνομον ἀκτὰν per appositionem additur. Aliam de Orestis reditu fabulam secutus est Homerus Odyss. Γ. 307.

181. βουνόμον La. et alii plerique. βουνόμαν Ald. Rectius videtur βούνομον.

182. ἀπερίτροπος. *non redux.* Bene Hermannus: De Plutone aliud verbum adhiberi debebat. Sed quoniam in illo ἀπερίτροπος *negligentiæ* significatio latet, non opus erat alio verbo.

189. ἁπερεί τις Stephanus. ἅπερ εἴ τις libri.

192. ἀφίσταμαι La. pr. ἀμφίσταμαι Eust. Od. Λ. p. 1692. 57. Vulgo ἐφίσταμαι.

ΧΟ. οἰκτρὰ μὲν νόστοις αὐδά, *στροφὴ γ'.*
οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις
ὅτε οἱ παγχάλκων ἀνταία
γενύων ὡρμάθη πλαγά.
δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
δεινὰν δεινῶς προφυτεύσαντες
μορφάν, εἴτ' οὖν θεὸς εἴτε βροτῶν
ἦν ὁ ταῦτα πράσσων.
ΗΛ. ὦ πασᾶν κείνα πλέον ἁμέρα
ἐλθοῦσ' ἐχθίστα δή μοι·
ὦ νύξ, ὦ δείπνων ἀρρήτων
ἔκπαγλ' ἄχθη·
τοὺς ἐμὸς ἴδε πατὴρ
θανάτους αἰκεῖς διδύμαιν χειροῖν,
αἳ τὸν ἐμὸν εἷλον βίον
πρόδοτον, αἵ μ' ἀπώλεσαν·
οἷς θεὸς ὁ μέγας Ὀλύμπιος
ποίνιμα πάθεα παθεῖν πόροι,
μηδέ ποτ' ἀγλαΐας ἀποναίατο
τοιάδ' ἀνύσαντες ἔργα.
ΧΟ. φράζου μὴ πόρσω φωνεῖν. *ἀντιστροφὴ γ'.*
οὐ γνώμαν ἴσχεις ἐξ οἵων
τὰ παρόντ' οἰκείας εἰς ἄτας

193. οἰκτρὰ μὲν νόστοις. Præpositionem ἐν constructione ad νόστοις referri monet Hermannus, qui recte hoc de populi ejulatibus, Agamemnonis reversi sortem jam præsagientis, accipit. Vereor autem ut recte sequentia item ad populum retulerit: quæ vix aliud notare possunt quam Agamemnonis perituri exclamationem. Cf. Agam. 1343. seqq.

196. ὅτε οἱ rectissime Hermannus. Vulgo ὅτε σοι. Similis hiatus Trach. 650. ἁ δέ οἱ φίλα δάμαρ τάλαινα.

197. γενύων. Græcis γένυς dicitur cujusvis instrumenti ferrea acies. Hic et infra v. 485. et Phil. 1205. pro *securi* accipitur. BRUNCK. Genitivus ab ὡρμάθη regitur. Cf. ad Aj. 154.

199. εἴτ' οὖν] οὖν plerumque alteri, interdum priori εἴτε additur, ut infra v. 560. Œd. T. 1049. Eurip. Œnom. Fr. 2. DINDORF.

205. ἴδε Brunckius. Libri εἶδε.

206. ἀϊκεῖς La. αἰκεῖς Hermannus, qui etiam αἰκῶς dedit v. 216. Vulgo utrobique ἀεικῶς. Mox χειροῖν Brunckius. Libri χεροῖν.

215. οἰκείας. Significat Electram asperitate sua non illis quibus

ἐμπίπτεις οὕτως αἰκῶς ;
πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
σᾷ δυσθύμῳ τίκτουσ' ἀεὶ
ψυχᾷ πολέμους· τὰ δὲ τοῖς δυνατοῖς
οὐκ ἐριστὰ πλάθειν.
ΗΛ. δεινοῖς ἠναγκάσθην, δεινοῖς·
ἔξοιδ', οὐ λάθει μ' ὀργά.
ἀλλ' ἐν γὰρ δεινοῖς οὐ σχήσω
ταύτας ἄτας,
ὄφρα με βίος ἔχῃ.
τίνι γάρ ποτ' ἄν, ὦ φιλία γενέθλα,
πρόσφορον ἀκούσαιμ' ἔπος,
τίνι φρονοῦντι καίρια ;
ἄνετέ μ', ἄνετε παράγοροι.
τάδε γὰρ ἄλυτα κεκλήσεται·
οὐδέ ποτ' ἐκ καμάτων ἀποπαύσομαι
ἀνάριθμος ὧδε θρήνων.
ἐπῳδός.
ΧΟ. ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ,
μάτηρ ὡσεί τις πιστά,
μὴ τίκτειν σ' ἄταν ἄταις.
ΗΛ. καὶ τί μέτρον κακότητος ἔφυ ; φέρε,
πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν ;

irata est, sed sibi ipsi malum parere. HERMANN.

218. ἀεὶ Γ. Δ. Jen. Vulgo αἰεί.

219. πολέμους. Rixas cum Clytæmnestra et Ægistho. HERMANN.

220. Apprime similis Pindari locus Nem. x. 135. ab Hermanno citatus. χαλεπὰ δ' ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων. Interpretare: *De his autem non rixandum, ut cum potentioribus quis congrediatur.*

221. Libri ἐν δεινοῖς bis. Correxit Brunckius.

222. ὀργά. Animi sui impetum dicit.

223. ἐν γὰρ δεινοῖς. *quippe in atrocibus malis.* σχήσω *cohibebo* recte explicat Musgravius. ἄτας lamenta dicit, ex quibus metuit Chorus ne malum sibi contrahat Electra.

226. τίνι pro genitivo παρὰ τίνος positum esse docet Scholiasta. Cf. J. Tate Mus. Crit. iv. p. 535.

232. ἀνάριθμος ὧδε θρήνων. Cf. ad Œd. T. 178.

235. τίκτειν σ' ἄταν ἄταις. Cf. ad Œd. T. 175. Æsch. S. T. 437. καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται.

236. κακότητος. *miseriarum mearum.* Ergo nec lamenta sua μέτρια esse oportere dicit.

237. ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν. *in mortuorum lamentatione ignavam esse.*

ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων ;
μήτ' εἴην ἔντιμος τούτοις
μήτ', εἴ τῳ πρόσκειμαι χρηστῷ,
ξυνναίοιμ' εὔκηλος, γονέων
ἐκτίμους ἴσχουσα πτέρυγας
ὀξυτόνων γόων.
εἰ γὰρ ὁ μὲν θανὼν γᾶ τε καὶ οὐδὲν ὢν
κείσεται τάλας,
οἱ δὲ μὴ πάλιν
δώσουσ' ἀντιφόνους δίκας,
ἔρροι τ' ἂν αἰδώς,
ἁπάντων τ' εὐσέβεια θνατῶν.
ΧΟ. ἐγὼ μέν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα
καὶ τοὐμὸν αὐτῆς ἦλθον· εἰ δὲ μὴ καλῶς
λέγω, σὺ νίκα. σοὶ γὰρ ἑψόμεσθ' ἅμα.
ΗΛ. αἰσχύνομαι μέν, ὦ γυναῖκες, εἰ δοκῶ
πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν,
σύγγνωτε. πῶς γὰρ ἥτις εὐγενὴς γυνή,
πατρῷ' ὁρῶσα πήματ', οὐ δρῴη τάδ' ἄν,
ἁγὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ ;
ᾗ πρῶτα μὲν τὰ μητρός, ἥ μ' ἐγείνατο,
ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
ἐν τοῖς ἐμαυτῆς τοῖς φονεῦσι τοῦ πατρὸς
ξύνειμι, κἀκ τῶνδ' ἄρχομαι κἀκ τῶνδέ μοι
λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.
ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,

240. εἴ τῳ πρόσκειμαι χρηστῷ. *nec si quid mihi boni est secura fruar, si luctus honorem parenti non impertiam.* HERMANN.

242. Bene junxit Hermannus: ἴσχουσα πτέρυγας γόων, ὥστε αὐτὰς ἐκτίμους γονέων γενέσθαι. h. e. *cohibens alas* (i. e. cursum) *lamentorum, ut cohibitæ non honorent patrem.*

244. οὐδὲν ὤν. De οὐ post εἰ vid. ad Œd. T. 885.

261. τὰ μητρὸς non prorsus idem est quod ἡ μήτηρ, quod ait Wunderus. Quid intersit autem, quivis perspexerit.

ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω
τοῖσιν πατρῴοις, εἰσίδω δ' ἐσθήματα
φοροῦντ' ἐκείνῳ ταὐτά, καὶ παρεστίους
σπένδοντα λοιβὰς ἔνθ' ἐκεῖνον ὤλεσεν,
ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
τὸν αὐτοέντην ἡμὶν ἐν κοίτῃ πατρὸς
ξὺν τῇ ταλαίνῃ μητρί, μητέρ' εἰ χρεὼν
ταύτην προσαυδᾶν τῷδε συγκοιμωμένην·
ἡ δ' ὧδε τλήμων ὥστε τῷ μιάστορι
ξύνεστ', Ἐρινὺν οὔτιν' ἐκφοβουμένη·
ἀλλ' ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις,
εὑροῦσ' ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
πατέρα τὸν ἀμὸν ἐκ δόλου κατέκτανεν,
ταύτῃ χοροὺς ἵστησι καὶ μηλοσφαγεῖ
θεοῖσιν ἔμμην' ἱερὰ τοῖς σωτηρίοις.
ἐγὼ δ' ὁρῶσ' ἡ δύσμορος κατὰ στέγας
κλάω, τέτηκα, κἀπικωκύω πατρὸς
τὴν δυστάλαιναν δαῖτ' ἐπωνομασμένην
αὐτὴ πρὸς αὐτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα
τοσόνδ' ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
φωνοῦσα τοιάδ' ἐξονειδίζει κακά,
ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
τέθνηκεν; ἄλλος δ' οὔτις ἐν πένθει βροτῶν;

272. *αὐτοέντην.* Lectio hæc a Scholiasta servata. Libri *αὐτοφόντην.*

274. *τῷδε συγκοιμωμένην.* *quæ scilicet cum hoc concumbat.*

275. Vulgo *ἥδ'*. Correxit Schaeerus.

278. *τότε.* *olim.* Vide not. ad Arist. Lys. 1023. Brunck.

279. *ἀμόν.* Cf. ad Phil. 1314.

281. *ἔμμην' ἱερά.* *sacra quæ singulis mensibus fiunt.* Brunck. *ἱρὰ* Θ. Lips. a. corr. Cf. ad Œd. Col. 16

282. *ὁρῶσ' ἡ*] *ὁρῶσα* Δ. Sed in talibus articulum nunc præfigunt, nunc omittunt Tragici.

283. Vulgo *κλαίω.* Vid. ad Œd. T. 401.

284. *ἐπωνομασμένην.* Schol. vet. *τὴν δηλαδὴ Ἀγαμεμνόνειον λεγομένην.* Nevius comparat Eur. Orest. 1008. *τά τ' ἐπώνυμα δεῖπνα Θυέστου.* Nec tamen necessarium est ipsum Agamemnonis nomen festo inditum fuisse, quod Scholiasta putat.

κακῶς ὄλοιο, μηδέ σ' ἐκ γόων ποτὲ
τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.
τάδ' ἐξυβρίζει· πλὴν ὅταν κλύῃ τινὸς
ἥξοντ' Ὀρέστην· τηνικαῦτα δ' ἐμμανὴς
βοᾷ παραστᾶσ', οὐ σύ μοι τῶνδ' αἰτία;
οὐ σὸν τόδ' ἐστὶ τοὔργον, ἥτις ἐκ χερῶν
κλέψασ' Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;
ἀλλ' ἴσθι τοι τίσουσά γ' ἀξίαν δίκην.
τοιαῦθ' ὑλακτεῖ, σὺν δ' ἐποτρύνει πέλας
ὁ κλεινὸς αὐτῇ ταῦτα νυμφίος παρών,
ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη,
ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.
ἐγὼ δ' Ὀρέστην τῶνδε προσμένουσ' ἀεὶ
παυστῆρ' ἐφήξειν ἡ τάλαιν' ἀπόλλυμαι.
μέλλων γὰρ ἀεὶ δρᾶν τι τὰς οὔσας τέ μου
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
ἐν οὖν τοιούτοις οὔτε σωφρονεῖν, φίλαι,
οὔτ' εὐσεβεῖν πάρεστιν· ἀλλ' ἔν τοι κακοῖς
πολλή 'στ' ἀνάγκη κἀπιτηδεύειν κακά.
ΧΟ. φέρ' εἰπέ, πότερον ὄντος Αἰγίσθου πέλας
λέγεις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;

292. Quos sc. mortuum Agamemnonem lamentando invocabat.

297. *ὑπεξέθου.* *in tuto collocasti.* Thucyd. i. 89. *διεκομίζοντο εὐθὺς ὅθεν ὑπεξέθεντο παῖδας καὶ γυναῖκας καὶ τὴν περιοῦσαν κατασκευήν.*

300. *κλεινὸς* ironice dictum. Mox *ταὐτὰ* Blomfieldius, quod verum esse potest, nec tamen necessarium videtur.

301. *πάντ' ἄναλκις.* De *πάντα* cf. ad Œd. T. 904.

ἡ πᾶσα βλάβη. Cf. Phil. 622. 927.

302. Observent tirones articulum *τάς.* Eum dicit, qui quas facit pugnas, cum mulieribus facit. Hermann.

305. *μέλλων.* *cunctando.* Mox *τὰς οὔσας καὶ τὰς ἀπούσας ἐλπίδας* recte intelligit Hermannus spem quam et in se ipsa, et in illo absente repositam habebat. Illæ scilicet sunt quas ipsa nunc alit, hæ quas reducto fratre mox se habituram esse sperarat.

308. *ἔν τοι* Hermannus. *ἐν τοῖς* vulgò. De *τοι* particula in *γνώμαις* frequentata cf. Pors. ad Hec. 228.

309. *πολλή 'στ' ἀνάγκη.* Ita La. sec. *πολλῆς τ' ἀνάγκης* La. pr. *πολλή τ' ἀνάγκη* Lb. *πολλή γ'* cum Aldo et paucis codd. Hermannus, qui quædam nimis fortasse subtilia disputavit ad Trach. v. 295.

ΗΛ. ἦ κάρτα. μὴ δόκει μ' ἄν, εἴπερ ἦν πέλας,
θυραῖον οἰχνεῖν· νῦν δ' ἀγροῖσι τυγχάνει
ΧΟ. ἦ κἂν ἐγὼ θαρσοῦσα μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει.
ΗΛ. ὡς νῦν ἀπόντος ἱστόρει τό σοι φίλον.
ΧΟ. καὶ δή σ' ἐρωτῶ, τοῦ κασιγνήτου τί φής,
ἥξοντος, ἢ μέλλοντος ; εἰδέναι θέλω.
ΗΛ. φησίν γε· φάσκων δ' οὐδὲν ὧν λέγει ποιεῖ.
ΧΟ. φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.
ΗΛ. καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον οὐκ ὄκνῳ.
ΧΟ. θάρσει· πέφυκεν ἐσθλός, ὥστ' ἀρκεῖν φίλοις.
ΗΛ. πέποιθ', ἐπεί τἂν οὐ μακρὰν ἔζων ἐγώ.
ΧΟ. μὴ νῦν ἔτ' εἴπῃς μηδέν· ὡς δόμων ὁρῶ
τὴν σὴν ὅμαιμον, ἐκ πατρὸς ταὐτοῦ φύσιν,
Χρυσόθεμιν, ἔκ τε μητρός, ἐντάφια χεροῖν
φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.

ΧΡΥΣΟΘΕΜΙΣ.

τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη, φάτιν,
κοὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις
θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά ;
καίτοι τοσοῦτόν γ' οἶδα κἀμαυτὴν ὅτι

313. τυγχάνει. Cf. ad Aj. v. 9.

314. κἂν La. sec. Turn. δ' ἂν La pr.

316. ἱστόρει τί σοι φίλον vulgo. Dindorfius in eo errasse videtur quod τί pro ὅτι et hic et alibi positum putat. Cf. ad Œd. T. 1144. τίς et ὅστις in interrogatione obliqua sæpenumero commutari vix est qui nesciat: sed hujus loci et similium plane diversa est ratio. Neque aliud h. l. significare posset τί quam *sciscitare quid tibi velis*, quod absurdum est. Ergo conjecturam a Matth. Gr. Gr. 488. 1. obs. dubitanter propositam ausus sum recipere, donec certioribus argumentis demonstratum erit τί pro ὅτι tali in oratione usurpari posse.

324. δόμων. *e domo*. Cf. ad v. 78. Modo de scriptura constaret, comparari posset Æsch. Sept. c. Th. 915. δόμων μάλ' ἀχὰν ἐς οὖς προπέμπει δαΐκτὴρ γόος.

325. φύσιν. h. e. γένος.

329. ἐπ' ἐξόδοις cavendum ne cum ἐλθοῦσα construatur, quod cum φωνεῖς construendum est.

332. Ordo est: οἶδα κἀμαυτὴν ὅτι τοσοῦτον ἀλγῶ ἐπὶ τοῖς παροῦσιν ὥστ' ἄν, κ.τ.λ.

ἀλγῶ 'πὶ τοῖς παροῦσιν, ὥστ' ἄν, εἰ σθένος
λάβοιμι, δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.
νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ,
καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.
τοιαῦτα δ' ἀλλὰ καὶ σὲ βούλομαι ποιεῖν.
καίτοι τὸ μὲν δίκαιον, οὐχ ᾗ 'γὼ λέγω,
ἀλλ' ᾗ σὺ κρίνεις. εἰ δ' ἐλευθέραν με δεῖ
ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.
ΗΛ. δεινόν γέ σ' οὖσαν πατρὸς οὗ σὺ παῖς ἔφυς,
κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα
κείνης διδακτά, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
ἔπειθ' ἑλοῦ γε θάτερ', ἢ φρονεῖν κακῶς,
ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν·
ἥτις λέγεις μὲν ἀρτίως ὡς, εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν·
ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης
οὔτε ξυνέρδεις τήν τε δρῶσαν ἐκτρέπεις.
οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει ;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
οὐ ζῶ ; κακῶς μέν, οἶδ'· ἐπαρκούντως δέ μοι.
λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.
σὺ δ' ἡμὶν ἡ μισοῦσα μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μέν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ

335. ὑφειμένῃ. *contractiore velo.*

337. ἄλλα Dindorfius; quod languere videtur. Vulgatam non damnaverim: nam si plene efferas hæc erit, τοιαῦτα δ' (οὐχ ἐμαυτὴν μόνον) ἀλλὰ καὶ σὲ βούλομαι ποιεῖν. Locorum quales sunt Œd. Col. 1276. infra v. 411. diversa est ratio.

343. τἀμὰ νουθετήματα. h. e. ἃ ἐμὲ νουθετεῖς. Mox cum κείνης διδακτὰ cf. μαντικῆς ἄπρακτος Ant. 1034.

348. τὸ τούτων μῖσος. *odium in istos.*

351. *Non malam te solum sed timidam etiam arguunt.*

356. ἐκεῖ. *apud mortuos.*

μέλλοι τις οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
τούτοις ὑπεικάθοιμι· σοὶ δὲ πλουσία
τράπεζα κείσθω καὶ περιρρείτω βίος.
ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ λυπεῖν μόνον
βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν.
οὐδ' ἂν σύ, σώφρων γ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς
πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ
τῆς μητρός. οὕτω γὰρ φανεῖ πλείστοις κακή,
θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.
ΧΟ. μηδὲν πρὸς ὀργὴν πρὸς θεῶν· ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.
ΧΡ. ἐγὼ μέν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων· οὐδ' ἂν ἐμνήσθην ποτέ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.
ΗΛ. φέρ' εἰπὲ δὴ τὸ δεινόν. εἰ γὰρ τῶνδέ μοι
μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.
ΧΡ. ἀλλ' ἐξερῶ τοι πᾶν ὅσον κατοιδ' ἐγώ.
μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξεις γόων,
ἐνταῦθα πέμψειν ἔνθα μή ποθ' ἡλίου
φέγγος προσόψει, ζῶσα δ' ἐν κατηρεφεῖ
στέγῃ χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.
πρὸς ταῦτα φράζου κἀμὲ μή ποθ' ὕστερον
παθοῦσα μέμψῃ. νῦν γὰρ ἐν καλῷ φρονεῖν.
ΗΛ. ἦ ταῦτα δή με καὶ βεβούλευνται ποιεῖν;
ΧΡ. μάλισθ'· ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ.
ΗΛ. ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.
ΧΡ. τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;

363. τοὐμὲ μὴ λυπεῖν. *mihi hoc tantum esto pabulum, mihi non dolorem creare.* Sibi autem illa dolorem faceret, si obsequio erga Ægisthum et Clytæmnestram impia in patrem esset. HERMANN.

373. ἐμνήσθην. *hujus rei mentionem fecissem.*

378. ἐξερῶ σοι La. sed τοι suprascr. τοι Lc. Γ. alii.

384. ἐν καλῷ φρονεῖν. Cf. Phil. 1155.

ΗΛ. ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.
ΧΡ. ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;
ΗΛ. ὅπως ἀφ' ὑμῶν ὡς προσώτατ' ἐκφύγω.
ΧΡ. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
ΗΛ. καλὸς γὰρ οὑμὸς βίοτος ὥστε θαυμάσαι.
ΧΡ. ἀλλ' ἦν ἄν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
ΗΛ. μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
ΧΡ. ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκαθεῖν.
ΗΛ. σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.
ΧΡ. καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
ΗΛ. πεσούμεθ', εἰ χρή, πατρὶ τιμωρούμενοι.
ΧΡ. πατὴρ δὲ τούτων, οἶδα, συγγνώμην ἔχει.
ΗΛ. ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
ΧΡ. σὺ δ' οὐχὶ πείσει καὶ συναινέσεις ἐμοί;
ΗΛ. οὐ δῆτα. μήπω νοῦ τοσόνδ' εἴην κενή.
ΧΡ. χωρήσομαί τἄρ' οἷπερ ἐστάλην ὁδοῦ.
ΗΛ. ποῖ δ' ἐμπορεύει: τῷ φέρεις τάδ' ἔμπυρα
ΧΡ. μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.
ΗΛ. πῶς εἶπας; ἦ τῷ δυσμενεστάτῳ βροτῶν;
ΧΡ. ὃν ἔκταν' αὐτή. τοῦτο γὰρ λέξαι θέλεις.
ΗΛ. ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;
ΧΡ. ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί.
ΗΛ. ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ' ἀλλὰ νῦν.
ΧΡ. ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
ΗΛ. εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε.
ΧΡ. ἀλλ' οὐ κάτοιδα πλὴν ἐπὶ σμικρὸν φράσαι.

400. Bene ad sententiam confert Wunderus Ant. 65.

403. μήπω. Eur. Hec. 1278. μήπω μανείη Τυνδαρὶς τοσόνδε παῖς. Ubi vid. Porsonum.

404. οἷπερ ἐστάλην ὁδοῦ. Hoc exquisitius quam si ἐστάλην ὁδὸν dixisset.

405. ἔμπυρα. Non victimas cremandas significat, sed improprie dicitur de libatione, qualem in sepulcro Clytæmnestræ fieri jubet Helena apud Eurip. Orest. 114. ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμνήστρας τάφον | μελίκρατ' ἄφες γάλακτος οἰνωπόν τ' ἄχνην. Recte igitur in gl. explicatur per ταύτας τὰς σπονδάς. ἐντάφια dicit v. 326. χοὰς v. 440. DINDORF.

414. φράσαι cum κάτοιδα conjungendum. Æsch. Pers. 479. οἶσθα σημῆναι τορῶς; Cæterum cum locu-

ΗΛ. λέγ' ἀλλὰ τοῦτο. πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς.
ΧΡ. λόγος τις αὐτήν ἐστιν εἰσιδεῖν πατρὸς
τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν
ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέστιον
πῆξαι λαβόντα σκῆπτρον οὑφόρει ποτὲ
αὐτός, τανῦν δ' Αἴγισθος· ἔκ τε τοῦδ' ἄνω
βλαστεῖν βρύοντα θαλλόν, ᾧ κατάσκιον
πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
τοιαῦτά του παρόντος, ἡνίχ' Ἡλίῳ
δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου.
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει μ' ἐκείνη τοῦδε τοῦ φόβου χάριν.
πρός νυν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν
ἐμοὶ πιθέσθαι μηδ' ἀβουλίᾳ πεσεῖν.
εἰ γάρ μ' ἀπώσει, σὺν κακῷ μέτει πάλιν.
ΗΛ. ἀλλ', ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χέροιν
τύμβῳ προσάψῃς μηδέν· οὐ γάρ σοι θέμις

tione ἐπὶ σμικρὸν comparari possunt Thucyd ii. 76. ἡ τοῦ μεγάλου οἰκοδομήματος κατὰ τὸ χῶμα προσαχθεῖσα ἐπὶ μέγα κατέσεισε. iv. 3. φύσει καρτερὸν ὂν καὶ ἔρημον αὐτό τε καὶ ἐπὶ πολὺ τῆς χώρας. ibid. 12. sub fin. ἐπὶ πολὺ γὰρ ἐποίει τῆς δόξης ἐν τῷ τότε τοῖς μὲν ἠπειρώταις μάλιστα εἶναι, κ.τ.λ. ibid. 30. ἐμπρήσαντός τινος κατὰ μικρὸν τῆς ὕλης. ibid. 100. ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου. vii. 2. πλὴν κατὰ βραχύ τι τὸ πρὸς τὴν θάλασσαν. Nam in his exemplis præpositio cum nomine unam efficit notionem.

417. εἰσιδεῖν πατρὸς δευτέραν ὁμιλίαν. h. e. εἰσιδεῖν πατέρα δεύτερον αὐτῇ ὁμιλοῦντα.

419. ἐφέστιον ad σκῆπτρον refer. sc. πῆξαι σκῆπτρον ἐφέστιον. Minus bene ad Agamemnonem referunt Suidas et Scholiasta. Cæterum in versus initio εἰς habent Δ. Harl.

422. ᾧ κατάσκιον γενέσθαι. Cf. Matth. Gr: Gr. 538.

424. Ἡλίῳ δείκνυσι τοὔναρ. Iphigenia in Tauris apud Eur. 43. ἃ καινὰ δ' ἥκει νὺξ φέρουσα φάσματα, λέξω πρὸς αἰθέρ', εἴ τι δὴ τόδ' ἔστ' ἄκος. Medeæ nutrix apud eundem 57. ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ | λέξαι, μολοῦσαν δεῦρο, δεσποίνης τύχας. Plautus Mercatoris initio: *Non ego idem facio, ut alios in comœdiis Vidi facere amatores, qui aut nocti, aut die, Aut soli, aut lunæ, miserias narrant suas. Quos pol ego credo humanas querimonias Non tanti facere, quid velint, quid non velint.* Brunck.

429. ἀβουλίᾳ πεσεῖν. Ita ἐξ ἀβουλίας πεσεῖν 398.

432. προσάψεις Δ. quod verum esse potest: ut futurum impe-

οὐδ' ὅσιον ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι
κτερίσματ' οὐδὲ λουτρὰ προσφέρειν πατρί·
ἀλλ' ἢ πνοαῖσιν ἢ βαθυσκαφεῖ κόνει
κρύψον νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς
τούτων πρόσεισι μηδέν· ἀλλ' ὅταν θάνῃ,
κειμήλι' αὐτῇ ταῦτα σῳζέσθω κάτω.
ἀρχὴν δ' ἄν, εἰ μὴ τλημονεστάτη γυνὴ
πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
οὐκ ἄν ποθ', ὅν γ' ἔκτεινε, τῷδ' ἐπέστεφε.
σκέψαι γὰρ εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
γέρα τάδ' οὑν τάφοισι δέξασθαι νέκυς,
ὑφ' ἧς θανὼν ἄτιμος, ὥστε δυσμενής,
ἐμασχαλίσθη κἀπὶ λουτροῖσιν κάρᾳ
κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας
κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως

randi significatione adhibeatur. Sed cf. ad Ant. 84.

434. λουτρά. Cf. supra ad v. 84.

435. πνοαῖσιν sc. δός, quod ex κρύψον facile supplendum.

438. σωζέσθω] σωζέσθων duo codices.

440. πασῶν ἔβλαστε. Notanda syllaba ante βλ correpta. Cf. ad Œd. T. 717. Hæc contra canonem Dawesianum, ut plurimum tamen verum, sæpius allata sunt. Cf. Pors. ad Hec. 298.

442. αὐτῇ a προσφιλῶς regitur: quod melius quam cum δέξασθαι conjungere. δέξεσθαι Schaeferus sine caussa. De hoc aoristi infinitivi usu vid. Lobeck. ad Phrynich. p. 133. s. v. ἐπίδοξον.

445. ἐμασχαλίσθη. Scholiastæ, Hesychius in v. ἐμασχαλίσθη, Photius et Suidas in v. μασχαλίσματα, hic etiam in ἐμασχαλίσθη et μασχαλισθῆναι, Etym. M. in v. ἀπάργματα p. 118. 29. ubi citat h. l. Sophoclis, referunt, qui aliquem per insidias vel in bello civili necassent, extremas manuum pedumque partes amputasse, et mortuo sub alis alligasse, mucrone in capite ejus absterso, quo et debilitari vindicta interfecti, et interfectoris labes purgari credita sit. Verisimile est Sophoclem omnino illam extremas corporis partes amputandi crudelitatem eo verbo comprehendisse, ut in eadem re Æschylum Choeph. v. 439. ubi vid. Stanl. Hermann.

κἀπὶ λουτροῖσιν. *scelus purgandi gratia.* gl. ἐπὶ καθάρσει. Mox κάρᾳ ἐξέμαξεν est, *in capite abstersit.* κάρᾳ autem correxit Brunckius. Vulgo κάρα.

ἄχω, δὸς αὐτῷ τήνδε λιπαρῆ τρίχα
καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπιτνοῦσα γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν,
καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδί,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
χερσὶ στέφωμεν ἢ τανῦν δωρούμεθα.
οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον
πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα·
ὅμως δ', ἀδελφή, σοί θ' ὑπούργησον τάδε
ἐμοί τ' ἀρωγά, τῷ τε φιλτάτῳ βροτῶν
πάντων, ἐν Ἅιδου κειμένῳ κοινῷ πατρί.

ΧΟ. πρὸς εὐσέβειαν ἡ κόρη λέγει. σὺ δέ,
εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.

ΧΡ. δράσω. τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν.
πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
σιγὴ παρ' ὑμῶν, πρὸς θεῶν, ἔστω, φίλαι·
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

ΧΟ. εἰ μὴ 'γὼ παράφρων στροφή.
μάντις ἔφυν καὶ γνώμας

451. λιπαρῆ. *supplicem.* ἱκέτιν, ἐξ ἧς αὐτὸν λιπαρήσομεν, explicant Schol. et Suid. qui duas lectiones λιπαρῆ sc. et ἀλιπαρῆ commemorant. ἀλιπαρῆ ita defendi posse putat Hermannus, ut significet *comam non accommodatam supplicationi*, ut quæ non satis compta atque nitide habita sit. Utrumque duriuscule dici videtur.

453. προσπίτνουσα Lb.

455. ἐξ ὑπερτέρας χερός. *victrici manu.* HERMANN. Negligentius autem novam deinde notionem ἐπεμβῆναι ποδὶ v. sq. invexit.

456. ἐπιβῆναι La. pr. Sic ἐπιβαίνων idem codex pro ἐπεμβαίνων Œd. Col. 924. et ἐπιπεσὼν pro ἐπεισπεσὼν ibid. v. 915.

458. ἢ τανῦν δωρούμεθα. h. e. ἢ αἷς τανῦν δωρούμεθα.

459. τι κἀκείνῳ μέλον πέμψαι. h. e. ipsum aliquam ob caussam de nobis sollicitum misisse.

466. τὸ γὰρ δίκαιον, κ. τ. λ. *quod justum est, non habet rationem cur duo inter se contendant*, h. e. de justo non est cur quis dissentiat. DINDORF. Mox ad ἐπισπεύδειν repete λόγον ἔχει.

λειπομένα σοφᾶς,
εἶσιν ἁ πρόμαντις
Δίκα, δίκαια φερομένα χεροῖν κράτη·
μέτεισιν, ὦ τέκνον, οὐ μακροῦ χρόνου.
ὕπεστί μοι θράσος,
ἁδυπνόων κλύουσαν
ἀρτίως ὀνειράτων.
οὐ γάρ ποτ' ἀμναστεῖ σ' ὁ φύσας
Ἑλλάνων ἄναξ,
οὐδ' ἁ παλαιὰ χαλκόπλακτος
ἀμφάκης γένυς,
ἅ νιν κατέπεφνεν αἰ-
σχίσταις ἐν αἰκίαις.
ἥξει καὶ πολύπους ἀντιστροφή.
καὶ πολύχειρ ἁ δεινοῖς
κρυπτομένα λόχοις
χαλκόπους Ἐρινύς.
ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβα μιαιφόνων
γάμων ἁμιλλήμαθ' οἷσιν οὐ θέμις.

475. πρόμαντις] τοῖς συνετοῖς προγινωσκομένη. Schol.

479. ὕπεστί μοι—κλύουσαν. Accusativus ad notionem refertur quæ subest verbis θράσος ὕπεστί μοι. Conferre possunt tirones quæ dixi in Lexico Æschyleo s. v. κλύω. Locus simillimus Choeph. 410. πέπαλται δ' αὖτέ μοι φίλον κέαρ | τόνδε κλύουσαν οἶκτον.

480. ἁδυπνόων. Recte Triclinius interpretari videtur εὐφραντῶν ἡμῖν, i. e. quæ audientes amicos Agamemnonis quasi suavi quadam aura afflant. HERMANN.

482. ἀμναστεῖ σ' recte correxisse puto Wakefieldium Silv. Crit. t. iii. p. 93. ἀμναστεῖ γ' libri.

484. παλαιά. Diu enim erat ex quo cæsus fuerat Agamemnon.

χαλκόπληκτος vulgo. Correctum ex Jen.

485. ἀμφήκης vulgo. Correxit Brunckius, collata Hesychii glossa ἀμφάκης. ἀξίνη. ἀμφήκης retinendum censet Hermannus.

487. Porsonum αἰκείαις scribi voluisse observant editores Adversariorum ejus p. 209. In hac voce altera tantum terminatio videtur in usu fuisse producta penultima. Vid. ad Œd. Col. 748. HERMANN.

488. πολύπους—πολύχειρ—χαλκόπους. Talibus epithetis vim et celeritatem Furiarum in puniendis sceleribus indicare amant poetæ. Suidas: χαλκόπους ἐριννύς. ἤγουν στερεὰ καὶ ἀκοπίατος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων.

494. γάμων ἁμιλλήμαθ'. Sensum bene expressit Wunderus: *incesta enim nuptiarum cæde pollutarum cupiditas eos incessit, quos nefas fuit.*

πρὸ τῶνδέ τοί μ' ἔχει,
μήποτε μήποθ' ἡμῖν
ἀψεγὲς πελᾶν τέρας
τοῖς δρῶσι καὶ συνδρῶσιν. ἤ τοι
μαντεῖαι βροτῶν
οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις
οὐδ' ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νυκ-
τὸς εὖ κατασχήσει.
ὦ Πέλοπος ἁ πρόσθεν ἐπῳδός.
πολύπονος ἱππεία,
ὡς ἔμολες αἰανὴ
τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη,

495. *πρὸ τῶνδε.* *propter hæc.* Rarior nec vitii mihi non suspectus talis hujus præpositionis usus. Ad *μ' ἔχει* bene Hermannus: Non est omissum hic nomen, quale est *ἔννοια*, sed ipsa illa cogitatio sequentibus verbis expressa est. Vid. eundem ad Viger. App. ii. de Ellips. et cf. Reisig. Comm. Cr. in Œd. Col. p. 242.

496. Non video cur non ad diversos referri possint *ἡμῖν* et mox *τοῖς δρῶσι καὶ συνδρῶσι.* *ἡμῖν* enim de se dicit Chorus: dum animi sui spem exprimit. *τοῖς δρῶσι καὶ συνδρῶσι* autem de Clytæmnestra et Ægistho dicuntur. *ἀψεγὲς* per euphemismum quendam significat illud quod scelestis *gravissimum* fore sperat Chorus: sc. Agamemnonis adventum, quem in somnio viderat Clytæmnestra, unde *τέρας* a Choro appellatur. *πελᾶν* futurum est sicut in Phil. 1149. Totum locum sic reddas: *confido fore, ut portentum illud nunquam nobis adveniat, quin gravissimum sit harum rerum auctoribus eorumque sociis.*

503. *κατασχήσει.* Metaphora a navibus ducta: quæ *κατασχεῖν* dicuntur quum terræ appellunt. Musgr.

504. Musgravius, quod Chorus ad boni eventus spem animam erigere cœperit, alienam putat hanc alteram carminis partem. At is ipse bonus eventus quum non possit sine cæde contingere, aptissime Chorus etiam ad atrocitatem animum advertit, quæ inde a Myrtili cæde in gente Pelopidarum sævierat. Hermann.

509. *ὁ ποντισθεὶς Μυρτίλος ἐκοιμάθη.* Notanda prolepsis. Dicendum erat proprie *εὖτε ὁ Μυρτίλος ἐκοιμάθη ποντισθείς.* Non absimile *τρέμω δ' αἱματηφόρους μόρους ὑπὲρ φίλων ὀλομένων ἰδέσθαι* Æsch. Sept. c. Th. 419. Fabulam autem ex Pherecyde exponit Scholiasta: *Φερεκύδης φησί· Πέλοψ νικήσας τὸν ἀγῶνα καὶ λαβὼν τὴν Ἱπποδάμειαν, ὑπέστρεφεν ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ τοῦ Μυρτίλου· καθ' ὁδὸν δὲ καταλαβὼν αὐτὸν προϊόντα πρὸς τὸ φιλῆσαι αὐτὴν ἔρριψεν εἰς θάλασσαν.*

παγχρύσων * δίφρων
δυστάνοις αἰκίαις
πρόρριζος ἐκριφθείς,
οὔ τί πω
ἔλιπεν ἐκ τοῦδ' οἴκου
πολύπονος αἰκία.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀνειμένη μέν, ὡς ἔοικας, αὖ στρέφει.
οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους·
νῦν δ' ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπει
ἐμοῦ γε· καίτοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας ὡς θρασεῖα καὶ πέρα δίκης
ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω· κακῶς δέ σε
λέγω κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γάρ, οὐδὲν ἄλλο σοὶ πρόσχημ' ἀεί,
ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς
ἔξοιδα· τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι.
ἡ γὰρ Δίκη νιν εἷλε, κοὐκ ἐγὼ μόνη,
ᾗ χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες·
ἐπεὶ πατὴρ οὗτος σός, ὃν θρηνεῖς ἀεί,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη

510. *παγχρύσων*] *ἐκ* addit Dindorfius. *παγχρύσεων* legit Hermannus.

512. *ἐκτριφθεὶς* post Reiskium Porsonus. Vulgatam bene tuetur Hermannus.

513. *οὔ τι* Hermannus. *οὔτις* vulgo.

514. *ἔλιπεν* Γ. Δ. Aug. c. corr. Mosq. b. Monac. *ἔλειπεν* vulgo. *οἴκου*] *οἴκους* La. eraso *σ*. Dobræus conjecit *οἶκον*. Rarior certe locutio *ἔλιπεν ἐκ τοῦδ' οἴκου.* Similia quodammodo sunt loca Thucyd. iii. 10. *ἀπολιπόντων ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου.* v. 4. *ἀπολιπόντες ἐκ τῶν Συρακουσῶν.*

525. *πατὴρ γάρ.* Male Brunckius *γὰρ* refert ad verba *πρὸς σοῦ κλύω* subaudita. Sensus est: *οὐδὲν ἄλλο ἢ ἀεὶ τὸν πατέρα προΐσχει, ὡς ἐξ ἐμοῦ τεθνηκότα.*

528. *εἷλε κοὐκ* La. sec. *εἷλεν κοὐκ* La. pr. Vulgo *εἷλεν οὐκ.*

θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης, ὅτ' ἔσπειρ', ὥσπερ ἡ τίκτουσ' ἐγώ.
εἶεν, δίδαξον δή με τοῦ χάριν τίνος
ἔθυσεν αὐτήν. πότερον Ἀργείων ἐρεῖς;
ἀλλ' οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν.
ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν
τἄμ' οὐκ ἔμελλε τῶνδε μοι δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,
οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ' ἦν χάριν,
ἢ τῶν ἐμῶν Ἅιδης τιν' ἵμερον τέκνων
ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, Μενέλεω δ' ἐνῆν;
οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μέν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
φαίη δ' ἂν ἡ θανοῦσά γ', εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος· εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς,
γνώμην δικαίαν σχοῦσα τοὺς πέλας ψέγε.

533. h. e. *ὥσπερ ἐγὼ ἡ τίκτουσα, ὅτε ἔτικτον.* Hermann.

534. *τοῦ, χάριν τίνος.* Duplici interrogatione dicit, pro *quare, cujus gratia.* Arist. Nub. 22. *τοῦ δώδεκα μνᾶς Πασίᾳ;* Alterum refertur ad acceptum aliquod beneficium, alterum ad eum, cui gratum quid facere voluerit. Hermann. Minus bene *τοῦ χάριν τίνων* La. (sed *τίνος* supr.) Aug. b. et Tricliniani, ut *τίνων* participium sit. Nam hoc cum sequentibus satis bene non convenit: *πότερον Ἀργείων ἐρεῖς;*

537. *ἀντ' ἀδελφοῦ.* h. e. ne frater suos occidere cogeretur.

539. Hesiodum secutus est, ut adnotavit Scholiasta, qui præter Hermionen etiam filium Nicostratum Menelao fuisse dixerat. Herm.

543. h. e. *ὥστε δαίσασθαι.* Duplex constructio. Eurip. Med. 1399. *αἶ αἶ φιλίου χρῄζω στόματος παίδων ὁ τάλας προσπτύξασθαι,* ubi comparat Porsonus Hippol. 1375. *ἀμφιτόμου λόγχης ἔραμαι διαμοιρᾶσαι.* Herod. v. 38. *ἔδεε γὰρ δὴ συμμαχίης τινός οἱ μεγάλης ἐξευρεθῆναι.* Quibus adde post Schaeferum Hom. Hymn. in Cerer. v. 281. *οὐδέ τι παιδὸς Μνήσατο τηλυγέτοιο ἀπὸ δαπέδου ἀνελέσθαι.* Cf. Œd. Col. 1755.

545. *Μενέλεω*] sc. *παίδων.*

549. *οὐκ εἰμὶ—δύσθυμος.* *hæc me fecisse non pænitet.*

551. Verissima est prior Scholiastæ explicatio, ut *τοὺς πέλας* ad Clytæmnestram referatur. Bene vertit Wunderus: *si vero tibi videor male judicare, justis vel idoneis*

ΗΛ. ἐρεῖς μὲν οὐχὶ νῦν γέ μ' ὡς ἄρξασά τι
λυπηρὸν εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο·
ἀλλ' ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος θ' ὕπερ
λέξαιμ' ἂν ὀρθῶς τῆς κασιγνήτης θ' ὁμοῦ.
ΚΛ. καὶ μὴν ἐφίημ'· εἰ δέ μ' ὧδ' ἀεὶ λόγοις
ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.
ΗΛ. καὶ δὴ λέγω σοι. πατέρα φῂς κτεῖναι. τίς ἂν
τούτου λόγος γένοιτ' ἂν αἰσχίων ἔτι,
εἴτ' οὖν δικαίως εἴτε μή; λέξω δέ σοι
ὡς οὐ δίκῃ γ' ἔκτεινας, ἀλλά σ' ἔσπασε
πειθὼ κακοῦ πρὸς ἀνδρός, ᾧ τανῦν ξύνει.
ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν τίνος
ποινὰς τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι·
ἢ 'γὼ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν.
πατήρ ποθ' οὑμός, ὡς ἐγὼ κλύω, θεᾶς
παίζων κατ' ἄλσος ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον, οὗ κατὰ σφαγὰς
ἐκκομπάσας ἔπος τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη
κατεῖχ' Ἀχαιούς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς ἐκθύσειε τὴν αὑτοῦ κόρην.
ὧδ' ἦν τὰ κείνης θύματ'· οὐ γὰρ ἦν λύσις
ἄλλη στρατῷ πρὸς οἶκον οὐδ' εἰς Ἴλιον.

causis allatis me reprehende, h. e. ita tantum reprehende, ut justas caussas reprehendendi afferas. Alii *τοὺς πέλας* ad Agamemnonem referunt, commate post *σχοῦσα* posito.

554. *τεθνηκότος θ'.* Ven. Tricliniani. Particula omissa in La. Lb. Γ. Δ. *γ'* habent alii.

556. *μ' ὧδ' ἀεὶ λόγοις ἐξῆρχες*] *λόγους* ex La. pr. fortasse restituendum. Wunderus comparat Eurip. Troad. 149. seq. *μολπὰν — ἐξῆρχον θεούς.* Locutio qualis est *λόγους ἐξάρχειν τινὰ* neminem morabitur, est enim idem quod *ἐξάρχειν λέγων τινά.* *λόγοις* quod vulgo legitur quodammodo defendi potest: coll. Pind. Nem. ii. 40. *ἁδυμελεῖ ἐξάρχετε φωνᾷ,* ubi *ἐξάρχειν φωνᾷ* eodem modo dicitur quo *ἀκοντίζειν ἔγχει, δισκῷ ἱέναι,* et similia, de quibus vide Dissen. ad Nem. i. 18. ed. Diss.

564. *τὰ πολλὰ πνεύματα.* Multos illos ventos qui ibi flare solent. Hermann.

568. *οὗ κατὰ σφαγὰς ἐκκομπάσας.* *cujus in cæde gloriatus.* Ellendt. Vix placet hoc: sed neque Hermanno *κατασφαγὰς* conjunctim scribenti assentior.

ἀνθ' ὧν βιασθεὶς πολλὰ κἀντιβὰς μόλις
ἔθυσεν αὐτήν, οὐχὶ Μενέλεω χάριν.
εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σόν, κεῖνον θέλων
ἐπωφελῆσαι ταῦτ' ἔδρα, τούτου θανεῖν
χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἄν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰσόρα μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς.
εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ
πατέρα τὸν ἁμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς· τοὺς δὲ πρόσθεν εὐσεβεῖς
κἀξ εὐσεβῶν βλαστόντας ἐκβαλοῦσ' ἔχεις.
πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ τοῦτ' ἐρεῖς,
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς, ἐάν περ καὶ λέγῃς. οὐ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς οὕνεκα.
ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἵης γλῶσσαν ὡς τὴν μητέρα
κακοστομοῦμεν. καί σ' ἔγωγε δεσπότιν
ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω,
ἣ ζῶ βίον μοχθηρόν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα τοῦ τε συννόμου.
ὁ δ' ἄλλος ἔξω, χεῖρα σὴν μόλις φυγών,

575. *βιασθεὶς πολλὰ κἀντιβὰς*] h. e. *βιασθεὶς καὶ ἀντιβὰς πολλά.* Simile hyperbaton in Prom. V. 51. *ἔγνωκα, τοῖσδε κοὐδὲν ἀντειπεῖν ἔχω.* Cf. ad Ant. 718.

588. *ἁμόν.* Cf. supra v. 279.

592. *λαμβάνεις* La. erasum, sup. *λαμβάνει. τυγχάνει* Lb. Γ. quae lectio fortasse non spernenda.

596. *ἵεις* veteres plerique. Cf. ad Œd. T. 628.

601. *ὁ δ' ἄλλος.* Rectissime Dindorfius *ὁ δ' αὖ* explicat, coll. *τοῦτ' ἄλλο* Œd. T. 605. Anglice reddas, *and one besides.* Notandum scilicet articulum non cum *ἄλλος* construendum esse, sed nominis mox secuturi vice fungi, sicut in Eur. El. 781. *ὁ δ' εἶπ' Ὀρέστης.* Vid. ad Œd. Col. 1220.

τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον·
ὃν πολλὰ δή μέ σοι τρέφειν μιάστορα
ἐπῃτιάσω· καὶ τόδ', εἴπερ ἔσθενον,
ἔδρων ἄν, εὖ τοῦτ' ἴσθι. τοῦδέ γ' οὕνεκα
κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρῇς κακὴν
εἴτε στόμαργον εἴτ' ἀναιδείας πλέαν.
εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.
ΧΟ. ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
ξύνεστι, τοῦδε φροντίδ' οὐκ ἔτ' εἰσορῶ.
ΚΛ. ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισεν,
καὶ ταῦτα τηλικοῦτος; ἆρά σοι δοκεῖ
χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ;
ΗΛ. εὖ νῦν ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν,
κεἰ μὴ δοκῶ σοι· μανθάνω δ' ὁθούνεκα
ἔξωρα πράσσω κοὐκ ἐμοὶ προσεικότα.
ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια καὶ τὰ σὰ
ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ.
αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.
ΚΛ. ὦ θρέμμ' ἀναιδές, ἦ σ' ἐγὼ καὶ τἄμ' ἔπη
καὶ τἄργα τἀμὰ πόλλ' ἄγαν λέγειν ποιεῖ.
ΗΛ. σύ τοι λέγεις νιν, οὐκ ἐγώ. σὺ γὰρ ποιεῖς
τοὔργον· τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.
ΚΛ. ἀλλ' οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν θράσους

606. *χρῇς* restituit Wunderus. *sive velis.* Vulgo *χρὴ* inepte. Cf. ad Ant. 887. Aj. 1373.

610. h. e. *εἰ δὲ Ἠλέκτρα ξὺν δίκῃ ξύνεστι τῷ μένει. τοῦδε* autem non ad *μένος*, sed ad totam rem refertur: *video eam furorem spirare, sed an jure se ei dederit, hoc non amplius curari video.* HERMANN.

614. *ἆρά σοι* La. pr. Lb. Vulgo *ἆρ' οὔ σοι.*

622. Interrogandi signum olim post v. 623. positum recte delevit Schaeferus. Hermannus: *profecto nimis multa loquendi tibi occasionem et ego, et mea dicta, et facta mea præbent.*

626. *θράσους τοῦδ' οὐκ ἀλύξεις.* *temeritatis pœnam non effugies.* De genitivo vid. ad Ant. 488. Non est autem cur quis hæreat in *θρά-*

τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.
ΗΛ. ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρει, μεθεῖσά μοι
λέγειν ἃ χρῄζοιμ'· οὐδ' ἐπίστασαι κλύειν.
ΚΛ. οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;
ΗΛ. ἐῶ, κελεύω, θῦε· μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.
ΚΛ. ἔπαιρε δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι
πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων ὧν νῦν ἔχω.
κλύοις ἂν ἤδη, Φοῖβε προστατήριε,
κεκρυμμένην μου βάξιν. οὐ γὰρ ἐν φίλοις
ὁ μῦθος, οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς παρούσης τῆσδε πλησίας ἐμοί,
μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν.
ἀλλ' ὧδ' ἄκουε· τῇδε γὰρ κἀγὼ φράσω.
ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα
δισσῶν ὀνείρων, ταῦτά μοι, Λύκει' ἄναξ,
εἰ μὲν πέφηνεν ἐσθλά, δὸς τελεσφόρα,
εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες·

σους, quod *temeritatis pœnam* significat. Ita fere Œd. T. 355. καί που τοῦτο φεύξεσθαι δοκεῖς;

630. οὐδ' ὑπ' εὐφήμου βοῆς. Brunckius vertit, *male ominatis parcens clamoribus.* Non male, h. e. silente clamore, sive simpliciter, cum silentio. Sic in Œd. Col. 132. τὸ τᾶς εὐφήμου στόμα φροντίδος ἱέντες. Εὔφημος βοὴ nihil est aliud quam *silentium.* Vide similia apud Seidlerum ad Eurip. Troad. 566. Hermann. De οὐδ' sic posito cf. ad Trach. 126.

638. κεκρυμμένην. Recte monet Musgravius Clytæmnestram non submissa voce hæc eloqui, ut audire Electra non posset; sed βάξιν κεκρυμμένην vocare, quia mentem suam verborum ἀμφιβολίαις occultare studeret. Mox enim dicit, non sibi expedire πᾶν ἀναπτύξαι, i. e. *totam rem dilucide enarrare.*

642. εἰς Γ.

643. Recte monuit Wunderus καὶ in κἀγὼ non cum ἐγὼ sed cum τῇδε sensu jungendum: *nam etiam hac ratione dicam,* i. e. nam proferam preces meas, quamvis obscure tantum præsente Electra proferendas putem.

645. δισσῶν. *duplicium,* id est, *ambiguorum.* Lucian. in Alex. p. 218. διττούς τινας καὶ ἀμφιβόλους καὶ λοξοὺς χρησμοὺς συγγράφων. Gaisford.

καὶ μή με πλούτου τοῦ παρόντος εἴ τινες
δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς,
ἀλλ' ὧδέ μ' ἀεὶ ζῶσαν ἀβλαβεῖ βίῳ
δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν οἷς ξύνειμι νῦν
εὐημεροῦσαν καὶ τέκνων ὅσων ἐμοὶ
δύσνοια μὴ πρόσεστιν ἢ λύπη πικρά.
ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων
δὸς πᾶσιν ἡμῖν ὥσπερ ἐξαιτούμεθα.
τὰ δ' ἄλλα πάντα καὶ σιωπώσης ἐμοῦ
ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι.
τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.
ΠΑ. ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς
εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;
ΧΟ. τάδ' ἐστίν, ὦ ξέν'. αὐτὸς ᾔκασας καλῶς.
ΠΑ. ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.
ΧΟ. μάλιστα πάντων. ἥδε σοι κείνη πάρα.
ΠΑ. ὦ χαῖρ', ἄνασσα. σοὶ φέρων ἥκω λόγους
ἡδεῖς φίλου παρ' ἀνδρὸς Αἰγίσθῳ θ' ὁμοῦ.
ΚΛ. ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σου
πρώτιστα χρῄζω τίς σ' ἀπέστειλεν βροτῶν.
ΠΑ. Φανοτεὺς ὁ Φωκεύς, πρᾶγμα πορσύνων μέγα.
ΚΛ. τὸ ποῖον, ὦ ξέν'; εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρός, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
τέθνηκ' Ὀρέστης. ἐν βραχεῖ ξυνθεὶς λέγω.

650. ἀλλ' ὧδε. sc. δός. Mox ἀεὶ habet Δ. Legebatur αἰεί.

653. Quæ sequuntur proprie ita dici debebant, καὶ τέκνοις (ξυνοῦσαν) ὅσων ἐμοὶ δύσνοια μὴ πρόσεστι, sed per attractionem τέκνων ὅσων juncta sunt. Hermann. Non opus ad attractionem confugere. Constructio est καὶ τέκνων (τούτοις) ὅσων κ. τ. λ. Cæterum displicent participia ξυνοῦσαν εὐημεροῦσαν sic conjuncta: quanquam scio non deesse hujusmodi constructionis exempla. An forte legendum ὡς ξύνειμι νῦν εὐημεροῦσα?

662. εἴκασας La. Lb. alii. ᾔκασας correxit Brunckius, Atticismi scilicet caussa. Cf. tamen Blomf. ad Choeph. 624.

671. Vid. ad v. 45.

ΗΛ. οἲ 'γὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.
ΚΛ. τί φῄς, τί φῄς, ὦ ξεῖνε; μὴ ταύτης κλύε.
ΠΑ. θανόντ' Ὀρέστην νῦν τε καὶ πάλαι λέγω.
ΗΛ. ἀπωλόμην δύστηνος, οὐδέν εἰμ' ἔτι.
ΚΛ. σὺ μὲν τὰ σαυτῆς πρᾶσσ', ἐμοὶ δὲ σύ, ξένε,
τἀληθὲς εἰπέ, τῷ τρόπῳ διόλλυται;
ΠΑ. κἀπεμπόμην πρὸς ταῦτα καὶ τὸ πᾶν φράσω.
κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος
πρόσχημ' ἀγῶνος Δελφικῶν ἄθλων χάριν,
ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,
εἰσῆλθε λαμπρός, πᾶσι τοῖς ἐκεῖ σέβας·
δρόμου δ' ἰσώσας τἀφέσει τὰ τέρματα
νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
χὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη.
ἓν δ' ἴσθ'· ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς
[δρόμων διαύλων πεντάεθλ' ἃ νομίζεται,]
τούτων ἐνεγκὼν πάντα τἀπινίκια
ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν

682. πρόσχημ' ἀγῶνος. *decus certaminis* h. e. decorum s. splendidum certamen. Her. v. 28. τῆς Ἰωνίης ἦν πρόσχημα Μίλητος. Recte vidit Hermannus hæc verba arctissime unam in notionem coalescere, qua deinde Ἑλλάδος substantivum regitur. Idem monuit Δελφικῶν ἄθλων χάριν dici, quia certatum, non spectatum venerat Orestes.

686. τῇ 'φέσει correxit Musgravius. τῇ φύσει vulgo inepte. Sensus est: postquam percurso stadii spatio ad eundem locum unde cursum inceperat, rursus pervenerat.

690. βραβῆς La. et sic mox v. 709. Vid. ad Œd. T. 18.

691. Recte hunc versum delendum vidit Hermannus, Opusc. vol. vi. p. 13. qui nihil aliud est nisi præcedentis explicatio. Quod ad scripturam attinet, eam exhibui quæ est in cod. Brux. Lc. sec. et (nisi quod hi πένταθλ') in La. Lb. Γ. Δ. Palat. Constructio, si tanti est, ita explicanda erit, ut πεντάεθλα attractione quadam pro πενταέθλων positum cum sequente ἃ νομίζεται cohæreat.

696. Cf. Aj. 455. εἰ δέ τις θεῶν

βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
ἦν ἡλίου τέλλοντος ὠκύπους ἀγών,
εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα.
εἷς ἦν Ἀχαιός, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται·
κἀκεῖνος ἐν τούτοισι Θεσσαλὰς ἔχων
ἵππους, ὁ πέμπτος· ἕκτος ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις· ἕβδομος Μάγνης ἀνήρ·
ὁ δ' ὄγδοος λεύκιππος, Αἰνιὰν γένος·
ἔνατος Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος, δέκατον ἐκπληρῶν ὄχον.
στάντες δ' ὅθ' αὐτοὺς οἱ τεταγμένοι βραβῆς
κλήροις ἔπηλαν καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ᾖξαν· οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες ἡνίας χεροῖν
ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη δρόμος
κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι
φείδοντο κέντρων οὐδέν, ὡς ὑπερβάλοι
χνόας τις αὐτῶν καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.

βλάπτοι, φύγοι τἂν χὡ κακὸς τὸν κρείσσονα.

698. ἱππικῶν generis neutrius esse vidit Schaeferus. Sic τὰ δρομικὰ τοῦ πεντάθλου in Xen. Hist. Gr. vii. 4. 29. a Dindorfio laudato.

708. δέκατον ἐκπληρῶν ὄχον. *numerum decem curruum suo curru implens*, h. e. ordine decimus. Notabilis hic locus propter numerum curruum, qui una commissione decertarunt. HERMANN.

710. ὅθ' — ἔπηλαν. *ubi suum cuique locum sortitione assignaverant.* ἔπηλαν sensu sortiendi dictum sicut in Sept. c. Theb. 731. χθόνα ναίειν διαπήλας. κλήροις autem ex abundanti additum. Non opus κλήρους ἔπηλαν cum Wundero rescribere.

713. ἐν δέ. *simul, haud mora.* Vid. ad Œd. T. 27.

715. 'φορεῖθ', et mox 'φείδοντο Brunckius et vulgo.

716. ὡς ὑπερβάλοι. *si quando aliquis præverteret.*

718. τροχῶν βάσεις. Periphrastice dictum pro τροχούς.

719. ἤφριζον, εἰσέβαλλον. Cf. ad Aj. v. 60.

κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων
ἔχριμπτ' ἀεὶ σύριγγα, δεξιὸν δ' ἀνεὶς
σειραῖον ἵππον εἶργε τὸν προσκείμενον.
καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι·
ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς
τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον

720. *κεῖνος — προσκείμενον.* Errant, qui de postremo circa metam flexu sermonem esse putant. *ἐσχάτη στήλη* de pluribus, quæ in hippodromo sunt, columnis extrema est, eademque est etiam meta, circa quam flectunt equos. *Ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων* dicitur qui pene pervenit illuc, et ibi equos agit. *Ἔχειν* enim satis usitatum de cursu quem auriga tenet. Ad eam columnam *χρίμπτειν ἀεὶ σύριγγα* dicitur, qui quoties illuc venit, tam brevi gyro flectit, ut axis pene contingat columnam. Id enim præcipue curabant, ut jam Homerus, quem imitatus est Sophocles, docuit Iliad. Ψ. 334. seqq. Nam quo brevior gyrus, eo certior et tutior aurigatio: quo autem sinuosior, eo vehementius in transversum avertitur currus. Quoniam autem sinistrorsum gyros illos equestres fieri mos erat, dextris equis remittenda erant frena, iidemque acrius instigabantur, quum sinistri interea cohiberentur. Itaque his versibus nihil aliud nisi peritia describitur, qua equos rexerit Orestes. HERMANN.

721. *δεξιὸν σειραῖον ἵππον.* h. e. *equum dextrum funalem: τὸν προσκείμενον, equum sinistrum funalem.* Quadrigarum describitur certamen, quæ solæ eo tempore quo scripta est hæc fabula, et in his et in Olympicis ludis usitatæ erant. In Olympicis enim bigæ introductæ Olympiade XCIII. teste Pausan. v. 8. 3. In Pythiis, Olymp. XCV. eodem teste, x. 7. 3. Sophocles autem mortuus est Olymp. XCIII. 3. Hæc quum monuerit Hermannus, mirum est eum hæc verba de bigarum certamine interpretari maluisse.

τ' La. sec. Tricl. *δ'* alii.

725. *βίᾳ φέρουσιν*] *βίᾳ φέρειν* vel uno verbo *ἐκφέρειν* dicitur equus, qui frenis non parens effuso cursu rectorem aufert. HERMANN.

726. *τελοῦντες* non ad *πῶλοι* referendum, quasi masculinum *ἵπποι* præcessisset, sed nominativum esse absolutum et de illis omnibus qui certabant, intelligendum puto. *ἐξ ὑποστροφῆς*, est *post flexum*, h. e. *rursus, denuo*, ut bene explicat Hermannus: nam flectendo novi cursus initium fit. Verba autem *τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον* ita explicanda puto: *cum in eo essent ut sextum jam cursum perficerent, septimum autem flexa meta jam inciperent.* Nam *τελοῦντες* vox ejusmodi est, quæ et de iis qui cursum aliquem jam finiunt, et de iis qui adhuc sunt in curriculo intelligi possit: unde *ἕβδομόν τ' ἤδη δρόμον* satis recte addidit poeta. Res autem ita fuisse videtur, ut dum sexto percurso stadio circa metam omnes flecterent, Œnianes equi, qui interiores erant, in latus Barcæi currus, qui exterior agebatur, ex transverso subito impetu ferrentur. Hæc autem in medio curriculi accidebant, quod duodecim cursibus peragebatur. Cf. v. 741.

μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις·
κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ
ἔθραυε, κἀνέπιπτε, πᾶν δ' ἐπίμπλατο
ναυαγίων Κρισαῖον ἱππικῶν πέδον.
γνοὺς δ' οὑξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος
ἔξω παρασπᾷ κἀνακωχεύει παρεὶς
κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον.
ἤλαυνε δ' ἔσχατος μέν, ὑστέρας δ' ἔχων
πώλους Ὀρέστης, τῷ τέλει πίστιν φέρων.
ὁ δ' ὡς ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς
πώλοις διώκει, κἀξισώσαντε ζυγὰ
ἠλαυνέτην, τότ' ἄλλος, ἄλλοθ' ἅτερος
κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
καὶ τοὺς μὲν ἄλλους πάντας ἀσφαλεῖς δρόμους
ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
ἔπειτα λύων ἡνίαν ἀριστερὰν
κάμπτοντος ἵππου λανθάνει στήλην ἄκραν

727. *Βαρκαίοις ὄχοις.* Anachronismum notavit Passovius ex Herod. iv. 160. Nam Barce hoc tempore nondum condita fuerat.

732. *παρείς. sinitque prætervehi procellam equestrem confusam in medio.* VITUS WINSHEMIUS.

734. *ἔσχατος μέν, ὑστέρας δ' ἔχων.* Particulam *δὲ* quæ abest in La. pr. Lb. Aug. b. delendam jubet Dindorfius, sed eam ad sensum necessariam puto. Refertur autem ad sequentia *τῷ τέλει πίστιν φέρων*, quæ verbis *ἤλαυνε δ' ἔσχατος μὲν* opposita sunt. Vel interpretare cum Hermanno: *posterior quidem vehebatur Orestes, sed quum minus validos equos haberet, in fine pònens fiduciam*, collato Iliad. Ψ. 319—325. Vel potius sic: *sed quamvis equos posteriores retineret, in fine tamen spem repositam habens.*

736. *ὃ δ'—ἐλλελειμμένον*] *νιν* Orestem notat. Sic res omnis acta est. Turbatis per Œnianis equos curribus Atheniensis ad exteriora deflectit, et inhibens equos, prætervehi sinit turbam istam. Quumque Orestes postremus illorum veheretur, eaque re expers maneret ruinæ, videns eum solum relictum esse Atheniensis quicum certaret, jam equos, quos cohibuerat, instigare incipit, et persequitur atque æquat Orestem. Nam quum antea hic omnium postremus fuisset, nunc postremus erat Atheniensis, ut quem retinentem equos suos Orestes cum omnia illa turba prætervectus esset. *ἐλλελειμμένον* apertum est hic non eum significare, quem alii anteverterint, sed eum qui solus in hippodromo certator relictus sit. HERMANN. Cæterum pro *ὃ δ' ὡς* La. pr. Γ. *ὅπως δ'* exhibent. *ὅδ' ὡς δ'* La. sec.

738. *κἀξισώσαντε* La. Lb. Schol. *κἀξισώσαντες* vulgo.

παίσας· ἔθραυσε δ' ἄξονος μέσας χνόας,
κἀξ ἀντύγων ὤλισθε· σὺν δ' ἑλίσσεται
τμητοῖς ἱμᾶσι· τοῦ δὲ πίπτοντος πέδῳ
πῶλοι διεσπάρησαν ἐς μέσον δρόμον.
στρατὸς δ' ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
οἷ' ἔργα δράσας οἷα λαγχάνει κακά,
φορούμενος πρὸς οὖδας, ἄλλοτ' οὐρανῷ
σκέλη προφαίνων, ἔς τέ νιν διφρηλάται,
μόλις κατασχεθόντες ἱππικὸν δρόμον,
ἔλυσαν αἱματηρόν, ὥστε μηδένα
γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
καί νιν πυρᾷ κέαντες εὐθὺς ἐν βραχεῖ
χαλκῷ μέγιστον σῶμα δειλαίας σποδοῦ
φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός.
τοιαῦτά σοι ταῦτ' ἐστίν, ὡς μὲν ἐν λόγοις
ἀλγεινά, τοῖς δ' ἰδοῦσιν, οἵπερ εἴδομεν,
μέγιστα πάντων ὧν ὄπωπ' ἐγὼ κακῶν.
ΧΟ. φεῦ φεῦ· τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
πρόρριζον, ὡς ἔοικεν, ἔφθαρται γένος.
ΚΛ. ὦ Ζεῦ, τί ταῦτα, πότερον εὐτυχῆ λέγω,
ἢ δεινὰ μέν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,
εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς.
ΠΑ. τί δ' ὧδ' ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;
ΚΛ. δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται.

747. πέδοι fortasse restituendum. Cf. Dind. ad Æsch. Prom. 272.

754. κατασχέθοντες vulgo.

757. κέαντες conjecit Brunckius. Æsch. Ag. 849. ἤτοι κέαντες, ἢ τεμόντες εὐφρόνως. Formas minus Atticas exhibent libri. Vid. Pierson. ad Mœr. p. 231.

760. ἐκλάχῃ Aug. b. Jen. ἐκλάχοι La. Lb. quod si genuinum est, recte ad κέαντες refert Gaisfordius. Cf. supra v. 57. Nescio tamen an hic præstet ἐκλάχῃ.

762. τοῖς δ' ἰδοῦσιν, οἵπερ εἴδομεν. *spectatoribus, scilicet nobis qui vidimus.* Phrasis ex rarioribus. SCHAEF. ὥσπερ Δ.

771. πάσχοντι. Vid. ad Trach. 151.

ΠΑ. μάτην ἄρ' ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν.
ΚΛ. οὔτοι μάτην γε. πῶς γὰρ ἂν μάτην λέγοις;
εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
προσῆλθες, ὅστις τῆς ἐμῆς ψυχῆς γεγώς,
μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς, φυγὰς
ἀπεξενοῦτο· καί μ', ἐπεὶ τῆσδε χθονὸς
ἐξῆλθεν, οὐκ ἔτ' εἶδεν· ἐγκαλῶν δέ μοι
φόνους πατρῴους δείν' ἐπηπείλει τελεῖν·
ὥστ' οὔτε νυκτὸς ὕπνον οὔτ' ἐξ ἡμέρας
ἐμὲ στεγάζειν ἡδύν· ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
νῦν δ', ἡμέρᾳ γὰρ τῇδ' ἀπηλλάγην φόβου
πρὸς τῆσδ' ἐκείνου θ'· ἥδε γὰρ μείζων βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς ἄκρατον αἷμα· νῦν δ' ἕκηλά που
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ' ἡμερεύσομεν.
ΗΛ. οἴμοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφοράν, ὅθ' ὧδ' ἔχων
πρὸς τῆσδ' ὑβρίζει μητρός. ἆρ' ἔχει καλῶς;
ΚΛ. οὔτοι σύ· κεῖνος δ' ὡς ἔχει καλῶς ἔχει.
ΗΛ. ἄκουε, Νέμεσι τοῦ θανόντος ἀρτίως.
ΚΛ. ἤκουσεν ὧν δεῖ κἀπεκύρωσεν καλῶς.
ΗΛ. ὕβριζε. νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.
ΚΛ. οὔκουν Ὀρέστης καὶ σὺ παύσετον τάδε.
ΗΛ. πεπαύμεθ' ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.
ΚΛ. πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,
εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.
ΠΑ. οὐκοῦν ἀποστείχοιμ' ἄν, εἰ τάδ' εὖ κυρεῖ.

781. προστατῶν. *præsens.*

783. ἀπηλλάγην La. (qui ἀπηλ-λάγην, with μαι written above) Lb. Γ. Suid. s. v. προστατῶν. ἀπηλλάχθαι Ven.

785. τοὐμὸν ψυχῆς αἷμα. De sententia cf. Antig. 531. De constructione cf. Œd. T. 1100. infr. 1390.

786. νῦν δ' ἕκηλά που. Cum δὲ sic post parenthesin repetito bene comparat Herm. Æsch. Choeph. 696—698.

791. οὔτοι σύ, sc. καλῶς ἔχεις, nam tu mihi restas conficienda. Acerbe hæc cum ironia proferuntur. Cf. v. 816.

ΚΛ. ἥκιστ᾽· ἐπείπερ οὔτ᾽ ἐμοῦ καταξίως
πράξειας οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ᾽ εἴσιθ᾽ εἴσω· τήνδε δ᾽ ἔκτοθεν βοᾶν
ἔα τά θ᾽ αὑτῆς καὶ τὰ τῶν φίλων κακά.
ΗΛ. ἆρ᾽ ὑμὶν ὡς ἀλγοῦσα κὠδυνωμένη
δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ᾽ ὀλωλότα;
ἀλλ᾽ ἐγγελῶσα φροῦδος. ὦ τάλαιν᾽ ἐγώ·
Ὀρέστα φίλταθ᾽, ὥς μ᾽ ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχει φρενὸς
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε
κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι, σοῦ τ᾽ ἀπεστερημένη
καὶ πατρός. ἤδη δεῖ με δουλεύειν πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοὶ
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ᾽ οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος † ἔσσομ᾽, ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ᾽ ἐμαυτὴν ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα καινέτω τις, εἰ βαρύνεται,
τῶν ἔνδον ὄντων· ὡς χάρις μέν, ἢν κτάνῃ,
λύπη δ᾽, ἐὰν ζῶ· τοῦ βίου δ᾽ οὐδεὶς πόθος.
ΧΟ. ποῦ ποτε κεραυ- στροφὴ α΄.
νοὶ Διός, ἢ ποῦ φαέθων
Ἅλιος, εἰ ταῦτ᾽ ἐφορῶντες
κρύπτουσιν ἕκηλοι;

800. κατάξι᾽ ἂν conjicit Bothius. Sed ἂν ex ἀποστείχοιμ᾽ ἂν repetendum est, cui statim responsionem subjicit Clytæmnestra.

802. ἔκτοθεν La. Lb. Γ. ἔκτοσθεν vulgo.

818. ξύνοικος ἔσσομ᾽, ἀλλά. Hanc lectionem veram esse non posse omnes videbunt. Conjecturis autem quod sciam nihil profecerunt critici. ἔσομαι ξύνοικος Dawesius. ξύνοικος εἴσειμ᾽, vel ἔτι ξύνοικος Hermannus, quæ non placent.

826. κρύπτουσιν recte monet Monkius neutraliter dictum esse, ut sæpe κεύθειν usurpatur, *latent*. Fulmina, si non percutiunt illos: sol, si non cernere eos videtur. Herm.

ἕκηλοι. Cf. Horat. Sat. I. v. 101. seq.

ΗΛ. ἒ ἔ, αἰαῖ.
ΧΟ. ὦ παῖ, τί δακρύεις;
ΗΛ. φεῦ.
ΧΟ. μηδὲν μέγ᾽ ἀΰσῃς.
ΗΛ. ἀπολεῖς. ΧΟ. πῶς;
ΗΛ. εἰ τῶν φανερῶς οἰχομένων
εἰς Ἀΐδαν ἐλπίδ᾽ ὑποί-
σεις, κατ᾽ ἐμοῦ τακομένας
μᾶλλον ἐπεμβάσει.
ΧΟ. οἶδα γὰρ ἄνακτ᾽ ἀντιστροφὴ α΄.
Ἀμφιάρεων χρυσοδέτοις
ἕρκεσι κρυφθέντα γυναικῶν·
καὶ νῦν ὑπὸ γαίας
ΗΛ. ἒ ἔ, ἰώ.
ΧΟ. πάμψυχος ἀνάσσει.
ΗΛ. φεῦ.
ΧΟ. φεῦ δῆτ᾽· ὀλοὰ γὰρ
ΗΛ. ἐδάμη. ΧΟ. ναί.

830. μέγ᾽ ἀΰσῃς. Verebatur Chorus, ne Electra in summam desperationem adducta, impie dicta in deos conjiceret. Wunder. De hac vocis μέγας significatione cf. ad Aj. 173.

833. τῶν φανερῶς οἰχομένων — ἐλπίδ᾽ ὑποίσεις. *si spem ullam mihi de iis feceris.* Alludit autem ad utrosque, Agamemnonem scilicet et Orestem: quæ enim mox de Amphiarao dicit necessario ad Agamemnonem referenda sunt.

838 ἕρκεσι κρυφθέντα γυναικῶν. Recte Brunckius: *mulierum laqueis obrutum.* Quoniam autem allusio est ad monile Eriphylæ datum, ipsa ἕρκη hæc χρυσόδετα appellantur. ὅρμους χρυσεοδμήτους vocat Æschylus, Choeph. 616. κρυφθέντα autem dum dicit, respicit Amphiaraum una cum curru terra dehiscente devoratum.

841. πάμψυχος. *anima adhuc integra fruens.* Bene comparavit Brunckius quæ de Tiresia dixit Homerus Odyss. K. 493. seqq. μάντιος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσιν· τῷ καὶ τεθνηῶτι νόον πόρε Περσεφόνεια, οἴῳ πεπνῦσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν. Vulgus autem mortuorum opinio erat ἀφραδέας ναίειν, βροτῶν εἴδωλα καμόντων. Od. Λ. 474.

ἀνάσσει. Veterum opinio erat, reges qui virtute et factis excelluerant, apud inferos magna in dignitate esse, imperiumque in mortuorum simulacra seu animas, exercere. Brunck. ad Æsch. Pers. 691. coll. Hom. Od. Λ. 483. Cf. Choeph. 354. seqq.

843. ὀλοὰ γὰρ] Eriphyle.

845. ἐδάμη. Recte loci sensum explicuit Jacobsius apud Wunderum: ‘Quum Chorus fabulam Amphiarai propter similitudinem fati Agamemnonis et quod Eriphylæ scelus vin-

ΚΛ. ἥκιστ᾽· ἐπείπερ οὔτ᾽ ἐμοῦ καταξίως
πράξειας οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ᾽ εἴσιθ᾽ εἴσω· τήνδε δ᾽ ἔκτοθεν βοᾶν
ἔα τά θ᾽ αὑτῆς καὶ τὰ τῶν φίλων κακά.
ΗΛ. ἆρ᾽ ὑμὶν ὡς ἀλγοῦσα κὠδυνωμένη
δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ᾽ ὀλωλότα;
ἀλλ᾽ ἐγγελῶσα φροῦδος. ὦ τάλαιν᾽ ἐγώ·
Ὀρέστα φίλταθ᾽, ὥς μ᾽ ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχει φρενὸς
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε
κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι, σοῦ τ᾽ ἀπεστερημένη
καὶ πατρός. ἤδη δεῖ με δουλεύειν πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοὶ
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ᾽ οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος † ἔσσομ᾽, ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ᾽ ἐμαυτὴν ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα καινέτω τις, εἰ βαρύνεται,
τῶν ἔνδον ὄντων· ὡς χάρις μέν, ἢν κτάνῃ,
λύπη δ᾽, ἐὰν ζῶ· τοῦ βίου δ᾽ οὐδεὶς πόθος.
ΧΟ. ποῦ ποτε κεραυ- στροφὴ α΄.
νοὶ Διός, ἢ ποῦ φαέθων
Ἅλιος, εἰ ταῦτ᾽ ἐφορῶντες
κρύπτουσιν ἕκηλοι;

800. *κατάξι᾽ ἂν* conjicit Bothius. Sed *ἂν* ex *ἀποστείχοιμ᾽ ἂν* repetendum est, cui statim responsionem subjicit Clytæmnestra.

802. *ἔκτοθεν* La. Lb. Γ. *ἔκτοσθεν* vulgo.

818. *ξύνοικος ἔσσομ᾽, ἀλλά.* Hanc lectionem veram esse non posse omnes videbunt. Conjecturis autem quod sciam nihil profecerunt critici. *ἔσομαι ξύνοικος* Dawesius. *ξύνοικος εἴσειμ᾽*, vel *ἔτι ξύνοικος* Hermannus, quæ non placent.

826. *κρύπτουσιν* recte monet Monkius neutraliter dictum esse, ut sæpe *κεύθειν* usurpatur, *latent.* Fulmina, si non percutiunt illos: sol, si non cernere eos videtur. Herm.

ἕκηλοι. Cf. Horat. Sat. I. v. 101. seq.

ΗΛ. ἒ ἔ, αἰαῖ.
ΧΟ. ὦ παῖ, τί δακρύεις;
ΗΛ. φεῦ.
ΧΟ. μηδὲν μέγ᾽ ἀΰσῃς.
ΗΛ. ἀπολεῖς. ΧΟ. πῶς;
ΗΛ. εἰ τῶν φανερῶς οἰχομένων
εἰς Ἀΐδαν ἐλπίδ᾽ ὑποί-
σεις, κατ᾽ ἐμοῦ τακομένας
μᾶλλον ἐπεμβάσει.
ΧΟ. οἶδα γὰρ ἄνακτ᾽ ἀντιστροφὴ α΄.
Ἀμφιάρεων χρυσοδέτοις
ἕρκεσι κρυφθέντα γυναικῶν·
καὶ νῦν ὑπὸ γαίας
ΗΛ. ἒ ἔ, ἰώ.
ΧΟ. πάμψυχος ἀνάσσει.
ΗΛ. φεῦ.
ΧΟ. φεῦ δῆτ᾽· ὀλοὰ γὰρ
ΗΛ. ἐδάμη. ΧΟ. ναί.

830. *μέγ᾽ ἀΰσῃς.* Verebatur Chorus, ne Electra in summam desperationem adducta, impie dicta in deos conjiceret. Wunder. De hac vocis *μέγας* significatione cf. ad Aj. 173.

833. *τῶν φανερῶς οἰχομένων— ἐλπίδ᾽ ὑποίσεις. si spem ullam mihi de iis feceris.* Alludit autem ad utrosque, Agamemnonem scilicet et Orestem: quæ enim mox de Amphiarao dicit necessario ad Agamemnonem referenda sunt.

838 *ἕρκεσι κρυφθέντα γυναικῶν.* Recte Brunckius: *mulierum laqueis obrutum.* Quoniam autem allusio est ad monile Eriphylæ datum, ipsa *ἕρκη* hæc *χρυσόδετα* appellantur. *ὅρμους χρυσεοδμήτους* vocat Æschylus, Choeph. 616. *κρυφθέντα* autem dum dicit, respicit Amphiaraum una cum curru terra dehiscente devoratum.

841. *πάμψυχος. anima adhuc integra fruens.* Bene comparavit Brunckius quæ de Tiresia dixit Homerus Odyss. K. 493. seqq. *μάντιος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσιν· τῷ καὶ τεθνηῶτι νόον πόρε Περσεφόνεια, οἴῳ πεπνῦσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.* Vulgus autem mortuorum opinio erat *ἀφραδέας ναίειν, βροτῶν εἴδωλα καμόντων.* Od. Λ. 474.

ἀνάσσει. Veterum opinio erat, reges qui virtute et factis excelluerant, apud inferos magna in dignitate esse, imperiumque in mortuorum simulacra seu animas, exercere. Brunck. ad Æsch. Pers. 691. coll. Hom. Od. Λ. 483. Cf. Choeph. 354. seqq.

843. *ὀλοὰ γὰρ*] Eriphyle.

845. *ἐδάμη.* Recte loci sensum explicuit Jacobsius apud Wunderum: ‘Quum Chorus fabulam Amphiarai propter similitudinem fati Agamemnonis et quod Eriphylæ scelus vin-

ΗΛ. οἶδ' οἶδ'· ἐφάνη γὰρ μελέτωρ
ἀμφὶ τὸν ἐν πένθει· ἐμοὶ δ'
οὔτις ἔτ' ἔσθ'· ὃς γὰρ ἔτ' ἦν,
φροῦδος ἀναρπασθείς.
ΧΟ. δειλαία δειλαίων κυρεῖς. στροφὴ β΄.
ΗΛ. κἀγὼ τοῦδ' ἴστωρ, ὑπερίστωρ,
†πανσύρτῳ παμμήνῳ πολλῶν
δεινῶν στυγνῶν τ' ἀχέων.†
ΧΟ. εἴδομεν ἃ θρηνεῖς.
ΗΛ. μή μέ νυν μηκέτι
παραγάγῃς, ἵν' οὐ
ΧΟ. τί φῄς;
ΗΛ. πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων
εὐπατρίδων τ' ἀρωγαί.
ΧΟ. πᾶσι θνατοῖς ἔφυ μόρος. ἀντιστρ. β΄.
ΗΛ. ἦ καὶ χαλαργοῖς ἐν ἁμίλλαις

dicatum esset, commemoret, mihi quidem Electræ exclamatione φεῦ dolor quidam ac stupor exprimi videtur. Id confirmans Chorus, φεῦ δῆτα inquit: misera enim mulier ista punita est exorto occisi Amphiarai ultore: itaque tibi quoque aliquid spei relinquitur. Hæc, quæ Chorus habet in mente dicere, occupat Electra, sed ita, ut quum fratrem suum obisse crederet, quidquam sibi spei relictum esse neget.'

846. μελέτωρ. Alcmæon, qui occidit Eriphylen.

849. *Misera miserias sustines.* JOHNSONUS. δειλαία cretici mensuram habet.

851. πανσύρτῳ παμμήνῳ πολλῶν δεινῶν στυγνῶν τ' ἀχέων. Substantivum deesse recte viderunt Monkius aliique. αἰῶνι ejecto ἀχέων probabiliter conjecit Hermannus. Vid. Dind. notam s. fin. Rectius fortasse πολλῶν delevit Dindorfius. πάνσυρτος πάμμηνος ἀχέων [αἰὼν] esset *vita nullo non tempore omnia in se mala cumulata habens.*

853. εἴδομεν ἃ θρηνεῖς. *vidimus quæ deploras,* h. e. vidimus ipsæ mala tua. WUNDER. θρηνεῖς restituit Erfurdtius. Vulgo θροεῖς. Idem vitium correxit Dindorfius ad Phil. 209.

855. *Ne me amplius fallere studeas, quum res in eo jam sit, ut fratris generosi spe nulla me sustentare possim.* ἵνα male ad παραγάγῃς refert Wunderus. Cf. Ter. Adelph. I. xi. 2. *Rogas me, ubi nobis Æschines siet, quid tristis ego sim.* Notanda autem locutio ἐλπίδες κοινότοκοι pro ἐλπὶς Ὀρέστου κοινῆς ἐκ μητρὸς γεγονότος.

858. εὐπατριδᾶν vulgo. Correxit Nevius. ἀρωγαὶ (quod est in Γ.) pro vulgato ἀρωγοὶ ex scholiis refinxit Musgravius.

861. *An etiam tam miserabili fato perire?* Respondet Chorus: *Improvisa certe noxa quam nemo expectasset.* JACOBSIUS. χαλαργοὶ Scholiasta ἱππικαὶ exponit.

οὕτως, ὡς κείνῳ δυστάνῳ,
τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;
ΧΟ. ἄσκοπος ἁ λώβα.
ΗΛ. πῶς γὰρ οὔκ; εἰ ξένος
ἄτερ ἐμᾶν χερῶν
ΧΟ. παπαῖ.
ΗΛ. κέκευθεν, οὔτε του τάφου ἀντιάσας
οὔτε γόων παρ' ἡμῶν.
ΧΡ. ὑφ' ἡδονῆς τοι, φιλτάτη, διώκομαι
τὸ κόσμιον μεθεῖσα σὺν τάχει μολεῖν.
φέρω γὰρ ἡδονάς τε κἀνάπαυλαν ὧν
πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.
ΗΛ. πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν;
ΧΡ. πάρεστ' Ὀρέστης ἡμίν, ἴσθι τοῦτ' ἐμοῦ
κλύουσ', ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.
ΗΛ. ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς
σαυτῆς κακοῖσι κἀπὶ τοῖς ἐμοῖς γελᾷς;
ΧΡ. μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν.
ΗΛ. οἴμοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσασ' ὧδε πιστεύεις ἄγαν;
ΧΡ. ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλου σαφῆ
σημεῖ' ἰδοῦσα τῷδε πιστεύω λόγῳ.

863. τμητοῖς ὁλκοῖς] τμητοῖς ἱμᾶσι v. 747. ὁλκοὺς autem lora dicit propterea quod Orestem curru excussum loris esse tractum audiverat. DINDORF. Pro ἐγκῦρσαι La. habet ἐνκύρσαι. Alii ἐγκύρσαι.

864. ἄσκοπος] ἀπροσδόκητον interpretatur Suidas s. v.

865. ξένος. *in peregrina terra.*

871. διώκομαι. *urgeor, impellor.*

878. ἐναργῶς cum πάρεστι jungendum esse vix opus Brunckium monere erat.

882. ὡς παρόντα νῷν. sc. λέγω. νῶ h. e. νόει legit Dindorfius, constructione quidem satis apta et apud Sophoclem usitata e. g. Phil. 415. ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει. Sed hujusmodi formas nondum senariis infercire ausim. De crasi quidem Dorica Etym. M. p. 601. 20. ab illo citatum, νένωται. νενόηται. παρὰ Σοφοκλεῖ Ἑλένης γάμῳ.

ΗΛ. τίν', ὦ τάλαιν', ἰδοῦσα πίστιν; ἐς τί μοι
βλέψασα θάλπει τῷδ' ἀνηκέστῳ πυρί;
ΧΡ. πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου
τὸ λοιπὸν ἢ φρονοῦσαν ἢ μωρὰν λέγῃς.
ΗΛ. σὺ δ' οὖν λέγ', εἴ σοι τῷ λόγῳ τις ἡδονή.
ΧΡ. καὶ δὴ λέγω σοι πᾶν ὅσον κατειδόμην.
ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
πηγὰς γάλακτος καὶ περιστεφῆ κύκλῳ
πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ' ἔσχον θαῦμα, καὶ περισκοπῶ
μή πού τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἆσσον· ἐσχάτης δ' ὁρῶ
πυρᾶς νεωρῆ βόστρυχον τετμημένον·
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
ψυχῇ σύνηθες ὄμμα, φιλτάτου βροτῶν
πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον·
καὶ χερσὶ βαστάσασα δυσφημῶ μὲν οὔ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων.
καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι
μή του τόδ' ἀγλάϊσμα πλὴν κείνου μολεῖν.
τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;
κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι,
οὐδ' αὖ σύ. πῶς γάρ; ᾗ γε μηδὲ πρὸς θεοὺς

888. ἀνηκέστῳ. Delirare sororem putat Electra.

894. κολώνης ἐξ ἄκρας male cum νεορρύτους conjungit Ellendtius. Cf. Ant. 411.

898. ἐγχρίπτῃ Gaisfordius ex La. Ald. ἔχριπτ (μ supra) La. supra v. 721, ubi tamen idem ἔχριμπτ' edidit. Certe non utraque forma intra tantulum spatium usum fuisse Sophoclem crediderim. χρίπτειν a quibusdam pro antiquiore forma habetur, ut μ postea euphoniæ gratia additum sit. Vid. Ruhnk. ad Tim. p. 106.

900. ἐσχατῆς ὁρῶ πυρᾶς. De genitivo cf. Matth. Gr. Gr. 377. Dindorfius comparat Æsch. Prom. V. 714.

903. ὄμμα accusativus est. Quæ sequuntur explicandi caussa adjecta sunt.

905. βαστάσασα. Cf. ad Œd. Col. 1105.

911. πρὸς θεούς. *ad Deos.* h. e. *ad templa Deum.* Cf. Thucyd. iii.

ἔξεστ' ἀκλαύστῳ τῆσδ' ἀποστῆναι στέγης.
ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς οὔθ' ὁ νοῦς φιλεῖ
τοιαῦτα πράσσειν οὔτε δρῶσ' ἐλάνθανεν·
ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια.
ἀλλ', ὦ φίλη, θάρσυνε. τοῖς αὐτοῖσί τοι
οὐχ αὑτὸς ἀεὶ δαιμόνων παραστατεῖ.
νῷν δ' ἦν τὰ πρόσθεν στυγνός· ἡ δὲ νῦν ἴσως
πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.
ΗΛ. φεῦ, τῆς ἀνοίας ὥς σ' ἐποικτείρω πάλαι.
ΧΡ. τί δ' ἔστιν; οὐ πρὸς ἡδονὴν λέγω τάδε;
ΗΛ. οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρει.
ΧΡ. πῶς δ' οὐκ ἐγὼ κάτοιδ' ἅ γ' εἶδον ἐμφανῶς;
ΗΛ. τέθνηκεν, ὦ τάλαινα· τἀκείνου δέ σοι
σωτήρι' ἔρρει· μηδὲν ἐς κεῖνόν γ' ὅρα.
ΧΡ. οἴμοι τάλαινα· τοῦ τάδ' ἤκουσας βροτῶν;
ΗΛ. τοῦ πλησίον παρόντος, ἡνίκ' ὤλλυτο.
ΧΡ. καὶ ποῦ 'στιν οὗτος; θαῦμά τοί μ' ὑπέρχεται.
ΗΛ. κατ' οἶκον, ἡδὺς οὐδὲ μητρὶ δυσχερής.
ΧΡ. οἴμοι τάλαινα· τοῦ γὰρ ἀνθρώπων ποτ' ἦν
τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;
ΗΛ. οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος

3. οἱ δὲ οὔτε ἐς τὸν Μαλόεντα ἐξῆλθον, κ. τ. λ. iv. 67. ἐνήδρευσαν ἐς τὸν Ἐνυάλιον.

912. ἀκλαύστῳ. *impune.* Contrarium est κλάων, *haud impune.* Cf. Œd. T. 401. 1152. Ant. 754.

914. ἐλάνθανεν. Hoc ita explicat Elmsleius ut idem sit quod λήσειν ἔμελλε, h. e. *neque clam nos id factura erat;* sed hoc vix satis tueri videntur quæ dixit ad Bacch. v. 612. ἐλάνθαν' ἂν Heathius: quod a plerisque receptum est. Vide tamen an verba ita exponenda sint ut non *quid factura fuerit* sed *quid nuper fecisset* Clytæmnestra respiciatur: sc. *neque hæc clam nos faciebat.*

915. τἀπιτύμβια Dindorfius, nimium opinor huic argumento tribuens, quod ἐπιτίμια alias *pœnam* non *honorem* significat. Ea est autem hujus vocis ratio ut utrumque significare possit.

916. θάρσυνε. Intransitivum.

917. Libri αὐτός. Vid. ad Œd. T. 458. Mox ἀεὶ Γ. Vulgo αἰεί.

922. *Nescis, quo locorum et quo sententiæ abripiare,* quæ scilicet eo vanitatis progrediare, ut fratris in longinqua regione mortui hic te putes cincinnum reperisse. Herm.

924. τἀκ κείνου Canterus. Nil mutandum.

929. ἡδύς, h. e. μητρί, quod ad utrumque adjectivum refertur.

μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναι τινά.
ΧΡ. ὦ δυστυχής· ἐγὼ δὲ σὺν χαρᾷ λόγους
τοιούσδ' ἔχουσ' ἔσπευδον, οὐκ εἰδυῖ' ἄρα
ἵν' ἦμεν ἄτης· ἀλλὰ νῦν, ὅθ' ἱκόμην,
τά τ' ὄντα πρόσθεν ἄλλα θ' εὑρίσκω κακά.
ΗΛ. οὕτως ἔχει σοι ταῦτ'· ἐὰν δέ μοι πίθῃ,
τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.
ΧΡ. ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ;
ΗΛ. οὐκ ἔσθ' ὅ γ' εἶπον· οὐ γὰρ ὧδ' ἄφρων ἔφυν.
ΧΡ. τί γὰρ κελεύεις ὧν ἐγὼ φερέγγυος;
ΗΛ. τλῆναί σε δρῶσαν ἂν ἐγὼ παραινέσω.
ΧΡ. ἀλλ' εἴ τις ὠφέλειά γ', οὐκ ἀπώσομαι.
ΗΛ. ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.
ΧΡ. ὁρῶ. ξυνοίσω πᾶν ὅσονπερ ἂν σθένω.
ΗΛ. ἄκουε δή νυν ᾗ βεβούλευμαι τελεῖν.
παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων
ὡς οὔτις ἡμῖν ἐστιν, ἀλλ' Ἅιδης λαβὼν
ἀπεστέρηκε καὶ μόνα λελείμμεθον.
ἐγὼ δ' ἕως μὲν τὸν κασίγνητον βίῳ
θάλλοντά τ' εἰσήκουον, εἶχον ἐλπίδας
φόνου ποτ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός·
νῦν δ' ἡνίκ' οὐκ ἔτ' ἔστιν, εἰς σὲ δὴ βλέπω,
ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
ξὺν τῇδ' ἀδελφῇ μὴ κατοκνήσεις κτανεῖν
Αἴγισθον. οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι.
ποῖ γὰρ μενεῖς ῥᾴθυμος εἰς τίν' ἐλπίδων
βλέψασ' ἔτ' ὀρθήν; ᾗ πάρεστι μὲν στένειν
πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ,

947. δή νυν Blomf. ad Iph. Aul. 1009. δὴ νῦν vulgo.

950. λελείμμεθα Elmsleius: qui primam personam dualem Atticis abjudicat. Sic cod. Monac. Bene contradicit Hermannus, qu. v. in not. ad h. l.

951. βίῳ θάλλοντά τ'. i. e. ἐν βίῳ ὄντα καὶ θάλλοντα. θάλλοντά γ' Junt. 2. θάλλοντ' ἔτ' conjicit Reiskius.

956. κατοκνήσῃς La. Lb. Γ. Δ. alterum A. E. aliique.

958. ποῖ ad βλέψασα pertinere vidit Monkius, sc. ποῖ γάρ, ἐς τίν' ἐλπίδων βλέψασα μενεῖς ῥᾴθυμος;

πάρεστι δ' ἀλγεῖν ἐς τοσόνδε τοῦ χρόνου
ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε.
καὶ τῶνδε μέντοι μηκέτ' ἐλπίσῃς ὅπως
τεύξει ποτ'. οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνὴρ
Αἴγισθος ὥστε σόν ποτ' ἢ κἀμὸν γένος
βλαστεῖν ἐᾶσαι, πημονὴν αὐτῷ σαφῆ.
ἀλλ' ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασιν,
πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
θανόντος οἴσει τοῦ κασιγνήτου θ' ἅμα·
ἔπειτα δ' ὥσπερ ἐξέφυς, ἐλευθέρα
καλεῖ τὸ λοιπόν, καὶ γάμων ἐπαξίων
τεύξει. φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.
λόγῳ γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσά μοι;
τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν
τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται,
ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,
ὣ τὸν πατρῷον οἶκον ἐξεσωσάτην,
ὣ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ
ψυχῆς ἀφειδήσαντε προὐστήτην φόνου.
τούτω φιλεῖν χρή, τώδε χρὴ πάντας σέβειν·
τώδ' ἔν θ' ἑορταῖς ἔν τε πανδήμῳ πόλει
τιμᾶν ἅπαντας οὕνεκ' ἀνδρείας χρεών.
τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν,
ζώσαιν θανούσαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
ἀλλ', ὦ φίλη, πείσθητι, συμπόνει πατρί,
σύγκαμν' ἀδελφῷ, παῦσον ἐκ κακῶν ἐμέ,
παῦσον δὲ σαυτήν, τοῦτο γιγνώσκουσ,' ὅτι

962. ἄλεκτρα, ἀνυμέναια. Neutra pluralia pro adverbiis. BRUNCK.

968. εὐσέβειαν οἴσει. *pietatis laudem habebis.* Cf. Ant. v. 924.

971. καλεῖ Atticum futurum est. Monuit Monkius, videndus ad Eur. Hipp. 1458.

973. λόγων conjecit Dobræus.

977. τώδε τὼ κασιγνήτω. Cf. Matth. Gr. Gr. § 63. obs. 2. § 436. 1. Notandum autem κασίγνητος de femina dictum.

980. προὐστήτην φόνου. *cædem administrarunt.* MUSGR.

ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.
ΧΟ. ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία
καὶ τῷ λέγοντι καὶ κλύοντι σύμμαχος.
ΧΡ. καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν
ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσώζετ' ἂν
τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σώζεται.
ποῖ γάρ ποτ' ἐμβλέψασα τοιοῦτον θράσος
αὐτή θ' ὁπλίζει κἄμ' ὑπηρετεῖν καλεῖς;
οὐκ εἰσορᾷς; γυνὴ μὲν οὐδ' ἀνὴρ ἔφυς,
σθένεις δ' ἔλασσον τῶν ἐναντίων χερί.
δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ' ἡμέραν,
ἡμῖν δ' ἀπορρεῖ κἀπὶ μηδὲν ἔρχεται.
τίς οὖν τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν
ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
ὅρα κακῶς πράσσοντε μὴ μείζω κακὰ
κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
λύει γὰρ ἡμᾶς οὐδὲν οὐδ' ἐπωφελεῖ
βάξιν καλὴν λαβόντε δυσκλεῶς θανεῖν.
οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
χρῄζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.
ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ' ὀλέσθαι κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα
ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι,
αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτέ,
σθένουσα μηδὲν τοῖς κρατοῦσιν εἰκαθεῖν.

993. ἐσώζετο. Vid. ad Œd. T. 148.

998. ἔλαττον libri. Correxit Brunckius.

1005. λύει γὰρ ἡμᾶς οὐδέν. Dubium esse vix potest quin λύει hic eodem sensu dixerit poeta, quo Eurip. Med. 566. 1112. 1362. Alcest. 627. ex quibus locis in Med. 566. Alcest. 627. λύει dativum regit, sicut plenius dictum τέλη λύει, ut in Œd. T. 316. Elmsleius ergo ἡμῖν reponendum censuit. Alii ἡμᾶς propter sequens ἐπωφελεῖ positum putant, quocum Dindorfius comparat καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας. Ant. 537. Rectius existimes sensum tantum in λύει respici, qui idem est ac si ὠφελεῖ vel aliud ejusmodi verbum dixisset.

1008. Carcerem et lentos cruciatus timet. Hermann.

ΧΟ. πείθου. προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
κέρδος λαβεῖν ἄμεινον οὐδὲ νοῦ σοφοῦ.
ΗΛ. ἀπροσδόκητον οὐδὲν εἴρηκας· καλῶς δ'
ᾔδη σ' ἀπορρίψουσαν ἁπηγγελλόμην.
ἀλλ' αὐτόχειρί μοι μόνῃ τε δραστέον
τοὔργον τόδ'· οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.
ΧΡ. φεῦ·
εἴθ' ὤφελες τοιάδε τὴν γνώμην πατρὸς
θνήσκοντος εἶναι· (?) πάντα γὰρ κατειργάσω.
ΗΛ. ἀλλ' ἦν φύσιν γε, τὸν δὲ νοῦν ἥσσων τότε.
ΧΡ. ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.
ΗΛ. ὡς οὐχὶ συνδράσουσα νουθετεῖς τάδε.
ΧΡ. εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς.
ΗΛ. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.
ΧΡ. ἀνέξομαι κλύουσα χὤταν εὖ λέγῃς.
ΗΛ. ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ πάθῃς τόδε.
ΧΡ. μακρὸς τὸ κρῖναι ταῦτα χὠ λοιπὸς χρόνος.
ΗΛ. ἄπελθε. σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.
ΧΡ. ἔνεστιν· ἀλλὰ σοὶ μάθησις οὐ πάρα.
ΗΛ. ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.
ΧΡ. οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.
ΗΛ. ἀλλ' οὖν ἐπίστω γ' οἷ μ' ἀτιμίας ἄγεις.
ΧΡ. ἀτιμίας μὲν οὔ, προμηθίας δέ σου.
ΗΛ. τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;

1022. πάντα γὰρ κατειργάσω] πάντα γὰρ ἂν La. (eraso ἂν) Lb. Particulæ ἂν omissionem ita defendit Wunderlich. Obss. Critt. p. 173. ut ex voto εἴθ' ὤφελες εἶναι protasis, *si tali animo fuisses*, eliciatur. In tali constructione indicativum nude interdum in apodosi poni et apud Græcos et apud Latinos notum est. Rhetoricam quandam omissionem appellat Hermannus. πᾶν γὰρ ἂν conjicit Dawesius. Ipse olim πάντα δ' ἂν suspicatus eram; sicut δ' ἂν cum γὰρ commutatum est supra v. 439. in Δ. Pal. Tricl. et suprascr. in La. Vulgatam tamen relinquere satius duxi.

1026. ἐγχειροῦντα, sc. κακῶς.

1028. Sensus est: *sustinebo te nunc audire*: sive bene mihi, sive male dicas: *nam postea me laudantem audiam*. qu. d. ἀνέξομαι κλύουσα (καὶ νῦν) καὶ ὅταν εὖ λέγῃς. Innuit Electram mox dicta sua laudaturam. Ita Schol. ἔσται καιρὸς ὅτε με εὐφημήσεις.

1037. τῷ σῷ δικαίῳ. *Quod tu justum esse putas.*

ΧΡ. ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσει σὺ νῷν.
ΗΛ. ἦ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν.
ΧΡ. εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ.
ΗΛ. τί δ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
ΧΡ. ἀλλ' ἔστιν ἔνθα χἠ δίκη βλάβην φέρει.
ΗΛ. τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.
ΧΡ. ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
ΗΛ. καὶ μὴν ποιήσω γ' οὐδὲν ἐκπλαγεῖσά σε.
ΧΡ. καὶ τοῦτ' ἀληθές, οὐδὲ βουλεύσει πάλιν;
ΗΛ. βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.
ΧΡ. φρονεῖν ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω.
ΗΛ. πάλαι δέδοκται ταῦτα κοὐ νεωστί μοι.
ΧΡ. ἄπειμι τοίνυν. οὔτε γὰρ σὺ τἄμ' ἔπη
τολμᾷς ἐπαινεῖν οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.
ΗΛ. ἀλλ' εἴσιθ'. οὔ σοι μὴ μεθέψομαί ποτε,
οὐδ' ἢν σφόδρ' ἱμείρουσα τυγχάνῃς· ἐπεὶ
πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.
ΧΡ. ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
φρονεῖν, φρόνει τοιαῦθ'. ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.
ΧΟ. τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς — στροφὴ α'.
ἐσορώμενοι τροφᾶς κη-
δομένους ἀφ' ὧν τε βλάστω-
σιν ἀφ' ὧν τ' ὄνασιν εὕρω-
σι, τάδ' οὐκ ἐπ' ἴσας τελοῦμεν;

1040. Dicit: *tuum ipsius malum narras*, sc. τὸ εὖ λέγουσαν ἐξαμαρτάνειν.

1044. ἐπαινέσεις ἐμέ. h. e. *sero me verum dixisse senties.* Cf. mox v. 1056.

1054. καὶ τὸ θηρᾶσθαι κενά. Schol. παροιμία ἐπὶ τῶν μηδὲν ἀνυόντων λεγομένη καὶ ματαίως ἐπί τι σπουδαζόντων. Hoc dicit Electra: eo esse animo Chrysothemin, ut illam ad meliora omnino perducere conari minime operæ pretium sit.

1059. οἰωνοὺς correpta diphthongo notandum.

1060. ἀφ' ὧν τε βλάστωσιν ἀφ' ὧν τ' ὄνασιν εὕρωσι. h. e. ἀφ' ὧν βλάστωσί τε καὶ ὄνασιν εὕρωσι. Accentum in βλάστωσιν hic ut alibi correxit Schaeferus. Legebatur βλαστῶσι. Cæterum ὄνησιν edd. ante Brunckium.

1062. ἐπ' ἴσας. *pari modo.* Cf. ad Ant. 994.

ἀλλ' οὐ τὰν Διὸς ἀστραπὰν
καὶ τὰν οὐρανίαν Θέμιν,
δαρὸν οὐκ ἀπόνητοι.
ὦ χθονία βροτοῖσι φάμα,
κατά μοι βόασον οἰκτρὰν
ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις,
ἀχόρευτα φέρουσ' ὀνείδη·
ὅτι σφιν ἤδη τὰ μὲν ἐκ δόμων νοσεῖ * — ἀντιστροφὴ α'.
τὰ δὲ πρὸς τέκνων διπλῆ φύ-
λοπις οὐκ ἔτ' ἐξισοῦται
φιλοτασίῳ διαίτᾳ.
πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ † πατρὸς
δειλαία στενάχουσ', ὅπως
ἁ πάνδυρτος ἀηδών,
οὔτε τι τοῦ θανεῖν προμηθής,
τό τε μὴ βλέπειν ἑτοίμα,
διδύμαν ἑλοῦσ' Ἐρινύν.
τίς ἂν εὔπατρις ὧδε βλάστοι;

1063. ἀλλ' οὐ τάν. Sic Turnebus. Cf. ad Œd. T. 660. μὰ addunt libri veteres.

1065. ἀπόνητοι ad verbum τελοῦμεν referendum et de iis intelligendum, qui pietatem in parentes colere negligunt, bene monuit Wunderus, consentiente, ut ait, Hermanno. Vertendum: *non diu illud nobis impune erit: non erimus sine malo.* Alii ad Ægisthum et Clytæmnestram referunt.

1066. Hoc dicit poeta: *o quæ ad inferos penetras mortalium fama, nuncia hoc Atridis.* Hermann.

1070. σφιν Schaeferus. Vulgo σφίσιν.

τὰ μὲν ἐκ δόμων. Periphrastice pro δόμος. Sic mox τὰ δὲ πρὸς τέκνων. *ad liberos quod attinet.*

νοσεῖ *. Deest syllaba. δὴ supplet Triclinius.

1071. διπλῆ φύλοπις. *duarum rixa.*

1075. τὸν ἀεὶ] χρόνον subaudiunt interpretes coll. Trach. v. 80. qu. v. Cf. etiam ad Œd. Col. 1584. Durissima certe hæc ellipsis: et nescio an verum viderit Dindorfius qui πότμον pro πατρὸς rescribit, ut *sortem suam semper lugubrem gemere* dicatur Electra, sicut dicitur ὁ ἀεὶ βίοτος in Œd. Col. loc. citat.

1077. πάνδυρτος Erfurdtius. πανόδυρτος vulgo.

1078. οὔτε — ἑτοίμα. *non tantum non timens mortem, sed adeo ad mortem parata.*

1080. διδύμαν ἑλοῦσ' Ἐρινύν. *si duplicem Furiam* (sc. Clytæmnestram et Ægisthum) *interfecerit.*

1081. Libri βλαστοῖ. Cf. supra v. 1060.

οὐδεὶς τῶν ἀγαθῶν γὰρ *στροφὴ β'.*
ζῶν κακῶς εὔκλειαν αἰσχῦναι θέλει
νώνυμος, ὦ παῖ παῖ,
ὡς καὶ σὺ πάγκλαυτον αἰ-
ῶνα κοινὸν εἵλου,
τὸ μὴ καλὸν καθοπλίσασα
δύο φέρειν ἐν ἑνὶ λόγῳ,
σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.
ζώης μοι καθύπερθεν *ἀντ. β'.*
χειρὶ καὶ πλούτῳ τεῶν ἐχθρῶν ὅσον
νῦν ὑπόχειρ ναίεις·
ἐπεί σ' ἐφεύρηκα μοί-
ρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ
βεβῶσαν· ἃ δὲ μέγιστ' ἔβλαστε
νόμιμα, τῶνδε φερομέναν
ἄριστα τᾷ Ζηνὸς εὐσεβείᾳ·

1082. *γὰρ* post *ἀγαθῶν* metri caussa addidit Hermannus. In Stob. Floril. 37. 4. *τῶν γὰρ ἀγαθῶν* habet Grotii editio.

1085. *πάγκλαυτον αἰῶνα κοινὸν* *mortem* dicit, quam sibi delegisse ait Electram, si modo patris interfectores occidere posset. Wunderus comparat Pind. Isthm. vi. 41. *ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον αἰῶνα.* Eurip. Phœn. 1483. *κοινῷ θανάτῳ σκοτίαν αἰῶνα λαχόντων.* Cæterum *πάγκλαυτον* habet La. *πάγκλαυστον* plerique et Ald.

1087. *τὸ μὴ καλὸν καθοπλίσασα.* Schol. *καταπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα. οἷον τοὺς ἐχθροὺς καταγωνισαμένη.* Durum est *τὸ μὴ καλὸν* de Clytæmnestra et Ægistho dictum: dura etiam et insolita vocis *καθοπλίσασα*, quæ *armare* notat, significatio. Alia fortasse ratio iniri potest, si accipias: facinus armans s. instruens, quod licet non per se probandum (sc. ut matrem filia occidat), nunc tamen ei pietatis laudem parat.

1088. *ἐν* addidit Brunckius.

1089. *σοφά*, quod occidendi dolum excogitasset: *ἀρίστα*, quod pietatis caussa id facinus in se suscepisset.

1091. *χειρὶ καὶ πλούτῳ τεῶν.* Ita correxit Hermannus, coll. Eustath. p. 1083. 16. Libri *χερὶ καὶ πλούτῳ τῶν.*

1092. *ὑπόχειρ* Musgravius. Libri *ὑπὸ χεῖρα.*

1094. *ἐν ἐσθλᾷ*] *ἐν* om. La Lc.

1096. *τῶνδε φερομέναν ἄριστα.* Bene Wunderus: *in colendis quæ summæ sunt legibus prima ferentem.* *τῶνδε* non regitur ab *ἄριστα*, sed genitivus usurpatur sicut in locutionibus *εὖ ἔχειν, εὖ ἥκειν τινός*, et quæ sunt similia.

1097. *Ζηνὸς* Tricliniani, et v. 1. in La. Vulgo *Διός.* *Ζηνὸς* rescribendum jusserat Porsonus ad Orest. v. 1700.

ΟΡ. ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν
ὀρθῶς δ' ὁδοιποροῦμεν ἔνθα χρῄζομεν;
ΧΟ. τί δ' ἐξερευνᾷς καὶ τί βουληθεὶς πάρει;
ΟΡ. Αἴγισθον ἔνθ' ᾤκηκεν ἱστορῶ πάλαι.
ΧΟ. ἀλλ' εὖ θ' ἱκάνεις χὠ φράσας ἀζήμιος.
ΟΡ. τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
ΧΟ. ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
ΟΡ. ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.
ΗΛ. οἴμοι τάλαιν', οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;
ΟΡ. οὐκ οἶδα τὴν σὴν κληδόν'. ἀλλά μοι γέρων
ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.
ΗΛ. τί δ' ἔστιν, ὦ ξέν'; ὥς μ' ὑπέρχεται φόβος.
ΟΡ. φέροντες αὐτοῦ σμικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.
ΗΛ. οἲ 'γὼ τάλαινα, τοῦτ' ἐκεῖν' ἤδη σαφὲς
πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.
ΟΡ. εἴπερ τι κλάεις τῶν Ὀρεστείων κακῶν,
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.
ΗΛ. ὦ ξεῖνε, δός νυν πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, εἰς χεῖρας λαβεῖν,
ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.
ΟΡ. δόθ' ἥτις ἐστὶ προσφέροντες. οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τόδε,

1099. *ὀρθῶς δ'.* Sic La. Ald. et plerique. *θ'* Lb. Lc. Vid. ad Aj. 836.

1102. *ἀζήμιος. culpæ expers est.*

1107. *φωκῆς* La. Vid. ad Œd. T. 18.

1110. *τὴν σὴν κληδόν'. famam quam dicis.* Vid. Brunck. ad Ant. 573.

1113. *σμικρὰ* Harl. Turn. Vulgo *μικρά.*

1115. *τοῦτ' ἐκεῖν'. hoc de quo nobis nunciatum est.* Cf. Matth. Gr. Gr. 471. 11. Interpunctionem post *σαφὲς* recte, ut opinor, delet Hermannus, ut una efficiatur sententia. Nam, ut bene monet ille, particulam aliquam posuisset in sequenti versu Sophocles, nisi hæc conjungi voluisset.

1124. *τόδε* La. pr. Γ. Δ. Vulgo *τάδε.*

ἀλλ' ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.
ΗΛ. ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ
ψυχῆς Ὀρέστου λοιπόν, ὥς σ' ἀπ' ἐλπίδων
οὐχ ὧνπερ ἐξέπεμπον εἰσεδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν,
δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν
κλέψασα ταῖνδε κἀνασώσασθαι φόνου,
ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων κἀπὶ γῆς ἄλλης φυγὰς
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα·
κοὔτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς ἐκόσμησ' οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην, ὡς εἰκός, ἄθλιον βάρος.
ἀλλ' ἐν ξέναισι χερσὶ κηδευθεὶς τάλας
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
οἴμοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός·
ἐγὼ δ' ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντι σὺν σοί. πάντα γὰρ συναρπάσας

1125. *φύσιν* ex abundanti additum. Cf. supra v. 325.
1127. *ὥς σ' ἀπ' ἐλπίδων.* *σ'* addidit Brunckius. *ἀπ' ἐλπίδων, secus quam speraveram,* sicut *ἀπὸ γνώμης* Trach. 389. *ἀπ' ἐλπίδος* Agam. 998. Mox *ὧνπερ* attractione positum: debebat dicere *οὐχ αἷσπερ.* *ὥσπερ* habet Δ. qui supra in v. 762. eandem correctionem scripturæ difficiliori *οἷπερ* substituit.
1134. *ὅπως ἔκεισο.* Conferant tirones Matth. Gr. Gr. 519.
1138. *φίλαισι* La. Lb. Vulgo *φίλῃσι.* Cf. ad Ant. 589. Mox v. 1141. *ξέναισι* Aug. b. Lipss. Mosqq. ubi vulgo *ξένῃσι.*
1139. *λουτροῖς σ' ἐκόσμησ'* Lb. quæ fortasse vera scriptura est.
1150. *θανόντι* veteres. *θανόντα* Brunckius, cum suo codice, D. a pr. m. et. Tricl.

θύελλ' ὅπως βέβηκας. οἴχεται πατήρ·
τέθνηκ' ἐγώ σοι. φροῦδος αὐτὸς εἶ θανών·
γελῶσι δ' ἐχθροί· μαίνεται δ' ὑφ' ἡδονῆς
μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ' ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
μορφῆς σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἴμοι μοι.
ὦ δέμας οἰκτρόν. φεῦ φεῦ.
ὦ δεινοτάτας, οἴμοι μοι,
πεμφθεὶς κελεύθους, φίλταθ', ὥς μ' ἀπώλεσας·
ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν εἰς τὸ μηδέν, ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοί μετεῖχον τῶν ἴσων· καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὴ ἀπολείπεσθαι τάφου.
τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.
ΧΟ. θνητοῦ πέφυκας πατρός, Ἠλέκτρα, φρόνει·
θνητὸς δ' Ὀρέστης· ὥστε μὴ λίαν στένε.
πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.
ΟΡ. φεῦ φεῦ. τί λέξω; ποῖ λόγων ἀμηχανῶν
ἔλθω; κρατεῖν γὰρ οὐκ ἔτι γλώσσης σθένω.
ΗΛ. τί δ' ἔσχες ἄλγος; πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;
ΟΡ. ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
ΗΛ. τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
ΟΡ. οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.
ΗΛ. τί δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις τάδε;

1154. *ἧς* pendet a *τιμωρός.*
1161. Anapæsti senariis interpositi. Dindorfius confert Trach. 1085.
1169. *μὴ ἀπολείπεσθαι* La. pr. *μἀπολείπεσθαι* Dindorfius.
1176. Cf. supra ad v. 316.

ΟΡ. ὦ σῶμ᾽ ἀτίμως κἀθέως ἐφθαρμένον.
ΗΛ. οὔτοι ποτ᾽ ἄλλην ἢ ᾽μὲ δυσφημεῖς, ξένε.
ΟΡ. φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
ΗΛ. τί δή ποτ᾽, ὦ ξέν᾽, ὧδ᾽ ἐπισκοπῶν στένεις;
ΟΡ. ὡς οὐκ ἄρ᾽ ᾔδη τῶν ἐμῶν οὐδὲν κακῶν.
ΗΛ. ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;
ΟΡ. ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν.
ΗΛ. καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ΟΡ. καὶ πῶς γένοιτ᾽ ἂν τῶνδ᾽ ἔτ᾽ ἐχθίω βλέπειν;
ΗΛ. ὁθούνεκ᾽ εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ΟΡ. τοῖς τοῦ; πόθεν τοῦτ᾽ ἐξεσήμηνας κακόν;
ΗΛ. τοῖς πατρός· εἶτα τοῖσδε δουλεύω βίᾳ.
ΟΡ. τίς γάρ σ᾽ ἀνάγκῃ τῇδε προτρέπει βροτῶν;
ΗΛ. μήτηρ καλεῖται· μητρὶ δ᾽ οὐδὲν ἐξισοῖ.
ΟΡ. τί δρῶσα; πότερα χερσίν, ἢ λύμῃ βίου;
ΗΛ. καὶ χερσὶ καὶ λύμαισι καὶ πᾶσιν κακοῖς.
ΟΡ. οὐδ᾽ οὑπαρήξων οὐδ᾽ ὁ κωλύσων πάρα;
ΗΛ. οὐ δῆθ᾽. ὃς ἦν γάρ μοι σὺ προὔθηκας σποδόν.
ΟΡ. ὦ δύσποτμ᾽, ὡς ὁρῶν σ᾽ ἐποικτείρω πάλαι.
ΗΛ. μόνος βροτῶν νυν ἴσθ᾽ ἐποικτείρας ποτέ.
ΟΡ. μόνος γὰρ ἥκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.
ΗΛ. οὐ δή ποθ᾽ ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
ΟΡ. ἐγὼ φράσαιμ᾽ ἄν, εἰ τὸ τῶνδ᾽ εὔνουν πάρα.
ΗΛ. ἀλλ᾽ ἐστὶν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς.
ΟΡ. μέθες τόδ᾽ ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
ΗΛ. μὴ δῆτα πρὸς θεῶν τοῦτό μ᾽ ἐργάσῃ, ξένε.
ΟΡ. πείθου λέγοντι κοὐχ ἁμαρτήσει ποτέ.
ΗΛ. μὴ πρὸς γενείου μὴ ᾽ξέλῃ τὰ φίλτατα.

1184. *τί μοί ποτ᾽* La. *δὴ* suprascr. et eraso *μοι*. *μοι* etiam Monac. et Suid. s. v. *ἐπισκοπῶν*.

1193. *quis te mortalium hac serviendi necessitate cogit?* quod exquisitius dictum pro, *quis tibi hanc necessitatem imponit?* Herm.

1194. *ἐξισοῖ*. *ἴσα πράττει*. Suidas h. l. citans.

1197. *οὐδ᾽ ὁ* Lb. aliique. *οὔθ᾽ ὁ* male La. Ald.

1207. *πιθοῦ* Lb. pr. Δ. Pal. quod alteri praefert Brunckius.

1208. *μὴ ᾽ξέλῃς* Monac.

ΟΡ. οὔ φημ᾽ ἐάσειν. ΗΛ. ὦ τάλαιν᾽ ἐγὼ σέθεν,
᾽Ορέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
ΟΡ. εὔφημα φώνει· πρὸς δίκης γὰρ οὐ στένεις.
ΗΛ. πῶς τὸν θανόντ᾽ ἀδελφὸν οὐ δίκῃ στένω;
ΟΡ. οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
ΗΛ. οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
ΟΡ. ἄτιμος οὐδενὸς σύ· τοῦτο δ᾽ οὐχὶ σόν.
ΗΛ. εἴπερ γ᾽ ᾽Ορέστου σῶμα βαστάζω τόδε.
ΟΡ. ἀλλ᾽ οὐκ ᾽Ορέστου, πλὴν λόγῳ γ᾽ ἠσκημένον.
ΗΛ. ποῦ δ᾽ ἔστ᾽ ἐκείνου τοῦ ταλαιπώρου τάφος;
ΟΡ. οὐκ ἔστι. τοῦ γὰρ ζῶντος οὐκ ἔστιν τάφος.
ΗΛ. πῶς εἶπας, ὦ παῖ; ΟΡ. ψεῦδος οὐδὲν ὧν λέγω.
ΗΛ. ἦ ζῇ γὰρ ἀνήρ; ΟΡ. εἴπερ ἔμψυχός γ᾽ ἐγώ.
ΗΛ. ἦ γὰρ σὺ κεῖνος; ΟΡ. τήνδε προσβλέψασά μου
σφραγῖδα πατρὸς ἔκμαθ᾽ εἰ σαφῆ λέγω.
ΗΛ. ὦ φίλτατον φῶς. ΟΡ. φίλτατον, συμμαρτυρῶ.
ΗΛ. ὦ φθέγμ᾽, ἀφίκου; ΟΡ. μηκέτ᾽ ἄλλοθεν πύθῃ.
ΗΛ. ἔχω σε χερσίν; ΟΡ. ὡς τὰ λοίπ᾽ ἔχοις ἀεί.
ΗΛ. ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
ὁρᾶτ᾽ ᾽Ορέστην τόνδε, μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον.
ΧΟ. ὁρῶμεν, ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.
ΗΛ. ἰὼ γοναί, *στροφή.*
γοναὶ σωμάτων ἐμοὶ φιλτάτων

1224. *ὦ φίλτατον φῶς*. Orestem compellat. Schaeferus comparat infra v. 1354. *ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων*. Homer. Iliad. Θ. v. 282. *βάλλ᾽ οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι*. Odyss. Π. v. 23. Ρ. v. 41. *῏Ηλθες, Τηλέμαχε, γλυκερὸν φάος*. Livius i. 39. 3. *Scire licet, hunc lumen quondam rebus nostris dubiis futurum, praesidiumque regiæ afflictæ.*

1225. *μηκέτ᾽ ἄλλοθεν πύθῃ*. *ipse tibi dico*. Hermann. Cf. infra v. 1474.

1228. Dicitur Orestes *μηχαναῖς θανὼν* quod periisse simulatus erat: *μηχαναῖς σεσωσμένος* quod illa ipsa fraude factum est, ut salvus et incolumis in domum paternam redire posset. Wunder.

1233. *γοναὶ σωμάτων*] *σωμάτων* de Agamemnone recte interpretatur Scholiasta. Ellendtius periphrastice ad Orestem refert.

ἐμόλετ' ἀρτίως,
ἐφεύρετ', ἤλθετ', εἴδεθ' οὓς ἐχρῄζετε.
ΟΡ. πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
ΗΛ. τί δ' ἔστιν ;
ΟΡ. σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ.
ΗΛ. ἀλλ' οὐ τὰν Ἄρτεμιν
τὰν αἰὲν ἀδμήταν,
τόδε μὲν οὔ ποτ' ἀξιώσω τρέσαι
περισσὸν ἄχθος ἔνδον γυναικῶν ὂν ἀεί.
ΟΡ. ὅρα γε μέν τοι κἀν γυναιξὶν ὡς Ἄρης
ἔνεστιν· εὖ δ' ἔξοισθα πειραθεῖσά που.
ΗΛ ὀτοτοτοτοῖ τοτοῖ,
ἀνέφελον ἐπέβαλες οὔ ποτε καταλύσιμον
οὐδέ ποτε λησόμενον ἁμέτερον
οἷον ἔφυ κακόν.
ΟΡ. ἔξοιδα καὶ ταῦτ'· ἀλλ' ὅταν παρουσία
φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.
ΗΛ. ὁ πᾶς ἐμοὶ ἀντιστροφή.
ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν
τάδε δίκᾳ χρόνος.
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.
ΟΡ. ξύμφημι κἀγώ. τοιγαροῦν σῴζου τόδε.

1238. *οὐ τάν.* Cf. supra v. 1063.

1240—1243. *Nunquam metuendum existimabo inutile illud domi semper desidens mulierum pondus.* Sic recte Brunckius, nisi quod ἄχθος *onus* potius quam *pondus* vertendum erat.

1242. γε μέντοι Blomfieldius. Libri γε μὲν δή.

1245. ὀττοτοῖ libri. ὀτοτοτοτοῖ τοτοῖ metri caussa Hermannus.

1246. ἀνέφελον—λησόμενον. *in memoriam mihi revocasti malum nec celandum, nec abolendum, neque unquam obliviscendum.* λησόμενον autem passive dictum est: quod monuit Triclinius.

1251. ὅταν παρουσία φράζῃ. Sensus est: *ubi res præsens admonebit, tum hæc recordari oportebit.* Hermann.

1257. σῴζου τόδε. Recte, arbitror, Hermannus hæc ita explicuit: 'Ubi Orestes monuerat non esse tempus memorandæ patris cædi, Electra nullum esse tempus ait, quo id sibi non dicendum putet; hoc innuens, ne nunc quidem id importunum esse. Orestes, aliter ejus verba interpretatus, Recte, inquit, ais, quodvis tempus huic rei convenire: itaque mane in hac sententia, et differ in aliud tempus, quæ nunc non opportuna sunt. De verbo σῴζεσθαι hac significatione usurpato vid. Elmsl. ad Bacch. 791.'

ΗΛ. τί δρῶσα ;
ΟΡ. οὗ μή 'στι καιρὸς μὴ μακρὰν βούλου λέγειν.
ΗΛ. τίς οὖν ἂν ἀξίαν
γε σοῦ πεφηνότος
μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων ;
ἐπεί σε νῦν ἀφράστως ἀέλπτως τ' ἐσεῖδον.
ΟΡ. τότ' εἶδες, ὅτε θεοί μ' ἐπώτρυναν μολεῖν.
* * * * *
ΗΛ. ἔφρασας ὑπερτέραν
τᾶς πάρος ἔτι χάριτος, εἴ σε θεὸς ἐπόρισεν
ἁμέτερα πρὸς μέλαθρα, δαιμόνιον
αὐτὸ τίθημ' ἐγώ.
ΟΡ. τὰ μέν σ' ὀκνῶ χαίρουσαν εἰργαθεῖν, τὰ δὲ
δέδοικα λίαν ἡδονῇ νικωμένην.
ΗΛ. ἰὼ χρόνῳ μακρῷ φιλτάταν ἐπῳδός.
ὁδὸν ἐπαξιώσας ὧδέ μοι φανῆναι,
μή τί με, πολύπονον ὧδ' ἰδὼν
ΟΡ. τι μὴ ποιήσω ; ΗΛ. μή μ' ἀποστερήσῃς
τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.
ΟΡ. ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.
ΗΛ. ξυναινεῖς ;
ΟΡ. τί μὴν οὔ ;

1260. *τίς οὖν ἂν ἀξίαν*] τίς οὖν ἀνταξίαν conjecit Arndtius. Sensus est: *quomodo silere deceat, quum tu nobis præsens sis?*

1264. ἐπώτρυναν. Ita Brunckius. Libri ὤτρυναν.

1267. ἐπῶρσεν vulgo. Sed ἔπορσεν La. pr. Hinc probabiliter restituit ἐπόρισεν Dindorfius, quocum comparat Œd. Col. 1458. πῶς ἄν, εἴ τις ἔντοπος, τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι ;

1275. πολύπονον solus Jen. Reliqui πολύστονον.

1276. τί μὴ ποιήσω ; Notent tirones μὴ referri ad Electræ verba μή τί με κ. τ. λ. quæ statim excipit Orestes.

μή μ'—μεθέσθαι. Apertum est constructionem esse μή μ' ἀποστερήσῃς τῶν σῶν προσώπων ἡδονὰν (ὥστε με) μεθέσθαι (αὐτῆς). Dixerunt de hac constructione Porsonus et Schaef. ad Med. 1396. quos alibi laudavimus. Cæterum ἁδονὰν forte rescribendum, Dindorfio monente.

1278. *Immo etiam aliis irascerer, si viderem eos velle te meo aspectu privare.* Wunder.

1280. τί μὴν οὔ; Vulgo τί μὴ οὔ; Correxit Seidlerus de Vers. Dochm.

ΗΛ. ὦ φίλαι, ἔκλυον ἂν ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν.
†ἔσχον ὀργὰν
ἄναυδον οὐδὲ σὺν βοᾷ κλύουσα
τάλαινα. νῦν δ' ἔχω σε· προὐφάνης δὲ
φιλτάταν ἔχων πρόσοψιν,
ἃς ἐγὼ οὐδ' ἂν ἐν κακοῖς λαθοίμαν.
ΟΡ. τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,
καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με
μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
ἀντλεῖ, τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.
χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ
σήμαιν', ὅπου φανέντες ἢ κεκρυμμένοι
γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ.
οὕτως δ' ὅπως μήτηρ σε μὴ 'πιγνώσεται
φαιδρῷ προσώπῳ νῷν ἐπελθόντοιν δόμους·
ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ
στέναζ'· ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται καὶ γελᾶν ἐλευθέρως.
ΗΛ. ἀλλ', ὦ κασίγνηθ', ὧδ' ὅπως καὶ σοὶ φίλον
καὶ τοὐμὸν ἔσται τῇδ'· ἐπεὶ τὰς ἡδονὰς
πρὸς σοῦ λαβοῦσα κοὐκ ἐμὰς ἐκτησάμην.
κοὐδ' ἄν σε λυπήσασα βουλοίμην βραχὺ
αὐτὴ μέγ' εὑρεῖν κέρδος. οὐ γὰρ ἂν καλῶς

p. 136. collato Euripidis Rhesi v. 706. δοκεῖς γάρ; τί μὴν οὔ;

1283. Quid hic a poeta profectum fuerit decerni nequit. Lacunæ signum ante ἔσχον ὀργὰν posuit Hermannus. ἄναυδον οὐδὲ σὺν βοᾷ conjungendum videtur (vid. Œd. T. 58.) et ad Orestis fatum referri, quem ubi mutum esse et soni expertem (i. e. mortuum illum esse) accepisset Electra, in indignationem se prorupisse ait. Verum hæc omnia plus quam incerta sunt.

1290. πατρῴαν κτῆσιν δόμων. Vid. ad Trach. 817.

1292. Recte monet Hermannus χρόνου καιρὸν dictum esse pro τὸ καίριον τοῦ χρόνου, sc. *temporis opportunitatem.*

1297. νῷν. Se et Pyladem dicit. Vid. v. 1373. HERMANN.

1301. ὧδ'—τῇδ'. Adverte pleonasmum orationis. SCHAEF.

1304. λεξαίμην La. cum v. l. βουλοίμην. δεξαίμην Pal. quod restituendum videtur.

ὑπηρετοίην τῷ παρόντι δαίμονι.
ἀλλ' οἶσθα μὲν τἀνθένδε, πῶς γὰρ οὔ; κλύων
ὁθούνεκ' Αἴγισθος μὲν οὐ κατὰ στέγας,
μήτηρ δ' ἐν οἴκοις· ἣν σὺ μὴ δείσῃς ποθ' ὡς
γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι,
κἀπεί σ' ἐσεῖδον, οὔ ποτ' ἐκλήξω χαρᾶς
δακρυρροοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγώ,
ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε
καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δέ μ' ἄσκοπα·
ὥστ' εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
τέρας νομίζειν αὐτό, πιστεύειν δ' ὁρᾶν.
ὅτ' οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδόν,
ἄρχ' αὐτὸς ὥς σοι θυμός. ὡς ἐγὼ μόνη
οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
ἔσωσ' ἐμαυτήν, ἢ καλῶς ἀπωλόμην.
ΧΟ. σιγᾶν ἐπῄνεσ'· ὡς ἐπ' ἐξόδῳ κλύω
τῶν ἔνδοθεν χωροῦντος. ΗΛ. εἴσιτ', ὦ ξένοι,
ἄλλως τε καὶ φέροντες οἷ' ἂν οὔτε τις
δόμων ἀπώσαιτ' οὔτ' ἂν ἡσθείη λαβών.
ΠΑ. ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι,
πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
ἢ νοῦς ἔνεστιν οὔτις ὑμὶν ἐγγενής,
ὅτ' οὐ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
τοῖσιν μεγίστοις ὄντες οὐ γιγνώσκετε;
ἀλλ' εἰ σταθμοῖσι τοῖσδε μὴ 'κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ὗμιν ἐν δόμοις
τὰ δρώμεν' ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
νῦν δ' εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων

1306. ὑπηρετοίμην vulgo. Correxit Elmsleius.

1310. τοὐμὸν φαιδρὸν La. Γ. C. Palat.

1312. χαρᾶς] χαρᾷ Schaeferus: quæ valde probabilis est conjectura.

1320. δυοῖν ἥμαρτον. h. e. θατέρου δυοῖν. Locutio satis nota. Cf. ad Trach. 100. Locum similem Thucyd. i. 33. comparavit Hermannus.

καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς
εἴσω παρέλθεθ', ὡς τὸ μὲν μέλλειν κακον
ἐν τοῖς τοιούτοις ἔστ', ἀπηλλάχθαι δ' ἀκμή.
ΟΡ. πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;
ΠΑ. καλῶς. ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.
ΟΡ. ἤγγειλας, ὡς ἔοικεν, ὡς τεθνηκότα.
ΠΑ. εἷς τῶν ἐν Ἅιδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.
ΟΡ. χαίρουσιν οὖν τούτοισιν; ἢ τίνες λόγοι;
ΠΑ. τελουμένων εἴποιμ' ἄν· ὡς δὲ νῦν ἔχει,
καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.
ΗΛ. τίς οὗτός ἐστ', ἀδελφέ; πρὸς θεῶν φράσον.
ΟΡ. οὐχὶ ξυνίης; ΗΛ. οὐδέ γ' ἐς θυμὸν φέρω.
ΟΡ. οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας εἰς χέρας ποτέ;
ΗΛ. ποίῳ; τί φωνεῖς; ΟΡ. οὗ τὸ Φωκέων πέδον
ὑπεξεπέμφθην σῇ προμηθίᾳ χεροῖν.
ΗΛ. ἦ κεῖνος οὗτος ὅν ποτ' ἐκ πολλῶν ἐγὼ
μόνον προσεῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
ΟΡ. ὅδ' ἐστί. μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ΗΛ. ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
Ἀγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
ὃς τόνδε κἄμ' ἔσωσας ἐκ πολλῶν πόνων;
ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ' ἔχων
ποδῶν ὑπηρέτημα, πῶς οὕτω πάλαι
ξυνών μ' ἔληθες οὐδ' ἔφαινες, ἀλλά με
λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί;
χαῖρ', ὦ πάτερ· πατέρα γὰρ εἰσορᾶν δοκῶ·
χαῖρ'. ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
ἤχθηρα κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
ΠΑ. ἀρκεῖν δοκεῖ μοι. τοὺς γὰρ ἐν μέσῳ λόγους
πολλαὶ κυκλοῦσι νύκτες ἡμέραι τ' ἴσαι,

1345. Opportuna nobis omnia sunt, etiam scelestum Clytæmnestræ de morte Orestis gaudium, ex coque maxima securitas. HERMANN.

1359. Commate post ἔφαινες distinxit Schaeferus: interrogandi notula post ἐμοὶ retracta.

1364. τοὺς γὰρ ἐν μέσῳ λόγους. Referuntur accusativi ad δείξουσιν in v. 1366. ταῦτα propter versum interpositum infertur.

αἳ ταῦτα σοι δείξουσιν, Ἠλέκτρα, σαφῆ.
σφῷν δ' ἐννέπω 'γὼ τοῖν παρεστώτοιν ὅτι
νῦν καιρὸς ἔρδειν· νῦν Κλυταιμνήστρα μόνη·
νῦν οὔτις ἀνδρῶν ἔνδον· εἰ δ' ἐφέξετον,
φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις
ἄλλοισι τούτων πλείοσιν μαχούμενοι.
ΟΡ. οὐκ ἂν μακρῶν ἔθ' ἡμὶν οὐδὲν ἂν λόγων,
Πυλάδη, τόδ' εἴη τοὔργον, ἀλλ' ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἕδη
θεῶν, ὅσοιπερ πρόπυλα ναίουσιν τάδε.
ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ
ἀφ' ὧν ἔχοιμι λιπαρεῖ προὔστην χερί.
νῦν δ', ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω
αἰτῶ, προπιτνῶ, λίσσομαι, γενοῦ πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων,
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
τῆς δυσσεβείας οἷα δωροῦνται θεοί.
ΧΟ. ἴδεθ' ὅπη προνέμεται στροφή.
τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης.
βεβᾶσιν ἄρτι δωμάτων ὑπόστεγοι

1366. αἳ ταῦτά σοι δείξουσιν. Pronomen ταῦτα ex abundanti positum: nam accusativus a verbo δείξουσιν pendens jam v. 1364. præcessit, qui quum sit masculini generis, ex regula syntactica debebat hic sequi τούτους — σαφεῖς. Sed ita Græci sæpius neutris utuntur. In Xen. Anab. i. 5. 10. extr. τοῦτο referendum, opinor, ad μελίνης. Cf. Heindorf. ad Plat. Phædr. p. 221. et quæ nuper ad Theocr. p. 219. notavi. SCHAEF.

1367. ἐννέπω 'γὼ Hermannus. ἐννέπω γε vulgo.

1371. τούτων πλείοσιν. *præter hos.* Thuc. i. 36. sub fin. δεξάμενοι δε ἡμᾶς ἕξετε πρὸς αὐτοὺς πλείοσι ναυσὶ ταῖς ἡμετέραις ἀγωνίζεσθαι.

1378. σε — προὔστην χερί. Accusativus regitur a *supplicandi* notione quæ inest verbis λιπαρεῖ προὔστην χερί. Nam qui alterum supplex orat, coram eo se sistere debet.

1380. προσπίτνῶ La. sed priori accentu deleto. προσπιτνῶ Lb.

1384. προνέμεται. *progreditur* sc. ad patrandam cædem. Cf. Æsch. Ag. 1511. ὅποι (Ἄρης) δίκαν προβαίνων πάχνᾳ κουροβόρῳ παρέξει.

1385. αἷμα φυσῶν idem fere est quod φόνον πνέων, ut monuit Wunderus. δυσέριστον vocat quia matris cædes a filio patranda erat.

1386. δωμάτων ὑπόστεγοι. h. e. ὑπὸ στέγας δωμάτων. Similiter δό-

μετάδρομοι κακῶν πανουργημάτων
ἄφυκτοι κύνες,
ὥστ᾽ οὐ μακρὰν ἔτ᾽ ἀμμένει
τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον.
παράγεται γὰρ ἐνέρων ἀντιστροφή.
δολιόπους ἀρωγὸς εἴσω στέγας,
ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια,
νεακόνητον αἷμα χειροῖν ἔχων·
ὁ Μαίας δὲ παῖς
Ἑρμῆς σφ᾽ ἄγει δόλον σκότῳ
κρύψας πρὸς αὐτὸ τέρμα, κοὐκ ἔτ᾽ ἀμμένει.
ΗΛ. ὦ φίλταται γυναῖκες, ἄνδρες αὐτίκα στροφή.
τελοῦσι τοὔργον· ἀλλὰ σῖγα πρόσμενε.
ΧΟ. πῶς δή; τί νῦν πράσσουσιν; ΗΛ. ἡ μὲν ἐς τάφον
λέβητα κοσμεῖ, τὼ δ᾽ ἐφέστατον πέλας.
ΧΟ. σὺ δ᾽ ἐκτὸς ᾖξας πρὸς τί; ΗΛ. φρουρήσουσ᾽ ὅπως
Αἴγισθος ἡμᾶς μὴ λάθῃ μολὼν ἔσω.
ΚΛ. αἰαῖ. ἰὼ στέγαι
φίλων ἔρημοι, τῶν δ᾽ ἀπολλύντων πλέαι.
ΗΛ. βοᾷ τις ἔνδον. οὐκ ἀκούετ᾽, ὦ φίλαι;

μων ἐφέστιος sæpius dicitur, e. g. Æsch. Eum. 577. 669.

1387. μετάδρομοι genitivum regit: sc. *insectatores, vindices scelerum.*

1390. τοὐμὸν φρενῶν ὄνειρον. Cf. ad Œd. T. 1400. Trach. 817.

1391. ἐνέρων ἀρωγός. *mortuorum vindex Orestes.*

1393. ἑδώλια La. Pal. Tricl. Vulgo ἑδράσματα.

1394. νεακόνητον libri omnes. νεοκόνητον Hermannus, ex Schol. Rom. quod cum νεοφόνοις αἵμασι in Eurip. El. 1172. comparat: sed hoc alienum est, nec de voce νεοκόνητον omnino liquet. Rectius, ut arbitror, Suidæ et Scholiastæ interpretationem sequemur, qui αἷμα pro μάχαιραν dictum accipiunt: νεακόνητον autem significat τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον. Syllabam secundam verbi νεακόνητον corripi posse statuit Nevius, collatis quæ dixit Lobeckius ad Phrynich. p. 701. seqq. Mox χειροῖν Brunckius. Libri χεροῖν.

1398. ἄνδρες edd. ante Brunckium.

1400. ἡ μὲν ἐς τάφον. Urnam quam Orestis cineres putabat continere, ad funus parare ait Clytæmnestram, minime cædis ipsi jam sibi ab Oreste imminentis consciam.

1403. ἡμᾶς omissum in libris restituit Reiskius. Suprascriptum est in cod. Jen.

1404. αἶ αἶ αἶ αἶ vulgo. αἲ αἶ La. in lemmate Schol. et Ven.

1405. Male omnino πλέᾳ Elmsleius ad Med. 259.

ΧΟ. ἤκουσ᾽ ἀνήκουστα δύστανος, ὥστε φρῖξαι.
ΚΛ. οἴμοι τάλαιν᾽· Αἴγισθε, ποῦ ποτ᾽ ὢν κυρεῖς;
ΗΛ. ἰδοὺ μάλ᾽ αὖ θροεῖ τις. ΚΛ. ὦ τέκνον τέκνον,
οἴκτειρε τὴν τεκοῦσαν. ΗΛ. ἀλλ᾽ οὐκ ἐκ σέθεν
ᾠκτείρεθ᾽ οὗτος οὐθ᾽ ὁ γεννήσας πατήρ.
ΧΟ. ὦ πόλις, ὦ γενεὰ τάλαινα, νῦν σε
μοῖρα καθαμερία φθίνει φθίνει.
ΚΛ. ὤμοι πέπληγμαι. ΗΛ. παῖσον, εἰ σθένεις, διπλῆν.
ΚΛ. ὤμοι μάλ᾽ αὖθις. ΗΛ. εἰ γὰρ Αἰγίσθῳ θ᾽ ὁμοῦ.
ΧΟ. τελοῦσ᾽ ἀραί· ζῶσιν οἱ γᾶς ὑπαὶ κείμενοι.
πολύρρυτον γὰρ αἷμ᾽ ὑπεξαιροῦσι τῶν
κτανόντων οἱ πάλαι θανόντες.
ΗΛ. καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ ἀντιστροφή.
στάζει θυηλῆς Ἄρεος, οὐδ᾽ ἔχω ψέγειν.

1412. οὐθ᾽ ὁ γεννήσας πατήρ. Recte hæc ita explicuit Hermannus: ἀλλ᾽ οὐκ ἐκ σέθεν ᾠκτείρετο οὐθ᾽ οὗτος, οὐθ᾽ ὁ γεννήσας πατήρ.

1414. φθίνει, φθίνει. φθίνειν correxit Hermannus, activam hujus verbi significationem suspectam habens. Cf. Valck. ad Eur. Fr. Diatr. p. 6. ab Hermanno laudatum.

1415. 1416. Compara Agamemnonis verba Agam. 1343. 1345.

παῖσον διπλῆν. sc. πληγήν. Ellipsis notissima. Agam. 1345. δευτέραν πεπληγμένος. ibid. 1385. καὶ πεπτωκότι τρίτην ἐπενδίδωμι.

1417. εἰ γὰρ Αἰγίσθῳ θ᾽ ὁμοῦ] Αἰγίσθῳ γ᾽ Hermannus. θ᾽ ita tantum defendi potest, si brachylogice accipias pro εἰ γὰρ (σοί τε,) Αἰγίσθῳ θ᾽ ὁμοῦ. Ita Pindarus Isthm. iv. 23. ἀρετὰ κεῖται ἀμφοῖν Πυθέᾳ τε παγκρατίου, h. e. σοί τε Πυθέᾳ τε, ut explicavit Dissenius.

1419. τελοῦσι intransitivum est. Æsch. S. c. Th. 659. τάχ᾽ εἰσόμεσθα τἀπίσημ᾽ ὅπῃ τελεῖ. τοῦτ᾽ ἄρ᾽ οἶδ᾽ ὅπῃ τελεῖ Choeph. 1021. Citavit hæc Wunderus. ζῶσιν. Cf. Œd. T. 481. τὰ δ᾽ αἰεὶ ζῶντα περιποτᾶται.

1419. ὑποκείμενοι libri. Correxit Brunckius.

1420. πολύρρυτον] Non male παλίρρυτον rescripsisse videtur Bothius, quod significaret *sanguinem vicissim profusum*, sc. cædis prioris ulciscendæ caussa.

ὑπεξαιροῦσι] ἐκχέουσι exponit Scholiasta. ὑπεξελεῖν est *condita promere.* Vid. ad Œd. T. v. 227. αἷμα ἑλεῖν dixit Sophocles ibid. v. 996.

1422. 1423. Electræ vulgo tribuuntur: Choro tribuit Hermannus. Mihi quidem Electræ esse videntur. Nam verba οὐδ᾽ ἔχω ψέγειν, quomodo pro inepto οὐδ᾽ ἔχω λέγειν correxit Erfurdtius, unice Electræ personæ conveniunt, præ gaudio exsultantis, et ex sanguine manibus occisorum asperso rem sibi satis ex sententia successisse conjicientis. Quæ sequuntur autem, Ὀρέστα, πῶς κυρεῖ, Chori esse strophicorum ratio evincit.

1423. θυηλῆς Ἄρεος. *sanguine hostiæ Marti cæsæ.* Mox ψέγειν

ΧΟ. Ὀρέστα, πῶς κυρεῖ*; ΟΡ. τἀν δόμοισι μὲν
καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισεν.
ΗΛ. τέθνηκεν ἡ τάλαινα; ΟΡ. μηκέτ' ἐκφοβοῦ
μητρῷον ὥς σε λῆμ' ἀτιμάσει ποτέ.
ΗΛ. * * *
* * * * *
ΟΡ. * * * * *
ΧΟ. παύσασθε, λεύσσω γὰρ Αἴγισθον ἐκ προδήλου.
ΟΡ. * * * *
ΗΛ. ὦ παῖδες, οὐκ ἄψορρον; ΟΡ. εἰσορᾶτέ που
τὸν ἄνδρ'; ΗΛ. ἐφ' ἡμῖν οὗτος ἐκ προαστίου
χωρεῖ γεγηθὼς * *.
ΧΟ. βᾶτε κατ' ἀντιθύρων ὅσον τάχιστα,
νῦν, τὰ πρὶν εὖ θέμενοι, τάδ' ὡς πάλιν.
ΟΡ. θάρσει· τελοῦμεν. ΗΛ. ᾗ νοεῖς ἔπειγέ νυν.
ΟΡ. καὶ δὴ βέβηκα. ΗΛ. τἀνθάδ' ἂν μέλοιτ' ἐμοί.
ΧΟ. δι' ὠτὸς ἂν παῦρά γ' ὡς ἠπίως ἐννέπειν
πρὸς ἄνδρα τόνδε συμφέροι, λαθραῖον ὡς
ὀρούσῃ πρὸς δίκας ἀγῶνα.

ΑΙΓΙΣΘΟΣ.

τίς οἶδεν ὑμῶν ποῦ ποθ' οἱ Φωκῆς ξένοι,

Erfurdtius pro vulgato *λέγειν*. Hæc item commutata sunt Choeph. 989.

1424. *πῶς κυρεῖ * τἀν δόμοισι μέν.* Sic libri deficiente syllaba. *δὲ* addidit Hermannus: *κυρεῖτε* Elmsleius, coll. Phil. 440. *ἀναξίου μὲν φωτὸς ἐξερήσομαι—τί νῦν κυρεῖ.*

1425. *Ἀπόλλων.* Quo sc. auctore hæc feci.

1427. Lacunam trium versuum post h. v. indicavit Erfurdtius.

1429. *ἐκ προδήλου.* Cf. Lobeck. ad Aj. 715. Lacunam unius versus indicavit post h. v. Seidlerus, Vers. Dochm. p. 248.

1430. *εἰσορᾶτέ που*] *εἰσορᾶτε ποῦ* corrigit Hermannus.

1431. *οὗτος.* h. e. *ὧδε.* Wunderus comparavit *αὕτη* supra v. 6. et *αὕτη πέλας σοῦ* infra v. 1474.

1432. Lacunam hic indicavit Brunckius.

1433. *ἀντιθύρων.* Est *ἀντίθυρον* locus in ædibus oppositus foribus. Vid. Lucian. Alex. 16. t. ii. p. 224. et Hemsterh. Append. Anim. p. 15. Hermann. *κατ' ἀντιθύρων* dictum sicut *κατὰ νώτου.*

1435. *ᾗ νοεῖς* vulgo Oresti continuabantur. Correxit Erfurdtius.

1441. *ὀρούσῃ.* Schol. *ἐμπέσῃ.*

1442. *φωκεις* (η superscr.) La. Vid. ad Œd. T. 18.

οὕς φασ' Ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις;
σέ τοι, σὲ κρίνω, ναὶ σέ, τὴν ἐν τῷ πάρος
χρόνῳ θρασεῖαν· ὡς μάλιστά σοι μέλειν
οἶμαι, μάλιστα δ' ἂν κατειδυῖαν φράσαι.
ΗΛ. ἔξοιδα. πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
ἔξωθεν εἴην τῶν ἐμῶν τῆς φιλτάτης.
ΑΙ. ποῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκέ με.
ΗΛ. ἔνδον. φίλης γὰρ προξένου κατήνυσαν.
ΑΙ. ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
ΗΛ. οὔκ, ἀλλὰ κἀπέδειξαν, οὐ λόγῳ μόνον.
ΑΙ. πάρεστ' ἄρ' ἡμῖν ὥστε κἀμφανῆ μαθεῖν.
ΗΛ. πάρεστι δῆτα καὶ μάλ' ἄζηλος θέα.
ΑΙ. ἦ πολλὰ χαίρειν εἶπας οὐκ εἰωθότως.
ΗΛ. χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνει τάδε.
ΑΙ. σιγᾶν ἄνωγα κἀναδεικνύναι πύλας
πᾶσιν Μυκηναίοισιν Ἀργείοις θ' ὁρᾶν,
ὡς εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
ἐξῄρετ' ἀνδρὸς τοῦδε, νῦν ὁρῶν νεκρὸν
στόμια δέχηται τἀμά, μηδὲ πρὸς βίαν
ἐμοῦ κολαστοῦ προστυχὼν φύσῃ φρένας.
ΗΛ. καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ. τῷ γὰρ χρόνῳ
νοῦν ἔσχον, ὥστε συμφέρειν τοῖς κρείσσοσιν.
ΑΙ. ὦ Ζεῦ, δέδορκα φάσμ' ἄνευ φθόνου μὲν οὐ

1445. *κρίνω.* *rogo.* Cf. Ant. 399. Trach. 195. 314. 388. Aj. 586. Mox *ναὶ* correxit Reiskius. Libri *καί.*

1448. *συμφορᾶς—τῆς φιλτάτης.* Ambiguitatem hic quæsivisse poetam monuit Johnsonus. Verba *συμφορᾶς τῆς φιλτάτης* ipsi Electræ exoptatissimum fratris reditum significant: Ægistho nihil aliud quam calamitatem amicissimi fratris nuper allatam denotare videntur. *τε φιλτάτων* La. pr. *τῶν φιλτάτων* Pal.

1451. *κατήνυσαν.* De accentu vid. ad Œd. Col. 432. Cæterum vereor ut recte ita explicet Dindorfius ut *κατήνυσαν* eandem quam *ἔτυχον* constructionem sequatur. Nec satis placet Hermanni ratio *προξένου* a *κατὰ* quod in verbo est pendere facientis. Potius interpretare cum Brunckio, *κατήνυσαν γὰρ ὁδὸν εἰς δῶμα φίλης προξένου.*

1457. *τυγχάνοι* La. Suid. s. v. *χαρτά.*

1465. *κρείττοσιν* ante Brunckium.

1466. *φθόνος* intelligitur deorum, ut apud Æsch. Ag. 904. *φθόνος δ' ἀπέστω.* Sensus est: *Video corpus non sine invidia deorum prostra-*

πεπτωκός· εἰ δ᾽ ἔπεστι Νέμεσις, οὐ λέγω.
χαλᾶτε πᾶν κάλυμμ᾽ ἀπ᾽ ὀφθαλμῶν, ὅπως
τὸ συγγενές τοι κἀπ᾽ ἐμοῦ θρήνων τύχῃ.
ΟΡ. αὐτὸς σὺ βάσταζ᾽. οὐκ ἐμὸν τόδ᾽, ἀλλὰ σόν,
τὸ ταῦθ᾽ ὁρᾶν τε καὶ προσηγορεῖν φίλως.
ΑΙ. ἀλλ᾽ εὖ παραινεῖς, κἀπιπείσομαι· σὺ δέ,
εἴ που κατ᾽ οἶκόν μοι Κλυταιμνήστρα, κάλει.
ΟΡ. αὕτη πέλας σοῦ. μηκέτ᾽ ἄλλοσε σκόπει.
ΑΙ. οἴμοι, τί λεύσσω; ΟΡ. τίνα φοβεῖ; τίν᾽ ἀγνοεῖς;
ΑΙ. τίνων ποτ᾽ ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
πέπτωχ᾽ ὁ τλήμων; ΟΡ. οὐ γὰρ αἰσθάνει πάλαι
ζῶντας θανοῦσιν οὕνεκ᾽ ἀνταυδᾷς ἴσα;
ΑΙ. οἴμοι, ξυνῆκα τοὔπος. οὐ γὰρ ἔσθ᾽ ὅπως
ὅδ᾽ οὐκ Ὀρέστης ἔσθ᾽ ὁ προσφωνῶν ἐμέ.
ΟΡ. καὶ μάντις ὢν ἄριστος ἐσφάλλου πάλαι.
ΑΙ. ὄλωλα δὴ δείλαιος. ἀλλά μοι πάρες
κἂν σμικρὸν εἰπεῖν. ΗΛ. μὴ πέρα λέγειν ἔα
πρὸς θεῶν, ἀδελφέ, μηδὲ μηκύνειν λόγους.
τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένων
θνήσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι;
ἀλλ᾽ ὡς τάχιστα κτεῖνε καὶ κτανὼν πρόθες
ταφεῦσιν, ὧν τόνδ᾽ εἰκός ἐστι τυγχάνειν,
ἄποπτον ἡμῶν. ὡς ἐμοὶ τόδ᾽ ἂν κακῶν
μόνον γένοιτο τῶν πάλαι λυτήριον.
ΟΡ. χωροῖς ἂν εἴσω σὺν τάχει. λόγων γὰρ οὐ
νῦν ἐστιν ἀγών, ἀλλὰ σῆς ψυχῆς πέρι.
ΑΙ. τί δ᾽ ἐς δόμους ἄγεις με; πῶς, τόδ᾽ εἰ καλὸν
τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἶ κτανεῖν;
ΟΡ. μὴ τάσσε· χώρει δ᾽ ἔνθαπερ κατέκτανες

tum; sed si nefas est, indictum volo, i. e. aliis verbis; *cecidit ille ira et invidia deorum si fas est hoc dicere.* Sentit enim ipse, impudenter se hanc mortem justitiæ deorum adscribere. Unde addit, *si hoc nefas est, indictum volo.* HERMANN.

1474. μηκέτ᾽ ἄλλοσε σκόπει. *nusquam alias.* Cf. supra v. 1225.

1478. ζῶν τοῖς libri. Correxit Tyrwhittus.

1493. ἀγὼν edd. ante Brunckium.

πατέρα τὸν ἀμόν, ὡς ἂν ἐν ταὐτῷ θάνῃς.
ΑΙ. ἦ πᾶσ᾽ ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν
τά τ᾽ ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά;
ΟΡ. τὰ γοῦν σ᾽· ἐγώ σοι μάντις εἰμὶ τῶνδ᾽ ἄκρος.
ΑΙ. ἀλλ᾽ οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.
ΟΡ. πόλλ᾽ ἀντιφωνεῖς, ἡ δ᾽ ὁδὸς βραδύνεται.
ἀλλ᾽ ἕρφ᾽. ΑΙ. ὑφηγοῦ. ΟΡ. σοὶ βαδιστέον πάρος.
ΑΙ. ἦ μὴ φύγω σε; ΟΡ. μὴ μὲν οὖν καθ᾽ ἡδονὴν
θάνῃς· φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
χρῆν δ᾽ εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει,
κτείνειν. τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.
ΧΟ. ὦ σπέρμ᾽ Ἀτρέως, ὡς πολλὰ παθὸν
δι᾽ ἐλευθερίας μόλις ἐξῆλθες
τῇ νῦν ὁρμῇ τελεωθέν.

1496. ὡς ἂν ἐν Pal. Tricl. ἂν om. La. et alii. ὡς ἀν (sic) Lb.

1506. ὅστις notandum ad plurale τοῖς πᾶσιν relatum. Similia indicavit Brunck. ad Aj. 760.

1509. δι᾽ ἐλευθερίας ἐξῆλθες. *Libera facta evasisti.*

EXCUDEBANT
SPOTTISWOODE ET SOC., NEW STREET SQUARE
LONDINI


COLUMBIA UNIVERSITY LIBRARIES
0021107360